σαγορεύσας. διὰ τὸ, αἰφνιδίως τοῦ Κίλλου ἀποθανεῖν. οὐ μὴν ἀλλὰ καὶ πόλιν κτίσας, Κίλλαν κέκληκεν. ὁ μέντοι Κίλλος, καὶ μετὰ θάνατον, τῷ Πέλοπι δοκεῖ συλλαβέσθαι, ὅπως περιγένηται τοῦ Οἰνομάου ἐν τῷ ἀγῶνι. ἡ ἱστορία παρὰ Θεοπόμπῳ. Τενέδοιό τε.] καὶ τῆς Τενέδου. ἡ δὲ Τένεδος, νῆσός ἐστι πρὸ τῆς Τροίας κειμένη. οὔπω δὲ πρότερον τοῦτο εἶχε τὸ ὄνομα. Κύκνου γὰρ τοῦ Ποσειδῶνος Τέννης ἦν καὶ Λευκοθέα παῖδες, καὶ ἡ μὲν μήτηρ αὐτοῦ οὐκ ἔτι ἦν. ἐπέγημε δὲ ὁ Κύκνος, Φυλονόμην. ὡς ἔνιοι, Πολύβοιαν. ἡ Φυλονόμη δὲ, καὶ γὰρ εἰς ἄνδρας ἐτέλει ἤδη ὁ Τέννης, ἐρασθεῖσα αὐτοῦ, λόγους περὶ συνουσίας ἠνέγκατο πρὸς αὐτόν. τοῦ δὲ, τὰ πρὸς τὴν φύσιν δίκαια τηρήσαντος. κατηγορήσατο πρὸς τὸν πατέρα αὐτοῦ, ὅτι τεθελήκοι αὐτὴν βιάσασθαι. ὁ δὲ πιστεύσας τῇ κατηγορίᾳ, συλλαβὼν τὸν παῖδα, ἐνέβαλεν εἰς λάρνακα, καὶ ἔρριψεν εἰς τὴν ὑποκειμένην θάλασσαν. ὃν διὰ σωφροσύνην καὶ διὰ τὸ εἶναι υἱωνὸν ἔσωσεν ὁ Ποσειδῶν. τὴν γὰρ λάρνακα προσενεχθῆναι τῇ Λευκόφρυ νήσῳ ἐποίησεν. ἣν οἱ ἐπιχώριοι θεασάμενοι, καὶ ἀφελόντες τὸ ἐπίθεμα, μαθόντες τὸ γεγονὸς, οὐ μόνον ἑαυτῶν βασιλέα τὸν Τέννην κατεστήσαντο, ἀλλὰ καὶ ἀπ' αὐτοῦ Τένεδον τὴν νῆσον προσηγόρευσαν. ἶφι.] ἰσχυρῶς, γενναίως. ἀνάσσεις.] βασιλεύεις. Σμινθεῦ.] ὦ Σμίνθιε. ἔστι δὲ ἐπίθετον τοῦ Ἀπόλλωνος. Σμίνθος γὰρ τόπος τῆς Τρῳάδος ἐν ᾧ ἱερὸν Ἀπόλλωνος Σμινθέως. ἀπὸ αἰτίας τοιᾶσδε. ἐν Χρύσῃ πόλει τῆς Μυσίας Κρίνις τις ἱερεὺς ἦν τοῦ ἐκεῖ Ἀπόλλωνος. τούτῳ ὀργισθεὶς ὁ θεὸς, ἐπέμψεν αὐτοῦ τοῖς ἀγροῖς μύας. οἵτινες τοὺς καρποὺς ἐλυμαίνοντο. βουληθεὶς δέ ποτε ὁ θεὸς αὐτῷ καταλλαγῆναι, πρὸς Ὄρδην τὸν ἀρχιβουκόλον αὐτοῦ παρεγένετο. παρ' ᾧ ξενισθεὶς ὁ θεὸς, ὑπέσχετο κακῶν ἀπαλλάξαι. καὶ δὴ παραχρῆμα τοξεύσας τοὺς μῦς, διέφθειρεν. ἀπαλλασσόμενος οὖν, ἐνετείλατο τὴν ἐπιφάνειαν αὐτοῦ δηλῶσαι τῷ Κρίνιδι. οὗ γενομένου, Κρίνις ἱερὸν ἱδρύσατο τῷ θεῷ. Σμινθέως ἱερὸν αὐτὸ καλέσας. ἐπειδήπερ κατὰ τὴν ἐγχώριον αὐτῶν διάλεκτον, οἱ μύες σμίνθοι ἐκαλοῦντο. ἡ ἱστορία παρὰ Πολέμωνι. ἄλλοι δὲ οὕτως εἶπον. ὅτι Κρῆτες ἀποικίαν στέλλοντες, χρησμὸν ἔλαβον παρὰ τοῦ Ἀπόλλωνος, ὅπου αὐτοῖς ἐναντιωθῶσι γηγενεῖς, ἐκεῖ κτίσαι τὴν πόλιν. οἱ δὲ, ἀπέστειλαν τοὺς ἀποίκους. ἐλθόντων δὲ εἰς τὸν Ἑλλήσποντον, καὶ νυκτὸς ἐπιγενομένης, μύες ἐκκόψαν αὐτῶν τοὺς τελαμῶνας τῶν ὅπλων. πρωῒ δὲ ἀναστάντες καὶ θεασάμενοι τοῦτο, σοφισάμενοί τε καθ' ἑαυτοὺς, ἔκτισαν ἐκεῖ πόλιν. ἥντινα καὶ ἐκάλουν Σμινθίαν. οἱ γὰρ Κρῆτες, τοὺς μύας, σμίνθους καλοῦσιν. ἐκ τούτου καὶ Ἀπόλλων Σμίνθιος ἐκλήθη, διὰ τὸ, ὑπερασπίζειν αὐτῶν. εἴποτέ τοι.] ἐάν ποτέ σοι. χαρίεντα.] εὔχαριν, καλόν. νηόν.] ναόν. ἔρεψα.] ὠρόφωσα. ἐστεφάνωσα. ἢ εἰ δή ποτέ τοι.] ἢ εἴπωποτέ σοι. πίονα.] πιμελῆ, λιπαρά. μηρία.] τὰ μηριαῖα ὀστᾶ. ἔκηα.] ἐπὶ τῷ βωμῷ ἔκαυσα, τουτέστιν, ἐκάρπωσα. ταύρων ἠδ' αἰγῶν.] ἤ τοι, ταύρων καὶ αἰγῶν. τόδε μοι.] τοῦτό μοι. κρήηνον.] ἐπιτέλεσον. ἐέλδωρ.] ἐπιθύμημα. τίσειαν.] τιμωρίαν δοῖεν, ὅ ἐστι, παράσχοιεν. Δαναοί.] οἱ Ἕλληνες. ἀπὸ Δαναοῦ τοῦ Βήλου. Βῆλος δὲ Ἀγήνορος μὲν ἦν ἀδελφός. υἱὸς δὲ Ποσειδῶνος καὶ Λιβύης. ἀφ' ἧς ἡ χώρα ὠνομάσθη Λιβύη. βασιλεύων δὲ Αἰγυπτίων, γαμεῖ Ἀγχινόην τὴν Νείλου θυγατέρα. καὶ γίγνονται παῖδες αὐτῷ δίδυμοι, Αἴγυπτος, καὶ Δαναός. Δαναὸν μὲν οὖν ὁ Βῆλος ἐν Λιβύῃ κατοικίζει. Αἴγυπτον δὲ, ἐν Ἀρραβίᾳ. ὃς καταστρεψάμενος τὴν Μελαμπόδων χώραν, ἀφ' ἑαυτοῦ ὠνόμασεν Αἴγυπτον. γίγνονται δὲ ἐκ πολλῶν γυναικῶν, Αἰγύπτῳ μὲν, πεντήκοντα παῖδες, Δαναῷ δὲ, θυγατέρες πεντήκοντα. στασιασάντων δὲ πρὸς ἀλλήλους περὶ τῆς ἀρχῆς. ὕστερον Δαναὸς τοὺς τοῦ Αἰγύπτου παῖδας, πλὴν ἑνὸς ἢ δυεῖν, διὰ τῶν θυγατέρων ἀνεῖλε. δεδοικὼς καθότι καὶ ἐκ χρησμοῦ ἠκηκόει, ὅτι φονευθήσεται ὑπὸ ἑνὸς αὐτῶν, καὶ ὑποθεμένης Ἀθηνᾶς αὐτῷ ναῦν πρῶτος κατεσκεύασε τὴν κληθεῖσαν, ὡς ἀπὸ τοῦ ἀριθμοῦ τῶν θυγατέρων αὐτοῦ, πεντηκόντορον. ἐν ᾗ τὰς κόρας ἐνθέμενος ἔφυγε. προσχὼν δὲ Ῥόδῳ, τὸ τῆς Λινδίας Ἀθηνᾶς ἄγαλμα ἱδρύσατο. ἐντεῦθεν δὲ ἧκεν εἰς Ἄργος, καὶ τὴν βασιλείαν αὐτῷ παραδίδωσιν Ἐλάνωρ ὁ τότε βασιλεύων. αὐτὸς δὲ κρατήσας τῆς χώρας, ἀφ' ἑαυτοῦ τοὺς ἐνοικοῦντας, Δαναοὺς ὠνόμασεν. ἱστορεῖ Ἀπολλόδωρος, ἐν δευτέρῳ. ἐμὰ δάκρυα σοῖσι βέλεσσι.] ἀντὶ τοῦ, τῶν ἐμῶν δακρύων. διατί δὲ ὁ Χρύσης, οὐ κατὰ Ἀγαμέμνονος ηὔχετο τοῦ ὑβρίσαντος αὐτὸν, ἀλλὰ κατὰ πάντων τῶν Ἑλλήνων. φαμὲν δή, ὅτι Ἀγαμέμνονος ἀποθανόντος ὁ στρατὸς ἐλύετο. καὶ Χρυσηὶς, εἰς Ἑλλάδα ἀπήγετο. ἀναιρουμένων δὲ τῶν ὄχλων, ζήτησις ἦν τοῦ πάθους. ἀπόδοσις δὲ, τῆς κόρης. καὶ ἀποθανὼν μὲν Ἀγαμέμνων, ἄλυπος ἦν. ζῶν δὲ, βασανίζεται, βλέπων ἅτε βασιλεὺς ἀπολλυμένους τοὺς ὄχλους. ἢ, ὅτι πᾶσιν ἠράσατο, ἀνθ' ὧν πάντες ὁμοῦ γενόμενοι, οὐκ ἐπέσχον τὴν τοῦ βασιλέως ὕβριν. δικαίως οὖν αὐτοὶ ἔπαθον. καὶ γὰρ Ἡσίοδος φησί. Πολλάκι καὶ ξύμπασα πόλις κακοῦ ἀνδρὸς ἀπηύρα. ὣς ἔφατο.] οὕτως εἶπεν. τοῦ δ' ἔκλυε.] τούτου δὲ ὑπήκουσε. Φοῖβος.] καθαρὸς, ἀμίαντος, ἢ μαντικός. Φοῖβον γὰρ τὸν καθαρὸν Ἡσίοδος δὲ, μετωνυμικῶς Φοῖβον αὐτὸν καλεῖ, ἀπὸ φοίβης. βῆ δὲ κατ' οὐλύμποιο.] κατέβη δὲ ἀπὸ τῶν τοῦ Ὀλύμπου ἐξοχῶν, ὅ ἐστιν ἀκρωτηρίων. χωόμενος.] λυπούμενος, ὀργιζόμενος. κῆρ.] ὀξυτόνως μὲν, ἡ ψυχή, περισπωμένως δὲ, ἡ θανατηφόρος μοῖρα. τόξ' ὤμοισιν ἔχων.] ἀντὶ τοῦ, τὸ τόξον ἐπὶ τοῖς ὤμοις ἔχων. ἀμφηρεφέα δὲ φαρέτρην.] τὴν ἑκατέρωθεν ἐσκεπασμένην φαρέτραν, ἤγουν βελοθήκην. ἔκλαγξαν.] ποιὸν ἦχον ἀπετέλεσαν. ὀϊστοί.] τὰ βέλη. ἐπ' ὤμων.] ἐπὶ τῶν ὤμων. χωομένοιο.] ὀργιζομένου αὐτοῦ κινηθέντος.] κινηθέντος αὐτοῦ ἐπὶ τόπον. ὁ δέ.] οὗτος δέ. ἤϊε.] παρεγένετο. νυκτὶ ἐοικώς.] σκότει παραπλήσιος. φοβερὸς καὶ ἀόρατος. ἕζετο.] ἐκαθέζετο. ἔπειτα.] μεταταῦτα. ἀπάνευθεν.] ἄπωθεν, χωρίς. νεῶν.] τῶν νηῶν, τῶν πλοίων. μετὰ δέ.] μεταταῦτα δέ. ἰόν.] βέλος. ἕηκεν.] ἀφῆκεν, ἔπεμψεν. δεινὴ δὲ κλαγγή.] φοβερὸς δὲ ἦχος ἐγένετο.]

Οὐρῆας μὲν πρῶτον ἐπῴχετο, καὶ κύνας ἀργούς.
Αὐτὰρ ἔπειτ' αὐτοῖσι βέλος ἐχεπευκὲς ἐφιεὶς,
Βάλλ', αἰεὶ δὲ πυραὶ νεκύων καίοντο θαμειαί.
Ἐννῆμαρ μὲν ἀνὰ στρατὸν ᾤχετο κῆλα θεοῖο.
Τῇ δεκάτῃ δ' ἀγορήν δὲ καλέσσατο λαὸν Ἀχιλλεύς.
Τῷ γὰρ ἐπὶ φρεσὶ θῆκε θεὰ λευκώλενος Ἥρη.
Κήδετο γὰρ Δαναῶν, ὅτι ῥα θνήσκοντας ὁρᾶτο.
Οἱ δ' ἐπεὶ οὖν ἤγερθεν, ὁμηγερέες τ' ἐγένοντο,
Τοῖσι δ' ἀνιστάμενος μετέφη πόδας ὠκὺς Ἀχιλλεύς.
Ἀτρεΐδη. νῦν ἄμμε παλιμπλαγχθέντας ὀΐω
Ἂψ ἀπονοστήσειν, εἴκεν θάνατόν γε φύγοιμεν.
Εἰ δὴ ὁμοῦ πόλεμός τε δαμᾷ, καὶ λοιμὸς Ἀχαιούς.
Ἀλλ' ἄγε δή τινα μάντιν ἐρείομεν, ἢ ἱερῆα,
Ἢ καὶ ὀνειροπόλον. καὶ γάρ τ' ὄναρ ἐκ Διός ἐστιν.
Ὅς κ' εἴποι ὅ τι τόσσον ἐχώσατο Φοῖβος Ἀπόλλων.

Εἴτ'

γένετο.] ἐγένετο. ἀργυρέοιο.] ἀργυροῦ, καλοῦ. βιοῖο.] τῆς τοῦ τόξου νευρᾶς. οὐρῆας.] ὀρεῖς, ὑποζύγια. ἐπῴχετο.] ἐπῄει, ἐπήρχετο. ἀργούς.] ταχεῖς, ἢ λευκούς. Διατί δὲ ἀπὸ τῶν κυνῶν, καὶ τῶν ἡμιόνων ὁ λοιμὸς ἤρξατο, οὐκ ἀπὸ τῶν Ἑλλήνων δὲ, οὐδὲ ἀπ' ἄλλου τινὸς ζώου; καὶ οἱ μὲν ῥητορικοὶ λύοντες, φασίν. ὅτι φιλάνθρωπον ὂν τὸ θεῖον, ἐβούλετο παιδεῦσαι τοὺς Ἕλληνας, καὶ μὴ παντάπασιν ἀπολέσαι. καὶ διὰ τοῦτο πρότερον ἀπὸ τῶν τοιούτων ζώων ἤρξατο. μετάνοιαν τοῖς ἁμαρτάνουσι διδούς. οἱ δὲ ἀληθέστερον καὶ φιλοσοφώτερον λύοντες, φασὶν ὅτι, ἅπας μὲν λοιμὸς ἀπὸ ἐκφλογώσεως γίγνεται, γῆθεν ἀναφερομένου τῆς ἀναθυμιάσεως. διὸ καὶ τὸν Ἀπόλλωνα φασὶν αἴτιον, ἐπεὶ ὁ αὐτὸς εἶναι λέγεται τῷ ἡλίῳ τῷ καταφλέγοντι τὴν γῆν. ἐκ γῆς δὲ γινομένης τῆς νόσου, ἀναγκαῖον τοὺς κύνας πρῶτον αἰσθῆσθαι τῆς βλάβης, ὅτι τε, καὶ αἰσθητικώτερα εἰσὶ τὰ ἄλογα ζῶα φύσει τῶν ἀνθρώπων, καὶ ὅτι κατανεύουσι πρὸς τὴν γῆν, καὶ ἀνιχνεύουσι. τοὺς δὲ ἡμιόνους, οὐ διὰ τὸ κάτω νεύειν, ἀλλὰ τῷ ἐκ διαφόρων σωμάτων εἰληχέναι τὴν γένεσιν, πᾶν γὰρ εὐδιάφθαρτον τὸ τοιοῦτον. δεκάτῃ δὲ ἡμέρᾳ φανερὸν γενέσθαι τὸ νοσῶδες κατ' αὐτὸν τὸν Ποιητὴν τὸ θεώρημα εὔλογον τοῦ ἀέρος, ἐν ταύτῃ πάντως καθισταμένου. ἡ Ἥρα φησὶν ἐπὶ φρεσὶ θῆκε τῷ Ἀχιλλεῖ. Ἀχιλλεὺς γὰρ Χείρωνος ὢν μαθητὴς, καὶ τὴν ἰατρικὴν τέχνην σαφῶς ἐπιστάμενος, ἐκ τῆς τοῦ ἀέρος καταστάσεως ἐκείνῳ συνιδόμενος τὸ κακόν. τὸ γὰρ τῆς ἥρας ὄνομα παρὰ τὸν ἀέρα πεποίηται. ἐπεί, τίνος ἕνεκεν Νέστωρ, ἢ Ὀδυσσεύς, ἢ Μενέλαος, οὐδένος ἔλαττον τῶν Ἑλλήνων φροντίζοντες, οὐ ζητοῦσι τὸ αἴτιον τῆς νόσου. αὐτὰρ ἔπειτα.] μεταταῦτα δέ. αὐτοῖσιν.] αὐτοῖς, δηλονότι τοῖς Ἕλλησιν. ἐχεπευκές.] ἔχον πικρίαν. ἀπὸ τῆς πεύκης ἡ μεταφορά. καὶ γὰρ ἡ πεύκη κοπεῖσα, οὐκ ἀνίησι βλαστόν, καὶ τὸ δάκρυον αὐτῆς ἐστι πικρόν, ἢ πίσσα. ἐφιείς.] ἐπιπέμπων. βάλλε.] ἔβαλλεν. ἐκ βολῆς ἀνῄρει. ἐτίτρωσκεν. αἰεὶ δέ.] διαπαντὸς δέ. πυραί.] πυρκαϊαί. τὸ γὰρ παλαιὸν, τὰ σώματα τῶν θνησκόντων πρότερον ἐκαίετο, διὰ τὸ, ἀπέριττα γίγνεσθαι. εἶθ' οὕτως ἐθάπτετο ὑπὸ γῆν. ἡ δὲ αἰτία τοῦ καίεσθαι τὰ σώματα παρὰ τοῖς Ἕλλησιν αὕτη. πρῶτος φασὶν οὕτως ἐτάφη Ἀργεῖος ὁ Λικυμνίου δι' ἀνάγκην ὑπὸ Ἡρακλέους. συναγαγὼν γὰρ στρατείαν ἐπὶ Ἴλιον Ἡρακλῆς, διὰ τὸ, τὸν Λαομέδοντα παρὰ σύνταξιν ποιῆσαι αὐτῷ σώσαντι τοῦ κήτους τὴν θυγατέρα αὐτοῦ Ἡσιόνην, καὶ μὴ δοῦναι τοὺς ἵππους οὓς ὑποσχόμενος ἦν αὐτῷ, ὑπὲρ τῆς τοσαύτης εὐεργεσίας, ἐζήτει καὶ τὸν Ἀργεῖον ὥσανεὶ οἰκεῖον, Λικυμνίου δέ φασι τοῦ πατρὸς Ἀργείου φοβουμένου ὅτι καὶ τὸν πρότερον αὐτοῦ υἱὸν ὀνόματι Οἰωνὸν ἀποστείλας εἰς Λακεδαίμονα μεθ' Ἡρακλέους ἀπέβαλεν καὶ μὴ διδόντος, Ἡρακλῆς ὤμοσεν ἀπάξειν πάλιν αὐτόν. τότε δ' οὖν συμπεσούσης Ἀργείῳ τῆς τοῦ βίου τελευτῆς, διαπορηθεὶς ὁ Ἡρακλῆς πῶς ἂν διατηρήσοι τὸν ὅρκον, ἔκαυσεν αὐτόν. καὶ πρῶτον φασὶ τοῦτον τοιαύτης ἐπιμελείας τυχεῖν. ἡ ἱστορία παρὰ Ἄνδρωνι. νεκύων.] τῶν νεκρῶν. καίοντο.] ἐκαίοντο. θαμειαί.] πυκναί. συνεχεῖς. πῶς φασὶν ὁ Ποιητὴς ἐναντία ἑαυτῷ λέγει. πρῶτον γὰρ εἰπὼν αὐτοὺς δ' ἑλώρια τεῦχε κύνεσσι, νῦν ἐπάγει, αἰεὶ δὲ πυραὶ νεκύων καίοντο. ὁρῶμεν ὅτι ὁ λοιμὸς, ἦγξε τὴν μῆνιν. ἡ μῆνις δὲ, τὰς μεταταῦτα μάχας. καὶ οἱ ἐν ταύταις πίπτοντες, ἑλώρια κυνῶν ἐγίγνοντο. οἱ δὲ, ὑπὸ τοῦ λοιμοῦ φθειρόμενοι ἐκαίοντο. ἐννῆμαρ.] ἐπὶ ἐννέα ἡμέρας. ἀνὰ στρατόν.] κατὰ τὸ στρατόπεδον. ᾤχετο.] ἐπῄει, ἐπήρχετο. κῆλα.] βέλη. ὅτι δὲ σημεῖα. τῇ δεκάτῃ δέ.] προσυπακουστέον, ἡμέρᾳ. ἀγορήν.] ἐκκλησίαν, συνέδριον. καλέσσατο.] συνεκαλέσατο, συνήγαγεν. τῷ γάρ.] τούτῳ γάρ. ἐπὶ φρεσὶ θῆκε.] κατὰ νοῦν ἐποίησε. λευκώλενος.] λευκοβραχίων, ἀπὸ μέρους. καλή. ὁ δὲ τρόπος, σωματοποιΐα, ὠλέναι γὰρ αἱ χεῖρες. Ἥρη κήδετο.] ἐφρόντιζεν ἡ Ἥρα. εὐλόγως δὲ φροντίζει τῶν Ἑλλήνων ἡ Ἥρα, ὅτι τὸ Ἄργος ὅλον ἱερὸν αὐτῆς. ἄλλως τε, καὶ ἦν ὑβρισθεῖσα ὑπὸ Ἀλεξάνδρου, ὡς καὶ ἡ Ἀθηνᾶ, ἐν τῇ τοῦ μήλου κρίσει. ἤθελεν οὖν σώζεσθαι τοὺς Ἕλληνας, ἵνα γένηται τοῖς Τρωσὶν ὄλεθρος. ὅτι ῥά.] ὅτι δή. θνήσκοντας.] ἀποθνήσκοντας. ὁρᾶτο.] ἑώρα, ἔβλεπεν. οἱ δ' ἐπεὶ οὖν.] ἐπειδὴ δὲ οὗτοι. ἤγερθεν.] συνηθροίσθησαν. ὁμηγερέες.] ὁμοῦ κατὰ τὸ αὐτὸ ἐγένοντο. τοῖσι δέ.] ἐν αὐτοῖς δέ. ἀνιστάμενος.] ἀναστάς. τὸ γὰρ παλαιὸν, εἰ καὶ βασιλεὺς ἦν, κἂν ἄλλης οἵας δή ποτε τύχης, ἐδημηγόρει ὀρθὸς ἱστάμενος. μετέφη.] ἐν αὐτοῖς εἶπεν. ἐδημηγόρησε. πόδας ὠκύς.] ὁ ταχὺς τοῖς ποσί. διὰ δὲ τούτου, δηλοῖ ἡμῖν τὸ εὐκίνητον τοῦ ἥρωος. νῦν.] ἄρτι, χρονικὸν ἐπίρρημα. ἄμμε.] ἡμᾶς, Αἰολικῶς. παλιμπλαγχθέντας.] εἰς τοὐπίσω πλανηθέντας. ὀΐω.] οἶμαι. ὑπολαμβάνω. ἄψ.] πάλιν. εἰς τοὐπίσω. ἀπονοστήσειν.] ἐπανελθεῖν, ὑποστρέψειν. νόστος γὰρ ἡ εἰς οἶκον ὑποστροφή. διὰ τὸ τῆς πατρίδος ἡδύ. αἴκεν.] ἐὰν τὸν θάνατον ὅλως διαφύγομεν. εἰ δὴ ὁμοῦ καὶ κατὰ τὸν αὐτὸν χρόνον καὶ καιρόν. δαμᾷ.] δαμάζει. καταπονεῖ. μάντιν ἐρείομεν.] ἀλλὰ δεῦρο μάντιν τινὰ ἐρωτήσωμεν. ἔστι γὰρ γένος τι τῆς μαντικῆς, διαιρούμενον εἰς εἴδη τρία. εἰς οἰωνοσκοπίαν, ἀστροσκοπίαν, καὶ τὴν διὰ τῶν ὀνειράτων μαντείαν. ἐρείομεν.] ἐρωτήσωμεν. ἱερῆα.] θύτην. ὀνειροπόλον.] τὸν δι' ὀνείρων μαντευόμενον. ὄναρ.] ὁ ὄνειρος. καὶ ἡ δι' ὀνείρου ἀποκάλυψις. ἐκ Διός.] ἀπὸ τοῦ Διός. ὅς κ' εἴποι.]

ἤγις αὖ ἡμῖν ἔπτι. ὅτι τοσοῦτον. ἐχώσατο. ὠργίσθη. ἦτ' ἀρ.] ἄτε δή. ἐστι.] ἔστ⊙ ὀχωλῆς.] σὺν ℞ς, λείψεως. ἐπιμέμφεται.] ἐπαιτιᾶται. ἑκατόμβας.] τελείας δυσίας, ἤτοι δι' ἀπὸ ἑκατὸν βοῶν, ἢ δι' ἀπὸ ἑκατὸν βάσεων. ὅ ἐστιν, ἐξ ἡμισπέντων βοῶν. ἀκήρυ πως.] ἀκαί πως. λυίσσομαι.] ἐπίπλεξ λίσσεσθαι. ἀγῶν τε.] ἡδὲ ἀγῶνα. τελέων.] ἦτοι τὴν ὁλικίαν ὁλοκλήρων, τελέων δὲ μένων γὰρ, ὁ δύεται· ἀλλ' ὑγιὴς ὁ τ τελειμένων δυσία. αὐτιάσας.] ἀπαντήσας, μεταχών. ἡμῖν ἀπὸ.] ἄπο ἡδὲ χωρὶς ἡμῶν ποιῆσαι τὸν λοιμόν. λοιγόν.] ὄλεθρον.

ἀμύνω.] ἀπέρξω. ἤτοι ὃν' ὃς ἐπών.] ἔστος ℞ ἕστως ἐπών. κατ' αὖ ἤρετο.] ἐκαθέδη τοῖσι πλ.] ἐν αὐτοῖς ἦ. ἀνέστη.] ἀρθὸς ἔστη. Θεσπρίδης.] ὁ Θέσπρος πᾶις Κάλχας. ὁ ἦ τύπ⊙, παρώνυμος. οἰωνοπόλων.] ὀρνεοσκόπων, μαύτεων. ὃν' ἄρ. βιστος.] ἰδόχως ἄκυρ⊙. ὃς ἤδη.] ὃς τις ὑπίστατο. τά' ἐόντα.] ℞ τὰ ἐνιστῶτα. τά' ἐσόμενα.] ℞ τὰ γενησόμενα.

πρό τ' ἐόντα.] ℞ τὰ παραγεγονότα. ἐσθλὰ γὰρ τελεῖ μαύτεως. ὃ ἐπίσταδαι τὰς ὄρνις ἀνειβῶς. ℞ νύεσι.] ἤγουν ἐγείνετο. Ἰλιον ἔρσω.] ἐ τὴν Ἰλιον. ἰὼ διὰ μαντοσύνην.] διὰ τὴν ἰλίαν μαντείαν. τὴν οἱ.] ὧ τινα αὐτῷ. πόρε.] παρέσχεν. ἐλωρήσατο. ὠφελήσατο. ὀσφιν.] ὃς ἐν αὐτοῖς. εὐφρονέων.] καλῶς νεῶν. ἀγορήσατο, ἤγειρε μετέπειτα.] ἐ ἀνεμνήσθη ℞ ἔπει· κέλευέ με.] κελεύσῃ με. Διὶ φίλε.] τῷ Διὶ προσφιλίσατε. μυθήσασθαι.] ἐπεῖν, ἀπαγγεῖλαι. μήνιμα Ἀπόλλωνος.] τὴν ὀργὴν τ Ἀπόλλωνος. ἐκατηβελέταο.] πόρρωθεν βάλλοντος. σὺ γὰρ χ ζοξότα. ἄνακτος.] βασιλέως. νεῶν ἦ θεῶν. τοί γὰρ ἐγὼν ὄρέω.] ἐγὼ μὲν ἦν ἔπω. σὺ ἦ σώθεο.] σὺ ἦ σώθω. καὶ καταίνησον. κατὰ διαίνυσιν. κέν μοι ὄμοσσον.] καὶ ὄμοσόν μοι. ἦ μέν μοι.] ὄντως λή μοι. ἔπεσι καὶ χρόσσιν.] λόγοις, ℞ ὄργοις. αὐτήσειν.] βοηθήσειν. ἦ γὰρ οἶσμαι.] ἀληθῶς ὑπολαμβάνω. χολωσόμενον.] ὃς ὀργὴν ἐμβαλεῖν. ὃς μέγα.] ὅστις μεγάλως. Ἀργέων.] τ Ἑλλήνων. κρατέει.] βασιλεύει. καὶ οἱ πείθονται Ἀχαιοί.] ℞ αὐτῷ ὑπακούσιν οἱ Ἕλληνες. κράανων.] ἐπικρατήσῃς. ὅτε χ' στῃ.] ἔπαν ὀρτιθῇ. αὐθ' ἡ χέρνιβ.] αὐθρεί χάρονι λάβοι. ἦ πρὸ γάρ τε.] ἐκεί πρὸ γάρ, ἦ ἵνα. χόλον. τὴν ὀργήν. κὐθμηβόλον, ἐν αὐτῇ τῇ ὑμέρᾳ. κατασπένῃ.] κατάσχῃ, καταβαπανήσῃ. ἦ ℞ μεταφορὰ ἀπὸ τ ἐν γαστρὶ πλέοντος χρόνῳ κατεχομένων σιτίων, διὰ τὴν πίψιν τὴν ἐν αὐτῇ γινομένην. μετόπισθεν.] μεταταῦτα. ἐν δευτέρᾳ ἔχει.] κατέχει. φυλάξῃ. κότον.] ὀργήν. ὄφρα τίλιται.] ὅπως τιμήσῃ. ἑοῖσιν.] ἰδίοις. φράσαι.] λογίσαι, σκέψαι. ἤ με σώσεις.] ὅπως με σώσῃς. τόν δε.] ἔστιν δέ. ἀμυδδόμην⊙.] ἠ ἀμυνεῖν ἀποκρινόμενος. προσέφη.] προσεῖπεν. πόθι κως ὠνός.] ταχὺς ἐν τῷ βλέχειν. δαφοίνησας.] σὺν ἀρσενῆς καὶ ἄφοβ⊙ γνώμονος. μάλα.] λίαν, παύν.

θεοπρόπιον.] τὸ ἐκ θεῶν μαύτευμα. ἢ τὸ τοῖς θεοῖς ἀρέσκον. ὅτω γὰρ τὰ τοῖς θεοῖς ἀρέσκοντα λέγουσιν. ὅτι οἶδα.] ὅπερ ἐπίσασαι. ἀ μὰ γαῖ.] ὄμνυμι γάρ σοι. ἢ ὄν ἀπομωλήκεις. πεπλεόνακε γὰρ τὸ ὀ, κατὰ ἀτλικὸν συνήθειαν. Διὶ φίλ.] τ τῷ Διὶ προσφιλίσατον. ὥστε σύ.] ὦ τινι σὺ ὦ Κάλχαν. θεοπροπίας.] τὰς ἐκ θεῶν μαντήας. αὐαφαίνεις.] φανερὰς ποιῇς, περισκαίνεις. ὅτις.] ὃς ἡμῖν. ἐμεῦ.] ἐμοῦ. ἰὼν ἀν χθονί.] ἰὼν ἀν γῆς. ὀβριμόνοος.] ὀρῶντος, ἢ ὀρωμένης. σεῖ πείλυς.] κοίλαις· βαθείαις. βαρέας χάρας.] ὑβριστικὰς, φονικάς. ἐποίσει.] ἐπιβαλῇ, ἐπενέγκοι. συμπαίτων Δαναῶν.] ὁμοῦ παύτων τ Ἑλλήνων. ἀλλ' ὦ Ἀγαμέμνονα ἔπης.] ἀλλ' αὖ αὖ τ Ἀγαμέμνονα ἀνομάσῃς. ὁ ἦ ῥόπος βοχύ. νεῶν.] ἐν τῷ παρόντι καιρῷ. πολλόν.] κατακολύ. Ἀργεῖος.] βοχώτατος. ἐνὶ στρατῷ.] ἐν τῷ στρατοπέλῳ. σύχετ.] παυχᾶτε. βαρήσει.] ἐβαρήσην, ἀνέξωπυρήθη. καὶ ὕυλα.] καὶ ἐπιμ. ἀμύμων.] ἄμωμ⊙, ἀγαθὸς καὶ ἄψογ⊙. ὅτ' ἀρ.] οὕτε λάθ-

Εἶτ' ἄρ' ὃγ' ὀυχαλῆς ὠλμέμφετα, εἴθ' ἑκατόμβης.
Αἰκών πως ἀρνῶν κνισσης, ἀγῶν τε τελείων
Βάλεται ἀντιάσας, ἡμῖν ἀκὴ λοιγὸν ἀμῦναι.
Ἦτοι ὃγ' ὣς εἰπὼν, κατ' ἄρ' ἕζετο. τοῖσι δ' ἀνέστη
Κάλχας Θεσπρίδης οἰωνοπόλων ὄχ' ἄριστ⊙,
Ὃς ἤδη τά' ἐόντα, τά' ἐσόμενα, πρό τ' ἐόντα,
Καὶ νήεσ' ἡγήσατ' Ἀχαιῶν Ἰλιον εἴσω,
Ἧν δι' ἀμαντοσύνῃν, τὴν οἱ πόρε Φοῖβ⊙ Ἀπόλλων.
Ὅσφιν ἐὐφρονέων ἀγορήσατο καὶ μετέειπεν.
Ὦ Ἀχιλεῦ. πέλεαί με Διὶ φίλε μυθήσασθαι
Μῆνιν Ἀπόλλωνος ἑκατηβελέταο ἄνακτος.
Τοὶ γὰρ ἐγὼν ἐρέω, σὺ δὲ σπείσειε, καί μοι ὄμοσσον,
Ἦ μὲν μέν μοι πρόφρων ἔπεσιν, καὶ χερσὶν ἀρήξειν.
Ἦ γὰρ οἶομαι ἄνδρα χολωσέμεν, ὅς μέγα πάντων
Ἀργείων κρατέει, καὶ οἱ πείθονται Ἀχαιοί.
Κρείσσων γὰρ Βασιλεὺς ὅτε χώσεται ἀνδρὶ χερείῃ,
Εἴπερ γάρ τε χόλον γε καὶ αὐτῆμαρ κατα πέψῃ,
Ἀλλά γε καὶ μετόπισθεν ἔχει κότον, ὄφρα τελέσσῃ
Ἐν σήθεσιν ἑοῖσι. σὺ δὲ φράσαι εἴ με σαώσεις.
Τόνδι' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς,
Θαρσήσας μάλα εἰπὲ θεοπρόπιον ὅ, τι οἶδα.
Οὐ μὰ γὰρ Ἀπόλλωνα Διὶ φίλον, ὧ τε σὺ Κάλχαν
Εὐχόμεν⊙ Δαναοῖσι θεοπροπίας ἀναφαίνεις,
Οὔτις ἐμοῦ ζώντ⊙, καὶ ἐπὶ χθονὶ δέρκομαι οἷος,
Σοί κοίλης παρὰ νηυσὶ βαρείας χεῖρας ἐποίσει,
Συμπάντων Δαναῶν, σόν' ἦν Ἀγαμέμνονα εἴπῃς,
Ὃς νῦν πολλὸν ἄρειος φέρτατος στρατῷ σύχεται εἶναι.
Καὶ τότε σ' ἠ. θάρσησε, καὶ ἤυσ' ἀμύμων.
Οὔτ' ἄρ' ὄγ' ὀυχαλῆς ὠλμέμφετα, οὔθ' ἑκατόμβης.
Ἀλλ' ἕνεκ' ἀρητῆρος, ὃν ἠτίμησ' Ἀγαμέμνων.
Οὐδ' ἀπέλυσε θύγατρα, οὐδ' ἀπεδέξατ' ἄποινα.

Τ̓ὄνεκ'

σεδή. ὅτε.] ἔστ⊙ ὁ Ἀπόλλων. σὺχωλῆς.] σὺχῆς, λείψεως. ἀρητῆρος.] τ ἱερέως. ὃν' ἀπέλυσεν.] ὃν ἀπελύσατο. ὃν ἀπεδέξατο.] ὃν ἐδέξατο. τάνυσε.] τότε ἕνεκα. τότε χάριν. ἄρ.] δή. ὃν' ἔτι.] καὶ ἔτι. λύσει.] παράσχῃ. δ' ἄγε.] δ' ἔστω. πρίν.] πρότερον. λοιμοῖο.] τ λοιμᾶ. βαρείας.] βλαβεράς. κακωτικάς. ἀφέξει.] ἐπίσχει. παύσει. πρὶν γ' ἀπό.] ὑπερβατόν. φίλω.] φιλοσπλ. δόμωσι.] δόμοις. ἑλικώπιδα.] μιλανόφθαλμον. ἀφ' ὃ, σύντρεπτ. ἑλικὸν γὰρ κατὰ διάλεκτον καλεῖτ' τὸ μέλαν. κόρῃ.] κόρῃ, δυγατέρα. ἀπειράτῳ, αὐάπτοινον.] αὖτε πράσσει ℞ δώρων. ἐπιρρηματικῶς. ἀγεινθ'.] ℞ ἀπάγεμ. παράλειψις ὁ ῥόπος. ἰόρλῳ.] ἐς τὴν ἱδρὼ Χρύσαν. ἑκατόμβην.] τελείαν θυσίαν. τότε μέν μιν.] τότε αὖ αὐτόν. ἱλασάμενοι.] ἐξιλεωσάμενοι, ἐξευμενίσαντες. περίθοιμεν.] περίσωμεν. κατ' ἄρ' ἔρετο.] ἐκαθέδη. σύρυκάμψ.] μεγάλως κραιπ ἡρώ βασιλεύων. ἀχνύμεν⊙.] λυπόμεν⊙. ὀργιβόμεν⊙. μένει⊙.] ὀργῦς. θυμῷ. φρένας ἀμφιμέλαινας.] αἱ ἐν βάθει κάμπτουσι καὶ συνετὰ διανόσεις αὖ ἦ τεταραγμένας διὰ τὴν ὀργήν. πλήσαντο.] ἐπλήρωντο. ἴσασι.] ὄμματα. ὀφθαλμοί. οἱ.] αὐτῷ. πυρὶ λαμπετόωντι.] πυρὶ λάμποντι. εἰκτήν.] ὠμοίωντο. πρότισα.] πρὸ παύτων. κὰν' ὀσόμην⊙.] λευνὸν καὶ ὀργίλον ὑποβλεπόμενος. προσίφτε.] προσέπτω αὐτῷ. μαύτι κακῶν.] ὦ κακῶν μαύτι. συντόνως ἦ ἦτο, ἐς τὰ δεινὰ τὴν μαντεύσασθαι κιὼν ἐν Αὐλίδι τ πόλεμον, ὅσον ἀπὸ τ συμβόλα τ στρατῶν.

ἀπώποτέ μοι.] ἀλίκετέ μοι. τὸ κρήγυον.] τὸ ἀληθές. νεῶν ἦ τὸ ἀγαθόν. ἔφης.] ἔπας, ἔλεξας. αὐάτου.] ἀεάσου, διὰ παντός. ἦ κὰν' ὅτι φίλας.] ἦ κακά ἐστι προσφιλῆ. φρεσί.] ταῖς διανοίαις. ἰδέλθω λέ.] ἀγαθὸν λέ. ἀδίτιπτω.] ἀδίκητος. ἔπ⊙.] λόγου. δ' ἐτέλεσσας.] δ' ἔπραξας, ἦ ἐπλήρωσας. νεῶ.] ἐν τῷ παρόντι καιρῷ. ἐν Δαναοῖσιν.] ἐν τοῖς Ἕλλησιν. θεοπροπίαν.] μαντεύομαι. ἀεροσύρᾳ.] δημηγορῇς, λέγεις. ὡς δή τ δ' ἔνεκα.] ὡς ὅτι τότε χάριν. σφίν.] αὐτοῖς τοῖς Ἕλλησιν. τεύχει.] παρέχει, ποιῇ. ἕνεκα.] ἕ ἕνεκα, δεῦτε. ἐν ἐθέλω.] ἐν ἐθέλομι. πέξασθαι.] λαβεῖν. οἶκοι ἔχειν.] ἐν τῷ οἴκῳ κατέχειν. ℞ γὰρ ῥα.] ℞ γὰρ δή. Κλυταιμνήστρης.] ℞ Κλυταιμνήστρας γυναικὸς μου, ἦ ἦ Κλυταιμνήστρα Ἀγαμέμνονος γυνή. Τυνδαρίῳ ἦ ℞ Δηΐδας ℞ Θεστίῳ θυγάτηρ. Ἑλένης ἦ ἀδελφή. προὐέβαλα.] προοικήκεικα, προτετιμῶ. ἡρηδίης ἀλόχῳ] παρθενικῆς γυναικός. Διατί ἦ ὁ Ἀγαμέμνων τὴν αἰχμάλωτον ℞ γαμικῇ προσηρέτο; λέγ γὰρ Κλυταιμνήστρης προὐέβαλε. ℞ οἱ μὲν φασιν ὅτι, ἕνεκεν τ μὴ ἅπασι τοῖς Ἕλλησιν ἐφ' ὕβρει κατέχεσθαι τὴν πόρην. οἱ ἦ, ὅτι ἐπαινῇ τὴν Χρυσηΐδα, ἵνα μὴ τὰ τυχόντα τοῖς Ἕλλησιν, ἀλλὰ τὰ μέγιστα δοκῇ χαρίζεσθαι. ἔνιοι ἦ ὅτι ψευδόμενον ἀποδίδυνεισι τὸν Κάλχαντα· ὡσὼς γὰρ ὀργίζοντο αὖ ὁ θεός. ℞ αἰχμαλώτης μηδὲν ἐφίβλεπτον πασχόσης. ἐπεὶ δ' ἔθεν.] ἐπεὶ κατ' ἀδίκην κυβ. χρέων.] χέρων, ἐλάσσων. οὐ δέμας.] κατὰ τὸ σῶμα. δέμας ἦ ὁ Ποιητὴς τὸ ἐμψυχον εἴωθε λέγειν· παρὰ τὸ, δεδέσθαι καὶ συναπτήναι. οἷον, ὃ δέμας, ὃ ἦ φυή. ℞ πάλιν. δέμας δ' ἤικτο γυναικὶ παλῇ τε μεγάλῃ τε καὶ ἀλλαχοῦ, ὃ ἦ ἔοικε θνητὰς ἀθανάτῃσι δέμας. σῶμα ἦ καὶ τὸ ἄψυχον. ἐπὶ σῶμα ℞ ἐστὶ τ πᾶσι ζῶντος. οἷον, σῶμα ἦ οἶκον ἐμόν, ℞ λόθι τ Ἐλπήνορος πάλιν. σῶμα γὰρ ἐν Κίρκης κατελίσσομεν, ℞ ἐτι. σώματ' ἀκηδέα κεῖτ'. Εὐριπίδης μὲν τοι ἐνηλλαγμένως λέγων. ἕκτορ ἦ δὴ τὸ δ' ἦμαρ ἀβότῳ σφαγαῖς. Θανάσας μήτηρ πυρὶ καθάγνισαι δέμας. Δ ξὲ γὰρ Ἀργείοισι σῶμ' αἰσχύνομαι. ὃ ἦ φυλὴ.] ἦ ℞ τῶν τ σώματος σὺφυίαν καὶ ἀρετῶν. ὅτ' ἀῦ φρένας.] ὅτε κατὰ τὰς φρένας. ὅτ' ἔτι ὄργας.] ὅτε κατὰ τὰ ὄργα. ἀλλὰ ℞ ὥς.] ἀλλὰ καὶ ὅμως. ἰθέλω.] θέλω, βέβουλα. δόμεναι.] δόσιναι. πάλιν.] ἐς τὸ πίσω. ἦ τόν' ἄμεινον.] ἦ τ ἦτο βέλτιον. σόων ἕμμεναι.] σῶον ἦναι, ℞ σώζεσθαι. ὁ ἦ λόγος, βέλω εχρ φησιν ἐὼ τ ὄχλον μᾶλλον σώζεσθαι, ℞ αὐτὸς ἀπολέσθαι. ὁ εχρ ἦ σύμβουλος αὐτὶ τ ℞ παραίνεσή τῷ Ποιητῇ. λαόν.] ὄχλον, πλῆθος. ἦ ἀπολέσθαι.] ἦ ἀπολέσθαι ἐμέ. αὐτὸν ἐμοί.] ἐμοί ἦ γέρας.] τιμή. αὐτίνα.] παραχρῆμα, σύθεως. ἑτοιμάσατ'.] ἑτοιμάσατε, ἑτοίμην ποιήσατε. ὄφρα μὴ οἷος.] ὅπως μὴ μόνος. Ἀργέων.] τῶν Ἑλλήνων. ἀγέρασος.] αὖτε γεροῦν. αὖτε τιμῆς. ἔω.] ὑπάρχω. ἐπί οὐδ' ἔοικεν.] ἦ γὰρ πρέπει. λεύσιτε.] ὁράτε, βλέπετε. τόγε.] ἔτο. ὅμοι.] ὅτι μοι. ὄρχετ⊙.] ἀπέρχεται. ἄλλη.] ἀλλαχοῦ.

ἠμείβετο.] ἐξ ἀμοιβῆς ἀπεκρίνατο. ἔπειτα.] μεταταῦτα. ποδάρκης.] ἤτοι ὁ τοῖς ποσὶ ταχὺς, ἢ ὁ ἐπαρκῶν τοῖς ποσὶ δυνάμενος, ἰσχυρός. δῖος.] θεῖος, εὐγενής. κύδιστε.] ἐνδοξότατε. φιλοκτεανώτατε.] φιλοχρηματώτατε. πῶς γάρ τοι.] πῶς γάρ σοι. μεγάθυμοι.] μεγαλόψυχοι, γενναῖοι. Ἀχαιοί.] οἱ Ἕλληνες. Ἀχαιοὺς δὲ, καὶ Δαναοὺς, καὶ Ἀργείους, ὁ Ποιητὴς καλεῖ τοὺς Ἕλληνας. Δαναοὺς μὲν, ἀπὸ Δαναοῦ τοῦ Βήλου τοῦ Ποσειδῶνος. Ἀχαιοὺς δὲ, ἀπὸ Ἀχαιοῦ τοῦ Ξούθου, καὶ Κρεούσης τῆς Ἐρεχθέως. Ἀργείους δὲ, ἀπὸ Ἄργου Ἀπίδος καὶ Νιόβης τῆς Φορωνέως. Ἕλληνας δὲ, ψιλῶς, καλεῖ τοὺς ὑπὸ τῷ Ἀχιλλεῖ λέγων. Μυρμιδόνες δὲ καλοῦντο καὶ Ἕλληνες καὶ Ἀχαιοί. οὐδέ τι πω ἴδμεν.] οὐ δὲ ἐπιστάμεθα. ξυνήϊα.] κοινὰ χρήματα. κείμενα.] ἀποκείμενα. τά.] ἅτινα. πολίων.] πόλεων. ἐξεπράθομεν.] ἐξεπορθήσαμεν. τὰ δέδασται.] ταῦτα μεμέρισται. λαοὺς δ'.] τοὺς ὄχλους δέ. οὐκ ἐπέοικε.] οὐ προσῆκόν ἐστι. παλίλλογα.] παλισύλλεκτα. ἀντὶ τοῦ, οὐ δίκαιόν ἐστιν εἰς τὸ αὐτὸ πάλιν συναγαγεῖν τοὺς Ἕλληνας τὰ ἅπαξ φθάσαντα αὐτοῖς διαμεμερίσθαι χρήματα. ἐπαγείρειν.] ἐπισυναθροίζειν. ἀλλὰ σὺ μὲν νῦν.] ἀλλὰ σὺ ἀπὸ τοῦ παρόντος ὦ Ἀγάμεμνον. πρόες.] πρόπεμψον. θεῷ.] τῷ Ἀπόλλωνι. αὐτὰρ Ἀχαιοί.] οἱ δὲ Ἕλληνες. τριπλῇ τετραπλῇ τ'.] τριπλασίονα καὶ τετραπλασίονα. αἴ κέ ποθι Ζεύς.] ἐάν ποτε ὁ Ζεύς. δῶσι.] παράσχῃ. τὸ, σι, ἐπέκτασις. πόλιν Τροίην.] Τρωϊκὴν πόλιν. λέγει δὲ τὴν Ἴλιον. εὐτείχεον.] καλῶς τετειχισμένην. διὰ τὸ, ὑπὸ θεῶν τετειχίσθαι καθ' Ὅμηρον Ποσειδῶνος καὶ Ἀπόλλωνος. ἐξαλαπάξαι.] ἐκπορθῆσαι. κρείων.] βασιλεύς, ἄναξ. μὴ δ' οὕτως.] μὴ δὲ οὕτως. ἀγαθός περ ἐών.] καί περ γενναῖος ὑπάρχων. θεοείκελ'.] θεοῖς τὸ εἶδος ὅμοιε. ὅ ἐστι τὸ κάλλος. εὐειδὴς γὰρ παρὰ πάντας τοὺς ἥρωας, Ἀχιλλεὺς καὶ γυναικοπρόσωπος. ὡς καὶ ἐν τῷ Λυκομήδους παρθενῶνι ἀγνοηθῆναι ὅτι εἴη ἀνήρ. κλέπτε νόῳ.] παραλογίζου τῇ διανοίᾳ. ἐπεί.] ἐπειδή. οὐ παρελεύσεαι.] οὐ παρέλθῃς. οὐ νικήσεις με. ἀπὸ μεταφορᾶς τοῦ δρόμου, ἐν ᾧ παρελθὼν νικᾷ. ἢ ἐθέλεις.] ἢ βούλει. ὄφρ' αὐτός.] ὅπως αὐτός. γέρας.] τιμήν. αὐτὰρ ἔμ' αὔτως.] ἐμὲ δὲ ματαίως. ἧσθαι.] καθέζεσθαι. δευόμενον.] ἐνδεόμενον, χρήζοντα. κέλεαι δέ με.] κελεύεις δέ με. ἀλλ' εἰ μέν.] ἀλλ' ἐὰν μέν. δώσουσι.] παράσχωσιν. μεγάθυμοι.] μεγαλόψυχοι, γενναῖοι. ἄρσαντες κατὰ θυμόν.] ἁρμόσαντες κατὰ τὴν ψυχήν. τουτέστιν, ἀρεστὸν καὶ θυμήρεις ποιήσαντες. ἀντάξιον.] ἴσον τῇ τιμῇ, ἄξιον, ἰσότιμον. ἔσται.] γένηται. εἰ δέ κε μὴ δώωσιν.] εἰ δὲ μὴ παράσχωσιν. ἐγὼ δέ κεν.] ἐγὼ δ' ἄν. αὐτὸς ἕλωμαι.] αὐτὸς ἀφέλωμαι. ἢ τεόν.] ἢ τὸ σόν, ὅ ἐστι τὴν Βρισηΐδα. ἢ Αἴαντος γέρας.] Τέκμησσαν λέγει τὴν Τελεύταντος θυγατέρα. ἰών.] παραγενόμενος. ἢ Ὀδυσῆος.] Λαοδίκην λέγει τὴν Κύκνου θυγατέρα. ταῦτα δὲ αἰνιγματωδῶς φησι. τὸ δὲ ὅλον ἀποτείνεται πρὸς Ἀχιλλέα. ἄξω.] ἀπάξω. ἑλών.] λαβών. ὁ δέ κεν.] οὗτος δὲ ἄν. κεχολώσεται.] ὀργισθήσεται. ὅν κεν ἵκωμαι.] ἐφ' ὃν ἂν παραγένωμαι, ἐφ' ὃν ἔλθω. ἀλλ' ἤτοι μὲν ταῦτα.] ἀλλὰ περὶ μὲν τούτων. μεταφρασόμεσθα.] καὶ ἐν ὑστέρῳ βουλευσόμεθα. καὶ αὖτις.] καὶ πάλιν. νῦν δ' ἄγε.] νῦν δὲ ἄγε δή. νῆα.] ναῦν. μέλαιναν.] βαθεῖαν, ἢ πίσσῃ κεχρισμένην. ἐρύσσομεν.] καθελκύσωμεν, ἐμβάλωμεν. εἰς ἅλα.] εἰς τὴν θάλασσαν. δῖαν.] θείαν ἢ θαυμαστήν. ἐς δ' ἐρέτας.] εἰς αὐτὴν δὲ κωπηλάτας. ἐπιτηδές.] ἐπιτηδείους. ἀγείρομεν.] συναθροίσωμεν. ἀνὰ δ' αὐτήν.] καὶ αὐτὴν δέ. καλλιπάρῃον.] καλὰς παρειὰς ἔχουσαν, ἀπὸ μέρους καλήν. βήσομεν.] ἀναβιβάσωμεν, ἐμβάλωμεν. ἀρχός.] ἀρχηγός, ἡγεμών. νῦν δὲ, ναύαρχος. βουληφόρος.] βουλευτής. ἔστω.] γενέσθω. ἠὲ σύ.] ἢ σὺ Πηλείδη.] Πηλέως παῖ Ἀχιλλεῦ. ἐκπαγλότατε.] ἐκπληκτικώτατε, φοβερέ, ἢ ἐξοχώτατε. ὄφρ' ἡμῖν.] ὅπως ἡμῖν. ἑκάεργον.] πόρρωθεν εἴργοντα. ἢ πόρρωθεν ἐργαζόμενον, τοξότην. ἱλάσεαι.] ἐξιλεώσῃς, λιτανεύσῃς. ἱερά.] ἱερεῖα, θυσίας ῥέξας.

Τὸν δ' ἠμείβετ' ἔπειτα ποδάρκης δῖος Ἀχιλλεύς·
Ἀτρείδη κύδιστε, φιλοκτεανώτατε πάντων,
Πῶς γάρ τοι δώσουσι γέρας μεγάθυμοι Ἀχαιοί;
Οὐδέ τί πω ἴδμεν ξυνήϊα κείμενα πολλά.
Ἀλλὰ τὰ μὲν πολίων ἐξεπράθομεν, τὰ δέδασται.
Λαοὺς δ' οὐκ ἐπέοικε παλίλλογα ταῦτ' ἐπαγείρειν.
Ἀλλὰ σὺ μὲν νῦν τήνδε θεῷ πρόες, αὐτὰρ Ἀχαιοί
Τριπλῇ τετραπλῇ τ' ἀποτίσομεν, αἴ κέ ποθι Ζεὺς
Δῷσι πόλιν Τροίην εὐτείχεον ἐξαλαπάξαι.
Τὸν δ' ἀπαμειβόμενος προσέφη κρείων Ἀγαμέμνων,
Μὴ δ' οὕτως ἀγαθός περ ἐὼν θεοείκελ' Ἀχιλλεῦ,
Κλέπτε νόῳ, ἐπεὶ οὐ παρελεύσεαι, οὐδέ με πείσεις,
Ἦ ἐθέλεις ὄφρ' αὐτὸς ἔχῃς γέρας, αὐτὰρ ἔμ' αὔτως
Ἧσθαι δευόμενον, κέλεαι δέ με τήνδ' ἀποδοῦναι,
Ἀλλ' εἰ μὲν δώσουσι γέρας μεγάθυμοι Ἀχαιοί.
Ἄρσαντες κατὰ θυμόν, ὅπως ἀντάξιον ἔσται.
Εἰ δέ κε μὴ δώωσιν, ἐγὼ δέ κεν αὐτὸς ἕλωμαι
Ἢ τεόν, ἢ Αἴαντος ἰὼν γέρας, ἢ Ὀδυσῆος
Ἄξω ἑλών, ὁ δέ κεν κεχολώσεται, ὅν κεν ἵκωμαι.
Ἀλλ' ἤτοι μὲν ταῦτα μεταφρασόμεσθα καὶ αὖτις,
Νῦν δ' ἄγε νῆα μέλαιναν ἐρύσσομεν εἰς ἅλα δῖαν.
Ἐς δ' ἐρέτας ἐπιτηδὲς ἀγείρομεν, ἐς δ' ἑκατόμβην
Θείομεν, ἂν δ' αὐτὴν Χρυσηΐδα καλλιπάρῃον
Βήσομεν, εἷς δέ τις ἀρχὸς ἀνὴρ βουληφόρος ἔστω.
Ἢ Αἴας, ἢ Ἰδομενεύς, ἢ δῖος Ὀδυσσεύς.
Ἠὲ σὺ Πηλείδη πάντων ἐκπαγλότατ' ἀνδρῶν,
Ὄφρ' ἡμῖν ἑκάεργον ἱλάσεαι ἱερὰ ῥέξας.
Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πόδας ὠκὺς Ἀχιλλεύς.
Ὤ μοι

ῥέξας.] ἱερουργήσας, θύσας. τὸν δ' ἄρ.] τοῦτον δὲ δή. ὑπόδρα ἰδών.] δεινὸν ὑποβλεψάμενος. προσέφη.] προσεῖπε, προσεφθέγξατο. ὤ μοι.] φεῦ μοι. ἔστι δὲ ἀναφώνημα, καὶ ἐπίρρημα λύπης δηλωτικόν. ἀναιδείην.] ἀναισχυντίαν. ἐπιειμένε.] ἠμφιεσμένε, περιβεβλημένε. κερδαλεόφρον.] πανοῦργε τὸ φρόνημα, ἢ περικερδῆ τὸν νοῦν ἔχων. τουτέστι κερδαίνειν φρονῶν. πῶς τίς τοι.] πῶς τίς σοι. πρόφρων.] προθύμως. ἔπεσι.] λόγοις. πείθηται.] πεισθῇ. ὁδόν.] ἢ εἰς ὁδὸν παραγενέσθαι, ὅ ἐστιν εἰς ἐνέδραν κατελθεῖν. ἶφι.] ἰσχυρῶς, γενναίως. μάχεσθαι.] πολεμῆσαι. οὐ γὰρ ἐγώ.] οὐδαμῶς γὰρ ἐγώ. Τρώων ἕνεκεν.] ἕνεκα τῶν Τρώων. ἤλυθον.] παρεγενόμην. αἰχμητάων.] πολεμικῶν. δεῦρο.] ἐνταῦθα. μαχησόμενος.] μαχεσόμενος, πολεμήσων. ἐπεὶ οὔτι μοι αἴτιοί εἰσιν.] ἐπειδὴ οὐδαμῶς, καὶ κατ' οὐδέν μοι αἴτιοι ὑπάρχουσιν. οὐ γάρ πώποτε.] οὐδέποτε γάρ. ἐμὰς βοῦς ἤλασαν.] τὰς ἐμὰς ἤλασαν βοῦς. οὐδέ ποτε.] οὐδαμῶς, οὐδέποτε. ἐν Φθίῃ.] Φθία πόλις Θεσσαλίας παραθαλασσία, πατρὶς Ἀχιλλέως. ἐριβώλακι.] μεγαλοβώλῳ, εὐγείῳ. βωτιανείρῃ.] ἄνδρας βοσκούσῃ, ἢ τρεφούσῃ. ἐδηλήσαντο.] ἔβλαψαν. ἐπειὴ μάλα.] ἐπειδὴ πάνυ. μεταξύ.] ἀναμέσον. οὔρεά τε.] καὶ ὄρη. Ἰὰς ἡ διάλεκτος. σκιόεντα.] σύσκια, σκιὰν ἀποτελοῦντα. ἠχήεσσα.] ἠχητική, ἀπὸ τῆς τῶν κυμάτων κινήσεως. ὁ δὲ λόγος, οὐδέποτε ἠδίκησάν με οἱ Τρῶες. ἐπειδὴ μεταξὺ Φθίας καὶ Ἰλίου, πολλά ἐστι μέγιστα ὄρη, καὶ πολλὴ θάλασσα. ὡς μὴ εἶναί με αὐτῶν ἀστυγείτονα. ὦ μέγ' ἀναιδές.] ὦ μεγάλως ἀναιδέστατε. ἅμ' ἑσπόμεθα.] ὁμοῦ καὶ κατὰ τὸ αὐτὸ ἠκολουθήσαμεν. ὄφρα σὺ χαίρῃς.] ὅπως σὺ εὐφραίνῃ. τιμήν.] τιμωρίαν τῶν Τρώων ὑπὲρ Μενελάου. ἀρνύμενοι.] ἀντικαταλλασσόμενοι, λαμβάνοντες. σοί τε κυνῶπα.] ἀντὶ τοῦ, ὑπὲρ σοῦ ὦ ἀναιδέστατε. πρὸς Τρώων.] παρὰ τῶν Τρώων. τῶν οὔτι.] ὧν, εὐεργεσιῶν δηλαδή, οὐδέν. μετατρέπῃ.] ἐπιστροφὴν ποιῇ, ἢ φροντίζεις. οὐδ' ἀλεγίζεις.] οὐδὲ λόγον ποιῇ τινά. ἀφαιρήσεσθαι.] ἀφελέσθαι. ἀπειλεῖς.] ὑπισχνῇ, λέγεις. ᾧ ἔπι.] ἐφ' ᾧ. ἀναστροφὴ ὁ τρόπος, ἀναστροφὴ δέ ἐστι δύο λέξεων τάξις ἐνηλλαγμένη, οἷον, λέων ὣς, ὡς λέων. ὄρνιθες ὥς, ὡς ὄρνιθες. ᾧ ἔπι, ἐφ' ᾧ. ἐμόγησα.] ἐκοπίασα, ἐκακοπάθησα. δόσαν δέ μοι.] παρέσχον δέ μοι αὐτό. υἷες Ἀχαιῶν.] περιφραστικῶς, οἱ Ἕλληνες. οὐ μέν σοί ποτε] οὐδέποτε μέν σοι. ἶσον.] ἐξίσου, ὅμοιον. ὁππότ' Ἀχαιοί.] ὁπόταν οἱ Ἕλληνες. ἐκπέρσωσιν.] ἐκπορθήσωσι, καταστρέψωσιν. εὐναιόμενον.] καλῶς οἰκούμενον. πτολίεθρον.] πόλισμα, πόλιν. πλεῖον.] πλεῖστον. πολυάϊκος.] πολλὰς ὁρμὰς καὶ κινήσεις ἔχοντος, ἀστάτου. πολέμοιο.] τοῦ πολέμου. χεῖρες ἐμαὶ διέπουσιν.] αἱ ἐμαὶ χεῖρες διοικοῦσιν. δασμός.] μερισμός, τῶν λαφύρων δηλονότι. ἵκηται.] παραγένηται. πολὺ μεῖζον.] καταπολὺ μεῖζον. ὀλίγον τε φίλον τε.] ἐμοὶ ἐλάχιστόν τι ἔρχεται, καὶ τοῦτο προσφιλὲς ἡγοῦμαι. ἐπὴν κεκάμω πολεμίζων.] καὶ ταῦτα, ἐπειδὰν κακοπαθήσω πολεμῶν. νῦν δ' εἶμι Φθίηνδε.] νῦν δὲ πορεύομαι εἰς τὴν Φθίαν. ἐπειή.] ἐπειδή. πολὺ φέρτερον.] κατὰ πολὺ κρεῖσσον, βέλτιον. ἐστίν.] ὑπάρχει. οἴκαδ' ἴμεν.] εἰς τὸν οἶκον παραγενέσθαι. σὺν νηυσί.] σὺν ταῖς ναυσί. κορωνίσιν.] ἐπικαμπεῖς τὰς ἄκρας ἐχούσας. ὅ ἐστι τὰς πρύμνας, ἢ μελαίνας. κορώνη γὰρ τὸ μέλαν. οὐδέ σ' ὀΐω.] οὐχ ὑπολαμβάνω δέ σε. ἐνθάδ' ἄτιμος ἐών.] ἐνταῦθα ἀτιμαζόμενος. ἐνήλλακται δὲ ἡ πτῶσις. ἀντὶ γὰρ γενικῆς, κέχρηται ὀνομαστικῇ. ὅ ἐστι σχῆμα. ἄφενος.] πλοῦτον. κυρίως δὲ ἄφενος λέγεται, ἡ ἀφ' ἑνὸς ἐνιαυτοῦ περιουσία. πλοῦτος δὲ, ἡ ἀπὸ πολλῶν. ἀφύξειν.] ἀπαντλήσειν, προσπορίσειν. τὸ δὲ ὅλον, οὐχ ὑπολαμβάνω δέ σε φησὶν, ἐμοῦ ἀπόντος καταστρέψαι τὴν Ἴλιον, καὶ πολὺν πλοῦτον λαβεῖν. μάλα.] λίαν, πάνυ. εἴ τοι θυμός.] εἰ ἡ ψυχή σου. τοῦτο δὲ τὸ ὄνομα παρὰ τῷ Ποιητῇ σημαίνει τὴν ὀργήν. ὡς τό, θυμὸς δὲ μέγας ἐστὶ διοτρεφέων βασιλήων. τὴν ψυχήν. ὡς ὅταν εἴπῃ, μελιηδέα θυμὸν ἀπηύρα. τὴν ἐπιθυμίαν, ὡς τό, ᾧ θυμῷ εἴξας μίγη φιλότητι καὶ εὐνῇ. τὸν ἐπιλογισμόν, ἕτερος δέ με θυμὸς ἀνώγει. καὶ τὴν ὁμόνοιαν, ὡς ἐπὶ τοῦ, ἀλλ' ἕνα θυμὸν ἔχοντε νόῳ καὶ ἐπίφρονι βουλῇ. ἐπέσσυται.]

Ὤ μοι ἀναιδείην ἐπιειμένε, κερδαλεόφρον,
Πῶς τίς τοι πρόφρων ἔπεσιν πείθηται Ἀχαιῶν,
Ἢ ὁδὸν ἐλθέμεναι, ἢ ἀνδράσιν ἶφι μάχεσθαι;
Οὐ γὰρ ἐγὼ Τρώων ἕνεκ' ἤλυθον αἰχμητάων
Δεῦρο μαχησόμενος, ἐπεὶ οὔτι μοι αἴτιοί εἰσιν.
Οὐ γάρ πώποτ' ἐμὰς βοῦς ἤλασαν, οὐδὲ μὲν ἵππους.
Οὐδέ ποτ' ἐν Φθίῃ ἐριβώλακι βωτιανείρῃ
Καρπὸν ἐδηλήσαντ', ἐπειὴ μάλα πολλὰ μεταξύ,
Οὔρεά τε σκιόεντα, θάλασσά τε ἠχήεσσα.
Ἀλλὰ σοὶ ὦ μέγ' ἀναιδὲς ἅμ' ἑσπόμεθ', ὄφρα σὺ χαίρῃς,
Τιμὴν ἀρνύμενοι Μενελάῳ, σοί τε κυνῶπα
Πρὸς Τρώων, τῶν οὔτι μετατρέπῃ, οὐδ' ἀλεγίζεις.
Καὶ δή μοι γέρας αὐτὸς ἀφαιρήσεσθαι ἀπειλεῖς.
Ὧι ἔπι πόλλ' ἐμόγησα, δόσαν δέ μοι υἷες Ἀχαιῶν.
Οὐ μὲν σοί ποτε ἶσον ἔχω γέρας, ὁππότ' Ἀχαιοί
Τρώων ἐκπέρσωσ' εὐναιόμενον πτολίεθρον,
Ἀλλὰ τὸ μὲν πλεῖον πολυάϊκος πολέμοιο,
Χεῖρες ἐμαὶ διέπουσ', ἀτὰρ ἤν ποτε δασμὸς ἵκηται.
Σοὶ τὸ γέρας πολὺ μεῖζον, ἐγὼ δ' ὀλίγον τε φίλον τε
Ἔρχομ' ἔχων ἐπὶ νῆας, ἐπὴν κεκάμω πολεμίζων.
Νῦν δ' εἶμι Φθίηνδ', ἐπειὴ πολὺ φέρτερόν ἐστιν
Οἴκαδ' ἴμεν σὺν νηυσὶ κορωνίσιν, οὐδέ σ' ὀΐω
Ἐνθάδ' ἄτιμος ἐὼν ἄφενος καὶ πλοῦτον ἀφύξειν.
Τὸν δ' ἠμείβετ' ἔπειτα ἄναξ ἀνδρῶν Ἀγαμέμνων.
Φεῦγε μάλ', εἴ τοι θυμὸς ἐπέσσυται, οὐδέ σ' ἔγωγε
Λίσσομαι εἵνεκ' ἐμεῖο μένειν, πάρ' ἔμοιγε καὶ ἄλλοι,
Οἵ κέ με

ἐπίαυτα.] ἐφορμᾶτ', ἐπίρχετ', ἐπιθυμεῖ. ἀλλ' σ' ἴγωγε.] ἀ γὰρ ἐγώ σε. λίαν ομαι.] λιτανεύω, παρακαλῶ. ἄνευ ἐμεῦ.] ἕνεκα ἐμοῦ. παρ' ἐμοίγε.] πάρεσι γάρ μοι. οἵ κέ με.] οἵτινες ἂν ἐμὲ τιμήσωσι.] τιμῆς ἀξιώσωσι. μάλιστα δέ.] ἀγαπητῶς δέ. μετίτατος δ' ἐμὲ τίτατος.] ἀντὶ τοῦ, μετίτατος. ὁ ἔστι βελευτικός. Βοιωτῶν γὰρ ἡ κοὶ Αἰολέων, ὁ τοιοῦτος τὸ ὀνομάτων μετασχηματισμός, οἷον. αὐτὰρ ὁ αὖτε Θυέστα ἀντὶ τοῦ ὁ Θυέστης, κοὶ ἱππιλάτα ἀντὶ τοῦ ἱππιλάτης, κοὶ Νιφεληγερέτα ἀντὶ τοῦ Νιφεληγερέτης. κοὶ Κυανοχάιτα ἀντὶ τοῦ Κυανοχαίτης. παρ' ἡμῖν ἡ δοῦλις ἀρσενικὸν ὄνομα, ὡδὶ δὲ εὐθείας ἂς κ λέγα.

ἔχθιστος.] ὁ ἐχθρότατος. ἐστί.] ὑπάρχεις. διοτρεφέων.] τοῦ σὺ Διὸς τῇ γνώμῃ τεθραμμένων. ἐπεὶ δὲ αὖθι σειρᾶς ἀσίν. ὡς κοὶ Ησίοδός φησιν. ἐκ γάρ τοι Μουσάων κοὶ ἑκηβόλου Απόλλωνος Ανδρῶν αοιδοὶ καὶ κιθαρισταί, ἐκ δὲ Διὸς βασιλῆες. βασιλέων.] βασιλέων. Ιὰς ἡ διὰ λευκοῦ. αἰεὶ γάρ τοι.] διαπαντὸς γάρ σοι. φίλος τε.] φιλονεικίαι. φίλη.] προσφιλής. πολεμοί τε.] κοὶ οἱ πόλεμοι. ἔρικε δὲ ἡ πόλεμος ἢ μάχαι. ἢ μάλα.] ἰὰ μάλα πάνυ. καρτερός.] ἰσχυρός, γενναῖος. θεός τοι σοι.] θεὸς δή σοι. τόν' ἔδωκεν.] ἔτο παρέσχεν. οἶκαδ' ἰών.] εἰς τὸν οἶκον σε παραγαγόμενον. σὺν νηυσί τε σῇς.] σὺν ταῖς σαῖς ναυσί. σοῖς ἑτάροισι.] κοὶ τοῖς σοῖς ἑτάροις τοῖς Μυρμιδόσι λέγει. Μυρμιδόνεσσιν ἀνάσσει.] τὸ Μυρμιδόνων βασίλευε. Αἰγίναν τῶν τοῦ Ασωποῦ τοῦ ποταμοῦ Οηβῶν θυγατέρα ἁρπάσας ὁ Ζεὺς, διατῆλθεν εἰς Φλιοῦντα, κοὶ φθέρας τῶν προειρημένων ἔγνωμε ἐποίησεν. ἤ τις Αἰακὸν ἐγέννησεν. Ασωπὸς δ', τῶν δυγατέρα ῥητῶν, ἐμαθε παρὰ Σισύφου, κοὶ τὸν ἁρπάσαντα, κοὶ τὸν τόπον, εἰς ὃν κατελήλυθει· μὴ μελλήσας οὖν, ἐσπευσεν. μέλλων δὲ

Οἵ κέ με τιμήσωσι, μάλισθ' δὲ μετίτατα Ζεύς.
Ἔχθιος δ' ἔμοί ἐστι διοτρεφέων Βασιλήων.
Αἰεὶ γάρ τοι ὀρὶς τε φίλη, πόλεμοί τε, μάχαι τε.
Εἰ μάλα καρτερός ἐσι, θεός πό Οι τόν' ἔδωκεν.
Οἶκαδ' ἰὼν σὺν νηυσί τε σῇς, κοὶ σοῖς ἑτάροισι,
Μυρμιδόνεσσιν ἄνασσε, σέθεν δ' ἐγὼ οὐκ ἀλεγίζω
Οὐθ' ὄθομαι κοτέοντος, ἀπειλήσω δέ τοι ὧδε,
Ὡς ἐμὶ ἀφαιρεῖται Χρυσηίδα φοῖβος Απόλλων.
Τλιὸ μλὶν ἐγὼ σὺν νηΐ τ' ἐμῇ, κοὶ ἑμοῖς ἑτάροισι
Πέμψω, ἐγὼ δέ κ' ἄγω Βρισηίδα καλλιπάρειον
Αὐτὸς ἰὼν κλισίηνδε· τὸ σὸν γέρας, ὄφρ' ἴῦ εἰδῇς
Ὅσσον φέρτερός εἰμι σέθεν, συγέη δὲ κοὶ ἄλλος
Ἴσον ἐμοὶ φάσθαι, κοὶ ὁμοιωθήμεναι αὐτίον.

Ὡς φάτο, Πηλείωνι δ' ἄχος γήνετ', ὠδὲ οἱ ἧπαρ
Στήθεσιν λασίοισι διαὶ δίχα μοφμήριξεν,
Ἢ ὄγε φάσγανον ὀξὺ ἐρυσσάμενος παρὰ μηρὸν.
Τὸς μλὶν ἀνασήσειεν, ὅδ' Ατρείδην ἀναείροι,
Ἠὲ χόλον παύσειεν, ἐρητύσειέ τε θυμόν.
Ἕως ὁ ταῦθ' ὥρμαινε κῇ φρένα κοὶ κῇ θυμόν.
Ἕλκε δ' ἐκ κολεοῖο μέγα ξίφος· ἦλθε δ' Αθήνη
Οὐρανόθεν, πό γὰρ ἧκε θεὰ λευκώλενος Ἥρη,

Ἄμφω

ὁ Ζεὺς ἐπ' αὐτοφώρῳ καταλαμβάνεσθαι, τῶν μὲν Αἰγιναν, μετεμόρφωσεν εἰς ὁμώνυμον νῆσον. αὐτὸς δὲ μετεβλήθη εἰς λέβητα. ἐλθὼν δὲ ὁ Ασωπὸς, κοὶ μὴ δ' ὄντά τινα ἐκαταλαβὼν, ἐπάλιν εἰς τὰς ἰδίας ὑπέστρεψε πηγάς. βουλόμενος δὲ Ζεὺς τιμωρῆσαι τὸν μεμυσαντα λιθάγκασεν αὐτὸν ἐν τοῖς ὑπ' ὀχθονίοις, τοσοῦτον μέγεθος πέτρου ἀνωθέν, εἰς ὅσον αὐτὸς μετεβλήθη. Αἰακοῦ δὲ ἐν τῇ νήσῳ μόνου ὄντος, ὁ Ζεὺς κατωκτέρας, τοὺς αὐτόθι μύρμηκας μετέβαλεν εἰς ἀνθρώπους. ἀφ' ὧν αἱ τότε Μυρμιδόνες ἐπλήθησαν. σέθεν δ' ἐγώ.] σοῦ δὲ ἐγώ. ἐκ ἀλεγίζω.] λόγον οὐ ποιοῦμαι. οὐ φροντίζω. ὀθ' ὄθομαι.] οὐδὲ ἐπιστροφὴν ποιοῦμαι. κοτέοντος.] ὀργιζομένου. ἀπειλήσω δέ τοι.] ἀπειλήσω δέ σοι. ὧδε.] ὅτως. ὡς ἐμὲ ἀφαιρεῖται.] ὥσπερ ἐμοῦ λαμβάνει. τῶν μὴ ἐγώ.] ταύτην μὴ ἐγώ. σὺν νηΐ τ' ἐμῇ.] σὺν τῇ ἐμῇ νηΐ. πέμψω.] ἀποστέλλω. ἐγὼ δέ κ' ἄγω.] ἐγὼ ἢ ἀπαγάγω. αὐτὸς ἰὼν.] δι' ἐμαυτοῦ παραγινόμενος.

κλισίην.] εἰς τὴν σκηνήν. τὸ σὸν γέρας.] τὴν σὴν τιμήν. ὄφρ' ἴῦ εἰδῇς.] ὅπως σαφῶς μάθῃς. ὅσσον.] ὁπόσον. φέρτερός.] κρείσσων. ἐμεῖ.] ὑπάρχω. σέθεν.] σοῦ. συγέη δέ.] μεθύσῃ, ἐὰν λαθῇ. Ισον ἐμοὶ φάσθαι.] ἰσηγορῆσαί μοι. τουτέστιν ἰδίσης πρὸς ἐμὲ λέγειν. κοὶ ὁμοιωθήμεναι.] κοὶ ἐξισωθῆναι. αὐτὴν.] ἐξευανθίας. ὡς ἐφάτο.] ὅτως εἶπεν. Πηλέωνι.] τῷ Πηλέως παιδὶ Αχιλλεῖ. Αχος γίνετο.] λύπη ἐγίνετο. ἐν δὲ οἱ ἦτορ.] ἡ ἢ ψυχὴ αὐτοῦ. στήθεσι λασίοισιν.] ἐν τοῖς δασέσι κοὶ συνετοῖς. νῦν ἢ πρὸς τὸ θυμοειδὲς μέρους φησὶ τὴν ψυχῆς φησι. ἀφ' ὃ λέγει στήθεσιν, ὑπὸ γὰρ τὰ στέρνα κεῖται ἡ καρδία, ἐν ᾗ τὸ πυρῶδες καὶ ὁρμὴν κοὶ μανικὸν τὴν ψυχῆς.

διάνδιχα.] λιχῶς. μορμήριξεν.] ἐμβίμνησεν, ἐνεθυμήθη. ἢ ὄγε.] ἤτοι ὅτος, φάσγανον.] ξίφος.

ὀρυσσάμενος.] σπασάμενος. ἑλκύσας. τοὺς μέν.] ἀντὶ τοῦ τὸς μὴ Ελληνας. ἀναστήσειεν.] ἀναστάτους, κοὶ ἐν ταραχῇ ποιήσειε, ἢ τ' ἐστὶ φυγάδας καταστήσειεν. ἐναρίζοι.] φονεύσοι. ἠὲ χόλον παύσειεν.] ἢ τῶν μανίαν παύσειεν. ἐρητύσειέ τε θυμόν.] κοὶ ἐπίσχυε τὸν ὀργόν. ἕως ὅ.] ἕως ὅτος. ὥρμαινε.] ἐνεθυμεῖτο, διενοεῖτο. κατὰ φρένα.] κοὶ κατὰ φρένα. κοὶ κατὰ θυμόν.] κατὰ τὸν νοῦν, κοὶ κατὰ τῶν διάνοιαν. ἕλκετο.] ἕλκεν. ἐκ κολεοῖο.] ἐκ τοῦ ξιφοθήκης. Ἀθήνη.] ἐκ τοῦ οὐρανοῦ φησι παρεγένετο ἡ Αθηνᾶ. ὅ ἐστιν ἡ φρόνησις. διὰ γὰρ ὅτος αὐτῶν καταβαίνειν, ὡς κοὶ τὴν μῆνιν αὐτοῦ κρατεῖ. κοὶ ὀκ ἄλλου μέρους τοῦ σώματος, ἀλλ' ἐνθα ἵδρυται τὸ λογικὸν τῆς ψυχῆς μέρος, εὐλόγως ἡ κοὶ οἱ μυθογράφοι φασὶν ὅτι ἔγνους ὅσα ἡ μῆτις τῶν Αθηνᾶν κατιπόθη ὑπὸ τοῦ Διός. κοὶ ἀπὸ τῆς κεφαλῆς αὐτοῦ τῷ ᾠδισμένῳ τῆς ἀπονυήσεως χρόνῳ, ᾠδέθορεν ἡ Θεὸς σὺν ὅπλοις. Απολλόδωρος ἱστορεῖ.

πρὸ γὰρ ἦκε.

πρὸ γὰρ ἦκε.] προέπεμψε γὰρ αὐτῶν. ἄμφω.] ἀμφοτέρους. ὁμῶς.] ὁμοίως. θυμῷ.] τῇ ψυχῇ. φιλέσσαι.] φιλῆσαι. κηδομένη τε.] κοὶ φροντίζουσα. σῇ ᾗ.] ἤτοι διὰ ξανθῆς διὰ.] καλῆς. πυρράς, κοὶ διὰ τόπου δὲ φασιν ἀνίστησι τὸ θρ μὲν κοὶ ὀργίλον ἡ ἥρωος. οἱ γὰρ ξανθόχολοι τοιοῦτοι. κόμης.] ἡ χαίτης. ἔρκος ἡ παρὰ τὸ κόσμον ἔναι, ἡ σώματος. ἕλαβεν.] ἔλαβεν. οἷον φανομένη.] μόνῳ αὐτῷ φανομένη. κοὶ ὁρωμένη, μόνος γὰρ αὐτὸς τὸν οἰκεῖον διάκονα, κἠ τῶν ἐν αὐτῷ φρόνησιν, ἴσως. ἡ δ' ἄλλων.] ἡ λοιπῶν. ὅτις ὁράᾳτο.] ἀδελὸς ἴσως κοὶ ἔβλεπε. θάμβησεν.] ἐφοβήθη. ἀλεπλάγη. μετὰ δ' ἐβάπετο.] κοὶ πρόιεξάφη. αὐτίκα δ' ἔγνω.] παραχρῆμα ἡ ἐπίγνω. Παλλάδα.] τῶν Αθηνᾶν ἐπιθετικῶς. ἤτοι ἀπὸ τοῦ πάλλειν, κοὶ περιαλαίνειν τὸ λόρυ. πολεμικὴ γὰρ ἡ Θεὸς, ἢ ὅτι Πάλλαντά τινα τῶν γιγάντων ἀπέκτεινεν. ἢ ἀπὸ τοῦ ἀναπαλθῶναι αὐτῶν ἐν τῇ κεφαλῇ τοῦ Διός. ἢ διὰ τὸ παλλομένην τῶν καρδίαν τοῦ Διονύσου προσομοίσαι τῷ Διΐ. δεινὸν δέ σε.] φοβερὸν ἡ αὐτῷ. δινωπῶς. ὅτως.] ὄμματα. ὀφθαλμοί. φάανθεν.] ἐφάνησαν. καί μιν.] κοὶ αὐτῷ. φωνήσας.] προσεπῶν, καλέσας. ἐπία πτερόεντα.] λόγους ταχεῖς. λόγος γὰρ οὐδὲν ταχύτερον.

προσαύσα.] προσεῖπεν. τίπτ' αὖ. τί δὴ ποτε συγκοπὴ ὁ ῥῆσις. Αἰγιόχοιο.] αἰγίδα ἔχοντος. Αἰγὶς δέ ἐστιν ὅπλον Διὸς ὑφαιστότευκτον. ἐλήλυθας.] ἐλήλυθας, ἵνα γένῃ. ἢ ἡ διάλεκτος Ιώνων, ἢ ἵνα.] ἢ ὅπως. ὕβριν.] νῦν τὸν φόνον. ἢ μᾶλλον τῶν ἀλαζονείαν. ἀλλ' ἔκτοι ἐρέω.] ἀλλ' ἐγὼ δή σοι. τὸ ἢ κοὶ τετελέσθαι δίω.] ὅσπερ κοὶ πληρωθήσεσθαι ὑπολαμβάνω. ἧς ὑπερπλείησι.] τῆς ἰλιάδος ὑπερφανείας. τάχ' ἂν ποτε.] ταχέως ἂν ποτε. ὀλέσῃς.] ἀπολέσῃς. τὸν δ' αὖτε.] ἤτοι ἢ πάλιν.

προσείπες.] προσεῖπεν. Γλαυκῶπις.] ἡ γλαυκόφθαλμος, ἢ γλαυκὴς κοὶ κατάπληκτικὸς ὤπας ἔχουσα. ἦλθεν.] παραγενόμην. Παύσασα.] ἐκαταπαύσασα. τιὸν μὲν Θ.] τῶν σὸν ὀργῶν. αἴκε πίθηαι.] ἐὰν πειθῇς ἐμοί. πρὸ δέ μ' ἦκε.] προέπεμψε δέ με. ἄμφω ὁμῶς.] ἀμφοτέρους ὁμοίως.

φιλέσσά τε.] φιλῆσαι. κηδομένη τε.] κοὶ φροντίζουσα. ἀλλ' ἄγε.] ἀλλὰ φέρε. ἔστι ἢ ἐπίρρημα παρακελεύσεως ἢ ἐπιρρηματικὸν μόριον. λῦγε.] παῦε. ὄρκιδος Θ.] ὅρκου λέξις. τὸ ἢ κοὶ τετελεσμένον ἔσαι.] ὅσπερ κοὶ τελεωθήσεται. καί ποτέ τοι.] καί σοι ποτὲ, πρόσαν ἀφώνησις ὁ ῥῆσις. ἧς τόσσα.] πολλάκις τοσαῦτα. δ' γὰρ ῥικπλάσια αὐτῷ παρασχεθη παρὰ Αγαμέμνονος. ἀλλὰ σὺν τῇ Βρισηίδι πολλὰ ἄλλα ὡς αὐτός φησιν ἐν τῇ.ι. παρίσεται.] ἀπωθήσεται. ὕβρεος ἕνεκα ἄτης.] ὑπὲρ ταύτης τῆ ὕβρεως, ἢ διάλεκτος Ιάς. ἀγυλαί.] καλαί. πόδας ὠκύς.] τοῖς ποσὶ ταχύς. σύ δ' ἴσχεο.] σὺ ἢ παύου. Πέθεο δ' ἐμεῖο.] κοὶ πάθε ἐμοῦ. χρή.] προσῆκόν ἐστι πρέπει. σφωϊτέρῳ.] ὑμετέρῳ. ἐρύσσαθαι.] φυλάξαι. κοὶ μάλα.] κοὶ πάνυ. πεχολωμένον.] ὠργισμένον. ὡς γὰρ ἄμεινον.] ὅτω γὰρ βέλτιον. ὃς κεν.] ὃς ἂν. ἐπιπείθηται.] πείθηται ἀκόσῃ. μάλα τ' ἔκλυον αὐτ.] λίαν ἐπακούσῃ αὐτ. ἢ.] ἐφη, ἤπειρ. ἀργυρέην.] ἀργυρᾶν. ἀλαλῆ κώπην.] τῇ λαβίδι τ ξίφους. σχέθε.] ἐπίσχες, ἐπέβαλεν. ἄψ.] πάλιν. ἐς τὸ ἴσω. βαρέαν.] ἰσχυρὰν. μεγάλην. ἰκάνει.] τῶν ξιφοθήκην. ἄορος.] ἀπώσατο. ἐνέβαλεν. δὲ ἀπέθησεν.] δὲ ἠπέθησεν. ἀλλ' ἐπείθη.

μύθῳ.] τῷ λόγῳ. Αθηναίης.] ἡ Αθηνᾶς. ἢ ἦκε.] αὕτη δέ. ὄλυμπον δέ.] ἐς τὸν ὄλυμπον. βεβήκει.] ἀπεληλύθει. πορεύθη. μετὰ δαίμονας.] ἀδὶ τὸς θεούς. ὅτως ἢ δαίμονας ἰαλῶ τὸς θεούς. ἤτοι δαίμονας, ἐμπειροι γὰρ κοὶ ἴδριες πάντων αὐτοί εἰσιν. ἢ ὅτι διακτηταί εἰσι κοὶ διοικηταὶ τ ἀνθρώπων. Αλκμὰν ὁ λυρικὸς φησιν. οἳ ἤθελ πάλοις ἐπαλι δαίμονας τ' ἐδάσατο. τέσ μοῖρισμὸς τὰς διακτήσεις αὐτῶν. Ησίοδος ἢ δαίμονάς φησι τὸς ἐκ τ γῆς μεταστάντας ὄντας ἢ ἰκὶ ἡ Κρόνου βασιλέως τ χρυσοῦ γένους λέγων αὐτὸς δαίμονας φύλακας ὑπὲρ τῶν ἀνθρώπων.

Βαπτίσ

βλαῦτις.] ἐν λευτέρᾳ, εὐθέως, παραυτά. ἀτιτρηροῖς.] ἀτηροῖς, χαλεποῖς. λῦγε.] ἐπαύετο. χόλοιο.] ζ ὀργῆς. ἐπίεσαν.] ἔπεσι. λόγοις. οἰνοβαρές.] οἰνοβεβαρημένε, μέθυσε. λευνὸς ὄμματ' ἔχων.] αὐτὶ τ ἀναισθήτατε ὡς λύσσ. ηρακλέϊος δ' ἐλάφοιο.] τὸν ἢ λαοβρέαν ἐλάφοι, τ' ἐστὶ ἀσελῆ ὡς ἔλαφ. ιμασίην.] παρδίαν. τὸ ἢ ψάθ ζ λέξεως, μετάθεσις. καὶ ηρακλῆν ἢ ἐλελίχθη. ἐρύκει ἢ ἀπὸ τ ηρακλέα νεσθαι καὶ φάλλεσθαι ἀεὶ τὸ ζ παρδίας σπλάγχνον. ἅμα λαῶ.] ἅμα τῷ ὄχλῳ. θωρηχθῆναι.] ἐναθωπλισθῆναι. λόχον.] ἐνέδραν. εἶναι.] παραγενέσθαι. σὺν ἀρίστοις ὑγεμόσι. τέτληκας.] κεκαρτέρηκας, ὑπομεμένηκας. θυμῷ.] τῇ ψυχῇ. τὸ λίτοι.] λειτικώτερον. καὶ ἀναφορικώτερον. μύρ.] θάνατ. ἢ τοι γάρ φησι τὸ ἐν ωδυσσείᾳ ἢ λόχῳ εὑρεθῆναι, ὡς θάνατος μοι κατὸν σοι φάνεται. εἰδιεῖ.] φάνεται. οἰκεῖ. ἢ πολὺ λώϊον.] ἀλλ' ὄντως λήσοι ἢ τοι καλὸν εἶναι νομίζετ. κατὰ στρατόν.] κατὰ τὸ στρατόπεδον. ἐυρὺ.] πλατὺ καὶ μέγιστον. δῶρ ἀποαιρεῖσθαι.] τὰ παρ' ἄλλῳ τινὶ διδόμενα δῶρα ἀφαιρεῖσθαι. ἔστι σέθεν.] ὅστις σθ. αὐτίον.] ζ ἐναντίας. δημοβόρ.] ὁ τὰ δημόσια ἰκατεδίων ἀτιδανοῖσιν.] ἀδένοις λόγου ἀξίοις. ἀδενέσιν. ἀνάσσεις.] βασιλεύεις. ἢ γὰρ ἂν Ατρέϊδη.] ὄντως γὰρ δὴ ὑὲ ἢ Ατρέως Αγαμέμνων. ὕστατα λωβήσαιο.] ὑστάτην ἂν ταύτην τὴν ὕβριν ἀργάσω. φονευθεὶς ὑπ αὐτῇ ὑπὸ πάντων. βλαβεὶς, ὑβριστάς. ἀλλ' ἦκ τοι ἐρέω.] ἀλλ' ὁρῶ δίγνοι. ὀμῶμαι.] ὀμόσω. ἐπόμνυσιν ἐστὶ τὸ ὑπισχνούμενον ὀμόσαι, ἐπομνύναι δὴ τὸ ἀποφάσκειν. νὰὶ μὰ τὸ ἢ σκῆπτρον.] νὴ μὰ ἢ τοῦτο τὸ σκῆπτρον. περιλείψανε τὸ μὰ ἀρνητικὸν ὅρκον ἀποτικὸν μόριον κατὰ ἀττικὸν ἔθ. ὄμνυσι γὰρ ἐπεῖν νὴ ἢ τοῦτο τὸ σκῆπτρον. ἴσχον ἢ ὅτι διὰ ἢ σκήπτρου ὄμνυσιν αὐτ ἢ ἐφορον ζ βασιλέως διόν. τὸ μὴ ἔ ποτε.] ὅπερ οὐδέ ποτε ἄν. παραβολὴ ὁ ῥόπ. ὕλης.] πλάδους. φύσει.] ἀναβλαστήσει. Διατί ὁ Αχιλεὺς σκῆπτρον ἔχει; καὶ λέγομεν ὅτι ἐ καὶ μὴ πάντων τ Ελλήνων ἐβασίλευε, τ μέντοι Μυρμιδόνων ἦρχεν. ἐπειδὴ πρῶτα.]

Τὸν δ' ἀχνύμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Ἀτρεΐδη πῇ δὴ τόνδε νόον θέο λαὸν Ἀχαιῶν;
Ἦ πολὺ λώϊον ἔσκε νεῶν ἐπὶ πρῶτα κιόντας
Δῶρ' ἀπαμείρασθαι ὅς τις σέθεν αὐτίον εἴπῃ
Δημοβόρ Βασιλεύς, ἐπεὶ ἀτιμάωσιν ἀνάσσεις.
Ἦ γὰρ ἂν Ἀτρεΐδῃ νωΐτερον λωβήσαιο.
Ἀλλ' ἔκτοι ἐρέω, καὶ ὀπὶ μέγαν ὅρκον ὀμοῦμαι,
Ναὶ μὰ τόδε σκῆπτρον, τὸ μὲν οὔποτε φύλλα ζ ὄζους
Φύσει, ἐπεὶ δὴ πρῶτα τομὴν ἐν ὄρεσσι λέλοιπεν,
Οὐδ' ἀναθηλήσει, περὶ γὰρ ῥα ἑ χαλκὸς ἔλεψε,
Φύλλα τε καὶ φλοιόν, νῦν αὖτέ μιν υἷες Αχαιῶν
Ἐν παλάμῃς φορέουσι δικασπόλοι, οἵτε θέμιστας
Πρὸς Διὸς εἰρύαται, ὃ δέ τοι μέγας ἔσσεται ὅρκος.
Ἦ ποτ' Αχιλλῆος ποθὴ ἵξεται υἷας Αχαιοὺς
Ξύμπαντας, τοῖς δ' οὔτι δυνήσεαι ἀχνύμενός περ,
Χρεσμοῦ, εὖτ' ἂν πολλοὶ ὑφ' Ἕκτορος ἀνδροφόνοιο
Θνήσκοντες πίπτωσι, σὺ δ' ἔνδοθι θυμὸν ἀμύξεις
Χωόμενος, ὅτ' ἄριστον Αχαιῶν οὐδὲν ἐτίσας.
Ὣς φάτο Πηλεΐδης, ποτὶ δὲ σκῆπτρον βάλε γαίῃ
Χρυσείοις ἥλοισι πεπαρμένον, ἕζετο δ' αὐτός.
Ἀτρεΐδης δ' ἐτέρωθεν ἐμήνιε. τοῖσι δὲ Νέστωρ
Ἡδυεπὴς ἀὐρέσει λιγὺς Πυλίων ἀγορητής.

Τῶ

τῷ λέγειν. αὐθρουσιν.] αὐθρμησεν, αὐξησ. ῶς οὖν τὸ αὐώρουσεν ἐπὶ τῷ Νέστορι ὁ Ποιητὴς τῷ ἤθῳ ἥδη ἐχρήσατο, ὡδὶ νέων γὰρ ἀνὸς ἦν ἔτι ὁ λέγειν. καὶ ῥητέον ὅτι τὸ προνοητικὸν τῶν ὁμοφύλων, ναυτικὴν αὐτῷ προσιτίθησι κίνησιν. οὐδὲ γὰρ γέροντα πυθόμενον ἐν τῷ πυλυλύειν τοὺς σκάφους ὑπὲρ τὸ δέον ἐινοήσαντος ἂν τις πυλυλύειν τοὺς σκάφους ὑπὲρ τὸ δέον ἐινοούμενον καὶ ἄλλως. ῥητέον ὅτι ἤνθῳ ἀεὶ ὁ ζ τιμῆς προσήκει μὴ μόνον τοὺς νέους, ἀλλὰ καὶ τοὺς γέροντας μετακτέθεμ πρὸς τὸ καὶ παρὰ λιάναμιν ἐγχειρεῖν τί ποιεῖν. μᾶλλον ἢ τὸν Νέστορα ἐν τῷ δημηγορεῖν διαφέροντα τῶν λοιπῶν. καὶ ἐυλόγα μὴ ἀπαρεσκομένους τοὺς Ελληνας πρὸς τὰ λεγόμενα. λιγύς.] ἡδύς. ἐν τῷ λέγειν, ὀξύς. Πυλίων.] τῶν τὴν Πύλαν κατοικέντων. ἐστὶ δὲ ὄνομα ἔθνους. ἀγορητής.] δημηγόρ. ἢ καὶ ἀπὸ γλώσσης.] ἔστιν καὶ ἀπὸ ζ γλώσσης. ἡ γλῶσσα σημαίνει γ. αὐτό γε τὸ σῶμα. καὶ τὴν διάλεκτον. καὶ τὸ ἀπεξενωμένον ζ λέξεως. γλυκίων.] ἡδίων, γλυκεῖα. ῥέεν.] ἐρρεε, ἐφέρετο. διὰ δὲ ἢ ἐπεῖν ῥέειν ἐμφαίνει τὸ ῥητορικὸν ἢ Νέστορ. αὐδή.] φονή. τῷ δ' ἤδη δύω μὲν γενεαὶ μερόπων αὐθρώπων ἐφθίατο.] ἐφθαρμέναι ἦσαν. Ηρακλέους δὲ Πύλον στρατεύσαντος ἔτι νέα ἦν τ Νέστορος, καὶ ἀπαντέναντος τοὺς πρεσβυτέρους μίαν ὄνασας γενεάν. καὶ τοὺς ζ μέσης ἡλικίας, ἀλλὰ ὄντας γενεὰν ὧς καὶ ὁ Νέστωρ μόν πρεσβεύειν ζ βίτης γενεᾶς ἐβασίλευε, ζ πρὸ τὴν πόλεως. ἴσέον ὅτι οἱ παλαιοὶ τὰς γενεὰς ἐφ' ἑξῆς ἔως ἐτῶν ῥέουσιν. μερόπων.] μεμειγμένων τὴν φωνὴν ἐχόντων. ὡς πρὸς σύγκρισιν ἢ ἄλλων ῥώων. ὃ ἐστι μερίζομένων ὡς συλλαβάς. καὶ ἐναρθρον ἐχόντων τὴν ὄπα. ἢ τ' ἐστὶ τὴν φωνήν. οἳ οἱ πρὸ αὐτῶ ἅμα τραφεν. ἠδ' ἐγένοντο.] τουτέστιν οἱ πρὸ τούτου γενόμενοι. καὶ οἱ ἅμα αὐτῷ βραφέντες. ἠδ' ἐγένοντο.] καὶ ἐγένοντο. ἠγαθέν.] ωαύν θέᾳ. ὅ σφιν.] ὃς ἐν αὐτοῖς. εὖφρονέων.] καλῶς φρονῶν. ἀγορήσατο.] ἐδημηγόρησε. καὶ ἔπος. ὦ πόποι.] φοῦ. πατάσσει ἢ σχετλιαστικὸν ἐπίρρημα. δ' ἐστὶ λύπης δηλοτικόν. ἦ μέγα πένθ.] ὄντος μεγάλη λύπη. Αχαιΐδα γαῖαν.] τὴν Ελληνικὴν γῆν. τὸν Ελληνας. ἐστὶ ἢ μετωνυμία ὁ ῥόπ. ἤκεν γυτήσαι.] ὄντως αὖ χαρέη. Πειρίθοόν τε ωᾶδες.] καὶ οἱ τοῦ Πειρίθου ωᾶδες. ἅμα τοῖς λοιποῖς Τρωσί. μίγαν.] μεγάλως αὖ. λιεχαρίσατο.] χαρέεν. ἐπὶ σφῶϊν.] ἐπὶ ὑμῶν. τάδε παύτα.] ταῦτα πάντα. πυθέσθαι.] μαθεῖν. μαρναμένοιν.] μαχομένοιν. οἱ πέρι μὲν βουλὴ Δαναῶν.] αὐτὶ ἢ οἵτινες διαφέρετε τῶν Ελλήνων καὶ ἐν τῷ βελεύεσθαι. πρὶν δ' ἐς μάχεσθαι.] περιαῦς δὲ καὶ ὑποβαλόντως ἐστὶ καὶ ὑποβέχετε ἐν τῷ πολεμεῖν. ἀλλὰ πείθεσθε.] ἀλλὰ πάσθητε. ἄμφω δέ.] ἀμφότεροι δέ. νεώτερω.] νεώτεροι, πινικῶς. ἐσόμ.] ἐστέ. ὑπάρχετε. ἐμοῖο.] ἐμοῦ. ἀρέσσει.] βελτίοσιν, κρέττοσιν. ὑμῖν.] ἢ ὑμῖν. ὠμίλησα.] συνανεγράφην. καὶ ἔποτέ μοι.] καὶ οὐδέποτέ μοι. Αθήριον.] ὑπέρθουμ ἀποδοκίμαζον. οὐ γάρ πω.] οὐδέποτε γάρ. τοίους.] τοιούτους. ἴδον.] ἐθεασάμην. ἀὐτάρας.] αὖθέρας. οὐδὲ ἰδέσθαι.] οὐδὲ ἰδεῖν δυνήσομαι. οἷον.] ὁποῖον. Πειρίθοον.] Πειρίθουμ, ὄνομα κύριον. Πειρίθους ὁ Ιξίονος, γένει μὲν ὢν Αθηναῖος. ὠκέωται δὲ τοῖς Κενταύροις. πρὸς γάμον δὲ ἀγόμενον Ιπποδάμειαν τὴν βασάλα, τοὺς Κενταύρους συνεκάλεσεν ὡς σὺν χίαν. οἱ τινες οἰνωθέντες ἐπεχείρουν ὑβρίζειν ὅσαι τῶν Ελληνίδων παρῆσαν γυναικῶν. ὅθεν οἱ Λαπίθαι συστάδην μαχεσάμενοι διώκουσιν αὐτοὺς ἐς Μάλεον ὄρ ζ Πελοποννήσου. ὁ ἢ Πειρίθους ὠνομάσθη οὕτως ἀπὸ τοῦ πρεσβεῦσαι ἵππω ὁμοιωθέντα τὸν Δία ἐν τῷ μίγνυσθαι τῇ μητρὶ αὐτ. Δρύαντά τε.] καὶ τὸν Δρύαντα. ποιμένα λαῶν.] βασιλέα ὄχλων. Καινέα τε.] καὶ τὸν Καινέα. ὁ ἢ Καινεὺς Ελάτου μὲν παῖς, Λαπίθων ἢ βασιλεύσ πρότερον ἦν ἀρθενο σύστρεπτος. μιγέντος ἢ αὐτῇ Ποσειδῶνος, αὐτησαμένη μεταβαλεῖν εἰς ἄνδρα ἡ νεανὶς, ἄτρωτος γίνεται. γενναιότατος τ Λαπ' αὐτὸν ὑπάρξας. καὶ δήποτε πόξας ἀνάντιον ἐν τῷ μεσαιτάτῳ ζ ἀγορᾶς, θεοῖς ἔτο προσίταξεν ἀριθμεῖν. διὸ ἦν αἰτίαν ἀγανακτήσας ὁ Ζεὺς τιμωρίαν ζ ἀσεβήσας παρ' αὐτοῦ ἐσεπράξατο. μαχόμενον γὰρ αὐτὸν τοῖς Κενταύροις καὶ ἄτρωτον ὄντα ὑποχείριον ἐποίησε. βάλλοντες γὰρ αὐτὸν οἱ προειρημένοι δρυσί τε καὶ ἐλάταις, ὕρεισαν εἰς γῶν. μέμνηται ἢ αὐτ καὶ Απολλώνιος ἐν τοῖς ἀργοναυτικοῖς λέγων οὕτως. Καινέα γὰρ τὸν πρόσθεν ἐπικλέουσιν ἀοιδοί Κενταύροισιν ὀλέσθαι, ὅτι σφέας οἷος ἀπ' ἄλλων ὕλασ' ἀριστήων, οἵδ' ἐμπαλιν ὁρμηθέντες οὔτε μιν ἀγκλίναι προτέρω δύνον, οὔτε μιν ἐξαν. Αλλ' ἀῤῥητ ἄκαμπτ ἐδύναντο νεύσσι γάμης. Θεινόμενον σιδαρῆσι καταίγδην ἐλάτῃσιν. Εξαλιόντι.] καὶ τὸν Εξάλιον. αὐτίθεον.] ἰσόθεον. πάρτιος.] ἰσχυρότατος, γενναῖος. πάνσυ.] ἐκπάγλως. ἐπιχθονίων.] ἐπιγείων.

Τράφεν.] ἐτράφησαν. ἔσαν.] ἦσαν, ὑπῆρχον. Φηρσί.] θηρσί, θηρίοις. λέγει δὲ τοῖς Κενταύροις. Ἰξίων ὁ Φλεγύου παῖς, Δίαν τὴν Δηϊονέως γήμας, ἐλθόντα τὸν κηδεστὴν ἐπὶ τὰ ἔδνα, δόλῳ καταπρήσας, μανεὶς καὶ ὑπὸ θεῶν καθαρθεὶς τὸν φόνον, Ἥρας ὕστερον ἠράσθη. Ζεὺς δὲ βουλόμενος αὐτὸν δοκιμάσαι ἐν τῷ ὄντι τολμᾷ τοιοῦτόν τι, νεφέλην ἀπεικάσας Ἥρᾳ, παρέκλινεν αὐτῷ. ὁ δὲ μιγεὶς τῇ νεφέλῃ ὡσανεὶ τῇ Ἥρᾳ, ἔσχε παῖδα Κένταυρον. ἀφ᾽ οὗ τὸ τῶν Κενταύρων γένος. μετὰ δὲ θάνατον ἔλαβε δίκας παρ᾽ αὐτοῦ ὁ Ζεύς, ποιήσας αὐτὸν ἐν τοῖς καταχθονίοις στρέφεσθαι μετὰ πολλῆς βίας ἐπὶ τροχοῦ σιδηροῦ. ὀρεσκώοισι.] τοῖς ἐν ὄρεσι διαιτωμένοις. ἐκπάγλως.] ἐκπληκτικῶς ὅ ἐστι κατὰ κράτος αὐτοὺς διαπώλεσαν. καὶ μὲν τοῖσιν ἐγώ.] καὶ τούτοις μὲν ἐγὼ τοῖς περὶ τὸν Πειρίθουν. μεθομίλεον.] συνανεστρεφόμην, συνεμαχόμην. τηλόθεν.] πόρρωθεν, μακρόθεν ὢν ἀπὸ τῆς Πύλου. ἐξ ἀπίης γαίης.] ἐκ τῆς ἀλλοδαπῆς ἢ μακρὰν ἀπεχούσης γῆς. καὶ μαχόμην.] καὶ ἐπολέμουν. κατ᾽ ἐμαυτόν.] κατὰ τὴν ἐμαυτοῦ δύναμιν. κείνοισι δ᾽ ἂν οὔτις.] πρὸς ἐκείνους δὲ οὐδεὶς ἴσχυε τῶν νῦν ὄντων ἀνθρώπων. βροτοί.] ἄνθρωποι φθαρτοί, ἡ μεταφορὰ ἀπὸ τῶν ἐδεσμάτων. ἐπιχθόνιοι.] ἐπίγειοι. χθὼν γὰρ ἡ γῆ. τῶν.] τούτων. οἷοι.] ὁποῖοι. μαχέοιτο.] μάχοιτο. καὶ μέν μευ.] καὶ μὴν ἐμοῦ. βουλέων.] συμβουλιῶν. ξύνιον.] ἤκουον, ἐπείθοντο. ὔμμες.] καὶ ὑμεῖς. Αἰολὶς ἡ διάλεκτος. ἀγαθός περ ἐών.] καίτοι βασιλεὺς ὑπάρχων. ἢ ἀγαθὸς τὴν γνώμην. ἀμείνων, κρείττων. ἀποαίρεο.] ἀφαιροῦ. κούρην.] κόρην. ἡ διάλεκτος Ἰώνων. ἔα.] συγχώρει. ὥς οἱ πρῶτα.] ὡς αὐτῷ ἐξ ἀρχῆς. δόσαν.] παρέσχον. ἔθελε.] βούλου. ἐριζέμεναι.] ἐρίζειν, φιλονεικεῖν, διζεῖσθαι. ἀντιβίην.] ἐξ ἐναντίας. ἔμμορε.] ἔλαχεν, ἔτυχεν. ὁμοίης.] ἴσης καὶ τῆς αὐτῆς. σκηπτοῦχος.] σκηπτροφόρος. πῶς οὖν ὁ Νέστωρ εἴρηκεν; ἆρα δή γε οὐ καί τις βασιλεῦσαι χωρὶς τῆς τοῦ θεοῦ βουλῆς; καὶ ῥητέον ὅτι καλῶς οὕτω εἴρηκεν. οὐ γὰρ ἅπαντες παρὰ τοῦ Διὸς ἔχουσι τὸ σκῆπτρον, οὐδὲ τὴν ἀρχὴν ταύτην. ἀλλὰ μόνοι οἱ ἀγαθοί, εὐλόγως οὖν εἶπεν ὅτι τὸ μὲν ἄρχειν ἀπὸ θεοῦ ἐστιν, οὐ μέντοι καὶ πᾶς ἄρχων καταθύμιος θεῷ. οὐδὲ ὁ βιαζόμενος τὴν ἀρχὴν θελητὸς τῷ θεῷ ὡς παραχρώμενος τῇ ἰδίᾳ ἐπιθυμίᾳ ἀπρεπῶς τοῦ θείου παραχωροῦντος αὐτῷ, καὶ ἀφροντιστοῦντος τοῦ τοιούτου. ᾧ τε Ζεύς.] καὶ ᾧτινι ὁ Ζεύς. κῦδος.] δόξαν. ἔδωκε.] παρέσχε. καρτερός.] ἰσχυρός. ἐσσί.] ὑπάρχεις. θεὰ δέ σε.] καὶ θεά σε. ὅτι τῆς Θέτιδος εἶ υἱὸς τῆς Νηρέως θυγατρός. αὐτὴ δὲ ἀθάνατος. ἀλλ᾽ ὅγε.] ἀλλ᾽ οὗτος. φέρτερος.] κρείσσων. πλεόνεσσι.] πλείοσιν, ὅτι πλειόνων. τεὸν μένος.] τὴν σὴν ὀργήν. αὐτὰρ ἔγωγε.] ἐγὼ δέ. λίσσομαι.] λιτανεύω, παρακαλῶ. μεθέμεν.] μεθεῖναι, συγχωρῆσαι. χόλον.] ὀργήν. ὃς μέγα.] ὅστις μέγα. ἕρκος.] περίφραγμα, τεῖχος. πέλεται.] γίγνεται, ἐστί. πολέμοιο κακοῖο.] τοῦ κακωτικοῦ πολέμου. κρείων.] μεγάλως κρατῶν. κατὰ μοῖραν.] κατὰ τὸ προσῆκον, κατὰ τὸ πρέπον. ἔειπες.] εἶπας, ἔλεξας. ἀλλ᾽ ὅδε.] ἀλλ᾽ οὗτος. ἐθέλει.] βούλεται. περὶ πάντων.] ὑπὲρ πάντας. ἔμμεναι.] εἶναι. τουτέστι πάντων θέλει ὑπερέχειν. κρατέειν.] κρατεῖν, βασιλεύειν. πάντεσσι.] πᾶσι. σημαίνειν.] προστάσσειν. ἅ τιν᾽ οὐ πείσεσθαι.] πρὸς ἃ οὐ πεισθήσεσθαι. ὀΐω.] οἶμαι, ὑπολαμβάνω. εἰ δέ μιν.] εἰ δὲ αὐτόν. αἰχμητήν.] πολεμικόν. ἔθεσαν.] ἐποίησαν. αἰὲν ἐόντες.] διαπαντὸς ὄντες, ἀθάνατοι. τοὔνεκά οἱ.] τούτου χάριν αὐτῷ. προθέουσι.] προτρέχουσι, συνιᾶσιν. ὀνείδεα.] αἱ ὕβρεις. μυθήσασθαι.] εἰπεῖν. ὁ δὲ λόγος, εἰ πολεμιστής ἐστιν Ἀχιλλεὺς γνώμῃ τῶν θεῶν, διὰ τοῦτο προπετής ἐστιν ἐπὶ τὸ ὀνειδίζειν, καὶ κακῶς λέγειν ἡμᾶς τοὺς βασιλεῖς. τὸν δ᾽ ἄρ.] τοῦτον δὲ δή. ὑποβλήδην.] ὑποβαλὼν τὸν ἴδιον λόγον Ἀχιλλεὺς καὶ μεσολαβήσας τὸν Ἀγαμέμνονος πρὶν ἢ σιωπῆσαι αὐτὸς εἰπών. ἠμείβετο.] ἐξ ἀμοιβῆς ἀπεκρίνατο. ἦ γάρ κεν.] ὄντως γὰρ ἄν. δειλός.] ἀσθενής. οὐτιδανός.] οὐδενὸς λόγου ἄξιος. καλεοίμην.] κληθείην

Κάρτιστοι μὲν ἔσαν καὶ καρτίστοις ἐμάχοντο
Φηρσὶν ὀρεσκώοισι, καὶ ἐκπάγλως ἀπόλεσσαν.
Καὶ μὲν τοῖσιν ἐγὼ μεθομίλεον ἐκ Πύλου ἐλθὼν,
Τηλόθεν ἐξ ἀπίης γαίης· καλέσαντο γὰρ αὐτοί.
Καὶ μαχόμην κατ᾽ ἐμαυτὸν ἐγώ· κείνοισι δ᾽ ἂν οὔτις
Τῶν οἳ νῦν βροτοί εἰσιν ἐπιχθόνιοι μαχέοιτο.
Καὶ μέν μευ βουλέων ξύνιον, πείθοντό τε μύθῳ.
Ἀλλὰ πίθεσθε καὶ ὔμμες, ἐπεὶ πείθεσθαι ἄμεινον.
Μήτε σὺ τόνδ᾽ ἀγαθός περ ἐὼν ἀποαίρεο κούρην,
Ἀλλ᾽ ἔα ὥς οἱ πρῶτα δόσαν γέρας υἷες Ἀχαιῶν.
Μήτε σὺ Πηλείδη ἔθελ᾽ ἐριζέμεναι βασιλῆϊ
Ἀντιβίην, ἐπεὶ οὔποθ᾽ ὁμοίης ἔμμορε τιμῆς
Σκηπτοῦχος βασιλεύς, ᾧ τε Ζεὺς κῦδος ἔδωκεν.
Εἰ δὲ σὺ καρτερός ἐσσι, θεὰ δέ σε γείνατο μήτηρ,
Ἀλλ᾽ ὅγε φέρτερός ἐστιν, ἐπεὶ πλεόνεσσιν ἀνάσσει.
Ἀτρείδη σὺ δὲ παῦε τεὸν μένος· αὐτὰρ ἔγωγε
Λίσσομ᾽ Ἀχιλλῆϊ μεθέμεν χόλον, ὃς μέγα πᾶσιν
Ἕρκος Ἀχαιοῖσι πέλεται πολέμοιο κακοῖο.
Τὸν δ᾽ ἀπαμειβόμενος προσέφη κρείων Ἀγαμέμνων.
Ναὶ δὴ ταῦτά γε πάντα γέρον κατὰ μοῖραν ἔειπες.
Ἀλλ᾽ ὅδ᾽ ἀνὴρ ἐθέλει περὶ πάντων ἔμμεναι ἄλλων,
Πάντων μὲν κρατέειν ἐθέλει, πάντεσσι δ᾽ ἀνάσσειν,
Πᾶσι δὲ σημαίνειν, ἅ τιν᾽ οὐ πείσεσθαι ὀΐω.
Εἰ δέ μιν αἰχμητὴν ἔθεσαν θεοὶ αἰὲν ἐόντες,
Τοὔνεκά οἱ προθέουσιν ὀνείδεα μυθήσασθαι.
Τὸν δ᾽ ἄρ᾽ ὑποβλήδην ἠμείβετο δῖος Ἀχιλλεύς,

Ἦ γὰρ

ἡ δή σοι

ἢ δή σοι.] ἐὰν δή σοι. πᾶν ἔργον.] εἰς πᾶν πρᾶγμα. ὑπείξομαι.] ὑποχωρήσω. ὅττι κεν.] ὅπερ ἄν. ἐπιτέλλεο.] ἐπιτέλλου, πρόσταττε. μὴ γὰρ ἔμοιγε.] ἐμοὶ γὰρ μή. σήμαινε.] πρόσταττε. ἐγὼ γὰρ οὐ νομίζω πεισθῆναί σοι. ἄλλο δέ τοι.] ἄλλο δέ σοι. ἐρέω.] ἐρῶ, λέξω. βάλλεο.] ἐμβάλλου, ἐνθοῦ. σῇσι.] σαῖς. μαχήσομαι.] μαχοῦμαι. οὔτε τῷ.] οὔτε τινὶ ἄλλῳ. τὸ τῷ σημαίνει πέντε· ὄνομα, ἄρθρον, ἀντωνυμίαν, σύνδεσμον, αἰτιολογικὸν, ῥῆμα. ὄνομα μὲν οὕτως· οὔτε σοὶ οὔτε τῷ ἄλλῳ, ἐστὶ γὰρ τινί. ῥῆμα δὲ, Κύκλωψ τῆ πίε οἶνον. ἐστὶ γὰρ τὸ τῆ ἀντὶ τοῦ λάβε. ἄρθρον δὲ οὕτως· ἤτοι μὲν τάγ᾽ ὄπισθε Μαχάονι πάντα ἐοικε, τῷ Ἀσκληπιάδῃ. ἀντωνυμίαν δὲ, ὡς ἐν τῷ, τῷ κεν ὀσάμενος. σύνδεσμον αἰτιολογικὸν οὕτως, τῷ σε καὶ οὐ δύναμαι. ἐστὶ γὰρ διό. ὅταν μέντοι ἄρθρον σημαίνει ἑνικὸν, μόνης δοτικῆς ἐστὶ πτώσεως, καὶ περισπᾶται. δυϊκὸν δὲ εὐθείας καὶ αἰτιατικῆς· καὶ βαρύνεται τὼ αἴαντε. ἐπεί μ᾽ ἀφέλεσθε.] ἐπειδὴ δεδωκότες μοι αὐτὴν ἀφείλεσθε, καὶ ὑβρίσατε ἑαυτοὺς γὰρ, οὐκ ἐμέ. τῶν δ᾽ ἄλλων.] τῶν δὲ λοιπῶν. ἅ μοι ἐστί.] ἅτινά μοι ὑπάρχει. θοῇ νηΐ.] παρὰ τῇ ταχυτάτῃ νηΐ. μελαίνῃ.] βαθείᾳ. ἢ τῇ πίσσῃ κεχρισμένῃ. τῶν.] τούτων. οὐκ ἄν τι.] οὐδαμῶς ἄν τι. φέροις.] κομίσαις, λάβοις. ἑλών.] λαβὼν, ἢ ἀφελόμενος. ἀέκοντος.] ἄκοντος, καὶ μὴ βουλομένου. ἐμεῖο.] ἐμοῦ. εἰ δ᾽ ἄγε μήν.] ἄγε μὴν βούλει. πείρησαι.] πειράθητι. ἵνα γνώωσι καὶ οἵδε.] ὅπως ἂν μάθωσι καὶ οὗτοι. αἶψά τοι.] ταχέως σοι. κελαινόν.] μέλαν. ἐρωήσει περὶ δουρί.] περιρρυήσεται τῷ δόρατι. ὣς τώγε.] οὕτως, οὗτοι. ἀντιβίοις.] ἐναντίοις. ὅ ἐστι στασιαστικοῖς λόγοις. μαχεσσαμένω.] μαχεσαμένω. δυϊκῶς. ἐπέεσι.] λόγοις. ἀνστήτην.] ἀνέστησαν. λῦσαν δέ.] ἔλυσαν δέ. ἀγορήν.] ἐκκλησίαν, συνέδριον. ἐπὶ κλισίας.] ἐπὶ τὰς σκηνάς. ἐΐσας.] ἰσοτοίχους. ἤϊε.] παρεγένετο, ἐπορεύετο. σύν τε Μενοιτιάδῃ.] σὺν τῷ Μενοιτίου υἱῷ Πατρόκλῳ, καὶ τοῖς Μυρμιδόσι. κεχώρικε δὲ τῶν λοιπῶν ἑταίρων τὸν Πάτροκλον, κατ᾽ ἐξοχήν. ἄρα.] δή. νῆα.] ναῦν, πλοῖον. ἅλαδε.] εἰς τὴν θάλασσαν. προέρυσσε.] καθείλκυσεν. ἐς δ᾽ ἐρέτας.] εἰς αὐτὴν δὲ καὶ κωπηλάτας. ἔκρινεν.] κατηρίθμησεν, ἐπελέξατο. ἐείκοσιν.] εἴκοσι. βῆσε.] ἐνεβίβασε, ἐνέθηκεν. ἐν δέ.] εἰς αὐτὴν δέ. ἀνὰ δὲ Χρυσηΐδα καλλιπάρῃον.] ἀναγαγὼν δὲ καὶ τὴν καλοπρόσωπον Χρυσηΐδα εἰς τὴν ναῦν. εἷσεν ἄγων.] ἐκάθισεν ἄγων τῷ πατρί. ἂν δ᾽ ἔβη.] ἀνέβη δέ. ἀρχός.] ἡγεμὼν, ναύαρχος. πολύμητις.] πολύβουλος, συνετός. οἱ μέν.] οὗτοι μέν. ἀναβάντες.] ἀνελθόντες, ἐπιβάντες. ἐπέπλεον.] ἔπλεον. ὑγρὰ κέλευθα.] τὴν διὰ θαλάσσης ὁδόν. ἀπολυμαίνεσθαι.] ἀποκαθαίρεσθαι. ἄνωγεν.] ἐκέλευσε, προσέταξεν. οἱ δέ.] αὐτοὶ δέ. ἀπελυμαίνοντο.] ἀπεκαθαίροντο. εἰς ἅλα λύματ᾽ ἔβαλλον.] καὶ εἰς τὴν θάλασσαν τὰ καθάρσια ἔβαλλον. φύσει δὲ τὸ ὕδωρ τῆς θαλάσσης καθαρτικόν ἐστιν. ἔρδον.] ἐπετέλουν, ἔθυον. τεληέσσας.] τελείας. παρὰ θῖν᾽.] παρὰ τὸν αἰγιαλὸν τῆς θαλάσσης. ἀτρυγέτοιο.] ἀκαταπονήτου, πολλῆς, ἢ ὡς ἔνιοί φασι τῆς ἀκάρπου. ἑτάροισι.] τοῖς φίλοις. κνίσση δέ.] ἡ δὲ κνίσσα, ὅ ἐστιν ἡ ἀναθυμίασις. ἡ δὲ λέξις τέσσαρα σημαίνει, ὡς τῷ Πορφυρίῳ δοκεῖ, αὐτό τε τὸ λίπος, καὶ τὸν ἐπίπλουν, καὶ τὸ κρέας, καὶ τὴν ἀναθυμίασιν. ἷκεν.] παρεγένετο. ἑλισσομένη.] παρειλουμένη τῷ καπνῷ. ὣς οἱ μέν.] οὕτως μὲν οὗτοι. τά.] ταῦτα. πένοντο.] ἐνήργουν, ἔπραττον. κατὰ στρατόν.] κατὰ τὸ στρατόπεδον. λῆγε.] ἐπαύετο. ἔριδος.] φιλονεικίας. τὴν πρῶτον.] ἥν τινα πρῶτον λέγει ἢ κατά. ἐπηπείλησ᾽ Ἀχιλῆϊ.] τῷ Ἀχιλλεῖ ἠπείλησε.]

Ἦ γάρ κεν δειλός τε καὶ οὐτιδανὸς καλεοίμην,
Εἰ δή σοι πᾶν ἔργον ὑπείξομαι ὅττι κεν εἴποις.
Ἄλλοισιν δὴ ταῦτ᾽ ἐπιτέλλεο, μὴ γὰρ ἔμοιγε
Σήμαιν᾽, οὐ γὰρ ἔγωγ᾽ ἔτι σοι πείσεσθαι ὀΐω.
Ἄλλο δέ τοι ἐρέω, σὺ δ᾽ ἐνὶ φρεσὶ βάλλεο σῇσι.
Χερσὶ μὲν οὔτι ἔγωγε μαχήσομαι εἵνεκα κούρης,
Οὔτε σοὶ, οὔτε τῷ ἄλλῳ, ἐπεί μ᾽ ἀφέλεσθέ γε δόντες.
Τῶν δ᾽ ἄλλων, ἅ μοί ἐστι θοῇ παρὰ νηῒ μελαίνῃ,
Τῶν οὐκ ἄν τι φέροις ἀνελὼν ἀέκοντος ἐμεῖο.
Εἰ δ᾽ ἄγε μὴν πείρησαι, ἵνα γνώωσι καὶ οἵδε.
Αἶψά τοι αἷμα κελαινὸν ἐρωήσει περὶ δουρί.
Ὣς τώγ᾽ ἀντιβίοισι μαχεσσαμένω ἐπέεσσιν
Ἀνστήτην· λῦσαν δ᾽ ἀγορὴν παρὰ νηυσὶν Ἀχαιῶν.
Πηλείδης μὲν ἐπὶ κλισίας καὶ νῆας ἐΐσας
Ἤϊε σύν τε Μενοιτιάδῃ, καὶ οἷς ἑτάροισιν.
Ἀτρείδης δ᾽ ἄρα νῆα θοὴν ἅλαδε προέρυσσεν.
Ἐς δ᾽ ἐρέτας ἔκρινεν ἐείκοσιν, ἐς δ᾽ ἑκατόμβην
Βῆσε θεῷ, ἀνὰ δὲ Χρυσηΐδα καλλιπάρῃον
Εἷσεν ἄγων· ἐν δ᾽ ἀρχὸς ἔβη πολύμητις Ὀδυσσεύς.
Οἱ μὲν ἔπειτ᾽ ἀναβάντες ἐπέπλεον ὑγρὰ κέλευθα.
Λαοὺς δ᾽ Ἀτρείδης ἀπολυμαίνεσθαι ἄνωγεν.
Οἱ δ᾽ ἀπελυμαίνοντο, καὶ εἰς ἅλα λύματ᾽ ἔβαλλον.
Ἔρδον δ᾽ Ἀπόλλωνι τεληέσσας ἑκατόμβας
Ταύρων ἠδ᾽ αἰγῶν παρὰ θῖν᾽ ἁλὸς ἀτρυγέτοιο.
Κνίση δ᾽ οὐρανὸν ἷκεν ἑλισσομένη περὶ καπνῷ.
Ὣς οἱ μὲν τὰ πένοντο κατὰ στρατόν· οὐδ᾽ Ἀγαμέμνων
Λῆγ᾽ ἔριδος τὴν πρῶτον ἐπηπείλησ᾽ Ἀχιλῆϊ.

Ἀλλ᾽

Ταλθύβιον ηδὲ Εὐρυβάτην.] ὀνόματα κύρια τῶν κηρύκων. τὼ οἱ ἕσαν.] οἱ τίνες αὐτῷ ἦσαν. ὀτρυνέ.] ἐπεσ. θάπτουσι.] παρὰ τὸ στρώννυμι. θραύοντες.] ὑπηρέτας. ὄρχεσθον.] ἀπέρχεσθε, λυπεῖτε. κλισίηνδε.] ἐς τὴν σκηνήν. ἐλόν. τι.] λαβόντες. ἀγέμεν.] ἄγειν. ἐς Μενέλ.] ἐκεῖ ἦ. μὴ λώιον.] μὴ παράσχῃ. ἦ λαμβάνων λύει ἐπιτάσεις. ἕλωμαι.] ἀφέλωμαι, λάβω. ἑλὼν σὼ πλεόνεσσι.] τὸ ἦ σὼ πλεόνεσσιν. οὐ τῷ ἑλὼν συντακτέον. ἀλλὰ τῷ ἕλωμαι. ἵν' ᾖ μετὰ πολλῶν ἡδὲ ἄλλων κτημάτων αὐτῶν ἀφαιρήσομαι. τό οἱ.] ὅπερ αὐτῷ. ῥίγιον.] φρικωδέστερον ἡδὲ χαλεπώτερον. ἦσαν.] γενήσεται. πρρίεσι.] προέπεμπε. ἠρατεμόν.] ἰσχυρόν, γεννάδαν. ἐτέλλεν.] ἐπέτελλεν, ἔλεγεν. τὼ δέ.] οὗτοι δὲ μύθοισι.] ἀέκοντες.] ἄκοντες, ἡδὲ μὴ βουλόμενοι. βάτην.] ἐβάσκεν. ἐπορσύθησαν.] ἐκέλευσαν. ἀφίκοντο, παρεγένοντο. σύβοτα.] κατέλαβον. κλισίῃ.] παρὰ τὴ σκηνῇ. ἤμβροτον.] καθεζόμενον. δὲ ἄρα τώγε.] δὲ δὴ τούτους. ἰδὼν.] θεασάμενος. γήθησεν.] ἐχάρη. τὼ δ'.] ἔτοι μὲν. ταρβήσαντε.] φοβηθέντες, μύθοισι, διὰ τὴν ξιφολογίαν. ἀδμήνω.] ἀδικηθέντες. φίλω.] ἑταίρω. ἔσταν.] ἔστησαν. οὐκέτι μιν.] δὲ αὐτόν τι. προσεφώνεον.] προσεφθέγγοντο. δὲ δ' ὀδύσσατο.] οὐκ ἀνιρώτων. αὐτὰρ ὁ.] ὅτος δέ. ἔγνω.] ἐσοχάσατο, ἐνόησεν. ὕσιν ἐνὶ φρεσίν.] ἐν ταῖς ἐκείνου διανοίαις. φώνησέν τε.] ἐβόησε. ἠδὲ ἔπεν. Διὸς ἄγγελοι ἠδὲ καὶ ἀνδρῶν.] καὶ ἀνθρώπων. κήρυκες.] ἄξιοι ἡδὲ θεῶν ἄσυλον γὰρ ἡδὲ θεῖον τὸ γένος τῶν κηρύκων. Ἑρμῆς γὰρ μιγεὶς Πανδάρου τῇ Κέκροπος θυγατρὶ ἔσχεν ὑὸν ὀνόματι Κήρυκα. ἀφ' ὃ τὸ τῶν κηρύκων γένος. ὡς ἱστορεῖ Πτολεμαῖος. ἢ ὅτι τὰς ἑορτὰς τῶν θεῶν ἀγγέλλουσιν. ἢ ὅτι ἀπὸ Ἑρμοῦ ζοὴν ὕστερον ἀγγέλων Διός. ἄσυλον ἴτε.] ἔγγυς παραγένεσθε. ἤτοι μὲν ὑμεῖς δ'.] κατ' ἀξίαν μοι ὑμᾶς. φιλοῦσι τὸ ὑμεῖς ὡς Αἰολικόν. αἴη' ὑμμιν ὑστέρῃσι χέρα Κρονίων.] ἐπάστοις. αἰτίοι.] πεπαιδευμένως δέ. ἀ γὰρ δὴ τὰς αἰτίας ἐφ' ἑτέρους μεταγειν. ὡς κἀκεῖ κατὰ Τ' βεβλημένην λίθῳ. ὃς σφῶϊ.] ὃς ὑμᾶς. προέηκε.] ἔπεμπε. διογενές.] συγγενέστατε. Πατρόκλεες.] αὐτὶ τ' Πάτροκλε. ἰσχνμάτισται γὰρ τὸ ὄνομα ἐκ τοῦ δ' Πάτροκλος συθέως, ἀλλὰ ἀπὸ δ' Πατροκλῆος, ὡς Ἡρακλῆς ὦ Ἡρακλεες. ἔεργε.] ἔξω δ' σηνῆς κάμῃς. καί σφωϊν.] καὶ αὐτοῖς. ἄγεμ.] ἀπάγειν. κάρηφ.] τῷ Βρησηΐδι. τώδ' αὐτώ.] οὗτοι δ' αὐτοί. μάρτυροι.] μάρτυρες. Ἰὰς ὁ διάλεκτος. ἔστωμ.] ἔστωσαν, ὑπαρχέτωσαν. πρός τε θεῶν.] καὶ πρὸς τῶν θεῶν. μακαίρων.] μακαρισμοῦ ἀξίων, σὺ δαιμόνων. ἐ ἀπηνέως.] ἀπλῶς, χαλεπῶς, σκληρῶς. εἴ ποτε δ' αὖτε.] ἐάν ποτε πάλιν. χρέω.] χρέα. ἐμεῖο.] ἐμοῦ. ἀεικέα.] ἀνιστικόν, χαλεπόν. λοιγόν.] ὄλεθρον. ἀμῦναι.] ἀποσοβῆσαι, ἀποστρέψαι. ἦμαρ αὖ.] ἔντος γὰρ αὖ. ὄγε.] ἔστιν. ὀλοῇσιν.] ὀλεθρίοις. βύει.] ἐνθυσιωδῶς ὁρμᾷ, ὅ ἐστι μαίνεται. νοῆσαι.] προλογίσασθαι. ἐνθυμηθῆναι. πρόσω ηδὲ ὀπίσω.] τὸ παρὸν ηδὲ τὸ μέλλον. τετύχθαι δὲ οἶδε προσοπτῆσαι ηδὲ τὴν ἀρχὴν ηδὲ τὴν ἀπόβασιν ἢ πράγματος. ὅπως οἱ.] ὅπως αὐτῷ. σόοι.] σῶοι, ὑγιεῖς. μαχέοιντο.] μαχέσονται πολεμήσωσιν. ἐπεπείθετο.] ἐπείθη. ἑοῦ δ' ἄγαγε.] ἐβήγαγε δέ. τὼ δ' αὖτις.] οὗτοι ἦ πάλιν. ἴτην.] παρεγένοντο. ἦλθ' δὲ ἅμα τοῖσι γυνὴ κίεν.] ἡ Βρησὶς ἅμα ἕσπετο ηδὲ μὴ βουλομένη ὁμοῦ τοῖς κήρυξιν ἐπορεύετο. ἄφαρ.] αὐθέως, ταχέως. ἑταίρῳ.] ἑταίρων, φίλων. νόσφι.] χωρίς. λιαδάς.] χωρειδάς. ἵν' ἐφ' ἁλὸς.] ὡδὶ τ' ἀγιαλὸν δὲ θαλασσ-

Ἀλλ' ἄγε Ταλθύβιόν τε καὶ Εὐρυβάτην προσέειπε.
Τώ οἱ ἕσαν κήρυκε καὶ ὀτρηρὼ θεράποντε.
Ἔρχεσθον κλισίην Πηληϊάδεω Ἀχιλῆος.
Χειρὸς ἑλόντ' ἀγέμεν Βρισηΐδα καλλιπάρηον.
Εἰ δέ κε μὴ δώῃσιν, ἐγὼ δέ κεν αὐτὸς ἕλωμαι
Ἑλθὼν σὺν πλεόνεσσι, τό οἱ καὶ ῥίγιον ἔσται.
Ὡς εἰπὼν πρόῃκε, κρατερὸν δ' ὤρσε μῦθον ἑταίρῳ.
Τὼ δ' ἀεκόντε βάτην παρὰ θῖν' ἁλὸς ἀτρυγέτοιο.
Μυρμιδόνων δ' ἐπὶ τε κλισίας καὶ νῆας ἱκέσθην.
Τὸν δ' εὗρον παρά τε κλισίῃ καὶ νηῒ μελαίνῃ
Ἥμενον, οὐδ' ἄρα τώγε ἰδὼν γήθησεν Ἀχιλλεύς.
Τὼ μὲν ταρβήσαντε, καὶ ἀεσσαμένω βασιλῆα
Στήτην, οὐδέ τι μιν προσεφώνεον, οὐδ' ἐρέοντο.
Αὐτὰρ ὁ ἔγνω ᾗσιν ἐνὶ φρεσὶ φώνησέν τε.
Χαίρετε κήρυκες Διὸς ἄγγελοι, ἠδὲ καὶ ἀνδρῶν.
Ἄσσον ἴτ', οὔτι μοι ὔμμες ἐπαίτιοι, ἀλλ' Ἀγαμέμνων.
Ὅς σφῶϊ πρόΐει Βρισηΐδος εἵνεκα κούρης.
Ἀλλ' ἄγε διογενὲς Πατρόκλεες ἔξαγε κούρην,
Καί σφωΐν δὸς ἄγειν, τὼ δ' αὖτω μάρτυροι ἔστων
Πρός τε θεῶν μακάρων, πρός τε θνητῶν ἀνθρώπων,
Καὶ πρὸς τοῦ βασιλῆος ἀπηνέος, εἴποτε δ' αὖτε
Χρειὼ ἐμεῖο γένηται ἀεικέα λοιγὸν ἀμῦναι
Τοῖς ἄλλοις, ἦ γὰρ ἂν οὐ λοιῶτι φρεσὶ θύοι,
Οὐδέ τι οἶδε νοῆσαι ἅμα πρόσσω καὶ ὀπίσσω,
Ὅππως οἱ παρὰ νηυσὶ σόοι μαχέοιντο Ἀχαιοί.
Ὡς φάτο. Πάτροκλος δὲ φίλῳ ἐπιπείθετ' ἑταίρῳ.
Ἐκ δ' ἄγαγε κλισίης Βρισηΐδα καλλιπάρηον,
Δῶκε δ' ἄγειν, τὼ δ' αὖτις ἴτην παρὰ νῆας Ἀχαιῶν.
Ἣ δ' ἀεκύσα ἅμα τοῖσι γυνὴ κίεν, αὐτὰρ Ἀχιλλεὺς
Δακρύσας ἑτάρων, ἀφαρ ἕζετο νόσφι λιασθείς,
Θῖν' ἐφ' ἁλὸς πολιῆς ὁρόων ἐπὶ οἴνοπα πόντον.

Πολλὰ δὲ μητρὶ φίλῃ ἠρήσατο χεῖρας ὀρεγνύς
Μῆτερ, ἐπεί μ' ἔτεκες γε μινυνθάδιόν περ ἐόντα,
Τιμὴν πρό μοι ὄφελλεν Ὀλύμπιος ἐγγυαλίξαι
Ζεὺς ὑψιβρεμέτης. νῦν δ' οὐδέ με τυτθὸν ἔτισεν.
Ἦ γάρ μ' Ἀτρεΐδης εὐρυκρείων Ἀγαμέμνων
Ἠτίμησεν. ἑλὼν γὰρ ἔχει γέρας, αὐτὸς ἀπούρας.
Ὡς φάτο δακρυχέων. τοῦ δ' ἔκλυε πότνια μήτηρ,
Ἡμένη ἐν βένθεσιν ἁλὸς πὰρ πατρὶ γέροντι.
Καρπαλίμως δ' ἀνέδυ πολιῆς ἁλός, αὐτὰρ ὀμίχλη.
Κὰδ ῥα πάροιθ' αὐτοῖο καθέζετο δακρυχέοντος.
Χειρί τέ μιν κατέρεξεν, ἔπος τ' ἔφατ', ἔκτο' ὀνόμαζε.
Τέκνον, τί κλαίεις, τί δέ σε φρένας ἵκετο πῆμα;
Ἐξαύδα, μὴ κεῦθε νόῳ, ἵνα εἰδόμεν ἄμφω.
Τὴν δὲ βαρυστωνάχων, πόδας ὠκὺς Ἀχιλλεύς.
Οἶδα, τίη τοι ταῦτ' εἰδυίῃ πάντ' ἀγορεύω;
Ἰχόμεθ' ἐς Θήβην ἱερὴν πόλιν Ἠετίωνος.
Τὴν δὲ διεπράθομέν τε, καὶ ἤγομεν ἥδε πάντα.
Καὶ τὰ μὲν, εὖ δάσσαντο μετὰ σφίσιν υἷες Ἀχαιῶν.
Ἐκ δ' ἔλαχ' Ἀτρεΐδῃ Χρυσηΐδα καλλιπάρηον.
Χρύσης δ' αὖθ' ἱερεὺς ἑκατηβόλου Ἀπόλλωνος,
Ἦλθε δοὰς ἐπὶ νῆας Ἀχαιῶν χαλκοχιτώνων,
Λυσόμενός τε θύγατρα, φέρων τ' ἀπερείσι' ἄποινα.
Στέμματ' ἔχων ἐν χερσὶν ἑκηβόλου Ἀπόλλωνος
Χρυσείῳ ἀνὰ σκήπτρῳ, καὶ ἐλίσσετο πάντας Ἀχαιούς.
Ἀτρεΐδα δὲ μάλιστα δύω κοσμήτορε λαῶν,
Ἐνθ' ἄλλοι μὲν πάντες ἐπόρουσαν Ἀχαιοί,
Αἰδεῖσθαί θ' ἱερῆα, καὶ ἀγλαὰ δέχθαι ἄποινα.
Ἀλλ' οὐκ Ἀτρεΐδῃ Ἀγαμέμνονι ἥνδανε θυμῷ,
Ἀλλὰ κακῶς ἀφίει, κρατερὸν δ' ὤρσε μῦθον ἐπέλλε.
Χώομαι δ' ὁγρῷῳ, πάλιν ὤχεο, σοῖο δ' Ἀπόλλων
Εὐξαμένοιο ἤκουσεν, ἐπεὶ μάλα οἱ φίλος ἦεν.
Ἧκε δ'' ἐπ' Ἀργείοισι κακὸν βέλος. οἱ δέ νυ λαοὶ

σπ. πολιῆς.] λευκῆς, διὰ τὸν ἀφρόν. ὁρόων.] ὁρῶν, βλέπων. ἐπὶ οἰνοπα.] ὡδὶ τὸν μέλανα. πόντον.] τὴν θάλασσαν. ὀρέξατο.] ἤυξατο. ὀρεγνύς.] ἐκτείνας. ἐπέμ.] ἐπειδή μ'. μινυνθάδιον.] ὀλιγοχρόνιον. ἐόντα.] ὄντα, ὑπάρχοντα. τιμὴν πέρ μοι.] τὴν τιμὴν δή μοι. ὄφελλεν.] ὤφελεν. Ὀλύμπιος.] ὁ τὸν ὄλυμπον κατοικῶν Ζεύς. ὁ ἢ Ὀλυμπος ὄρος Μακεδονίας, ἰσόδυ εἰκοστήμιον τῶν θεῶν, ἀλλ' ὑπερμεγέθης δὲ ὁ οὐρανός. ἐγγυαλίξαι.] ἐγχειρίσαι, παράσχειν. ὑψιβρεμέτης.] ὁ ἐν ὕψει ἐχῶν, ὅ ἐστι βροντῶν. βρόμιος ἢ νυρίως ὁ ἐν ἢ πυρὸς ἦχος. ἐδὲ μὲ τυτθόν.] δὲ ὀλίγον μι. ἔτισεν.] ἐτίμησεν. ἦ γὰρ μ' Ἀτρείδης.] ὁ Ἀγαμέμνων γάρ μι. ἑλὼν γάρ.] ἀφελόμενος γὰρ τὴν τιμὴν μου ἔχει. ἀπούρας.] ἀφορίσας, ἀφελόμενος. δακρυχέων.] δακρύων χέων, πλαίων. πότνια.] σεβασμίως ἐντιμος. ἡμένη.] καθεζομένη. ἐν βένθεσιν.] ἐν τοῖς βάθεσιν. πατρὶ γέροντι.] τῷ Νηρεῖ. τὸν δὲ Νηρέα οἱ Ποιηταὶ πανσόφων ἡμῖν διαλέγονται δαλάσσιον. ἀφ' ὃ καὶ Δωρίδος δὲ Ὠκεανοῦ αἱ Νηρηΐδες. καρπαλίμως.] ταχέως. ἀνέδυ.] ἀνῆλθεν. αὐτὰρ ὀμίχλη.] ἔστι δὲ ἡμίχλη, ὁ ψακὰς καὶ ὑγρότατος ἀήρ. καί ῥα.] καὶ δή. πάροιθεν.] ἔμπροσθεν. αὐτοῖο.] αὐτοῦ. καθέζετο.] καθεζόμενος. δακρυχέοντος.] δακρύοντος. χειρί τέ μιν.] καὶ τῇ χειρὶ αὐτόν. κατέρεξε.] κατέψηξε. καθομάλισεν. ἔπος τ' ἔφατ' ἔκτ' ὀνόμαζε.] τόν τε λόγον ἅπερ καὶ τὰ μέρη αὐτοῦ δι' ἑξῆλιξ. ἴκετο.] κατέλαβε. πῆμα.] λύπη. ἰδυίῃ.] ἐξαπατῶσα, λέξον. μὴ κεύθε.] μὴ λαθίσῃ. νόῳ.] τῇ διανοίᾳ. ἐδόμεν.] αὐτὶ τοῦ, δοῶμεν, μάθωμεν. ἄμφω.] ἀμφότεροι, ἐγώ τε ἡ Θέτις καὶ σὺ ὁ Ἀχιλλεύς. βαρυστονάχων.] βαρέως στενάζων. οἶδα.] οἶδας, ἐπίστασαι. τίη τοι.] τί δή σοι. ἀγορεύω.] λέγω. ὠχόμεθ' ὅτ' Θήβην.] παρεγενόμεθα εἰς τὰς Θήβας. νῦν δὲ λέγει τὰς Ὑποπλακίους. ὧν ἐβασίλευεν Ἠετίων ὁ Ἀνδρομάχης πατήρ. Κίλικες ἔθνος βαρβαρον δὲ ὑπὸ τὸ Πλάκιον ὄρος Θήβης. τούτων ἦρχε τῶν Κιλίκων Ἠετίων, ἔχων ὑοὺς ἑπτὰ, δυγατέρα δὲ τὴν Ἀνδρομάχην τὴν γαμηθεῖσαν Ἕκτορι τῷ ὑῷ Πριάμου, κατὰ δὲ τοὺς Τρωϊκοὺς πολέμους, ἐπιστρατεύσας Ἀχιλλεὺς τῇ Θήβῃ καὶ τὴν πόλιν πορθήσας. τόν τε Ἠετίωνα αὐτὸν σὺν τοῖς τέκνοις. μεθ' ὃς Δυρνησσὸν πορθήσας καὶ τὴν πόλιν ἀφελών, αἰχμάλωτον ἦγεν, ἐν Δυρνησσῷ μ, Βρισηΐδα, ἣν γέρας αὐτῷ ἐψηφίσαντο Ἕλληνες. ἀπὸ ἢ δὲ Χρύσης, Χρυσηΐδα τὴν Χρύσου ἢ ἱερέως τοῦ Ἀπόλλωνος θυγατέρα. διὸ Ἀγαμέμνων κλήρῳ λαχὼν, τῷ παρὰ λειομένῳ οὐκ ἀπέλωνεν, ἀφ' οὗ ὀργισθεὶς ὁ Διὸς ἐπεμψε τοῖς Ἕλλησι λοιμὸν, ὅ ἐστι λοιμικὴν νόσον. ἔνιοι δέ φασιν ὅτι ἡ Χρυσὶς ἐκ Θήβων ἐλήφθη. δὲ γὰρ Χρύσης φασὶν οὐσης πολιχνίου. ἀτειχίστου καὶ σύτελοῦς, ὡς ἐν ἀσφαλεστάτῃ καὶ μάλιστα τῇ Θήβῃ, οἱ ἀπ' αὐδὶ προσιρρύηντες ὕσαν διὰ τὸν πόλεμον. βάς γὰρ εἰς Θήβας. αἱ Ὑποπλάκιοι, ὧν ἐνταῦθα μέμνηται καὶ ἐν τῇ β'. καὶ αἱ Καδμεῖαι, ὧν μέμνηται ἐν τῇ δ'. καὶ ἐν τῇ ε'. καὶ αἱ δὲ Αἰγόπλακες, ὧν μέμνηται ἐν τῇ ζ'. Θῆβαι ἢ αὐτὰι ἀσὶ τὸ νῦν Ἀδραμύττιον καλούμενον. ἵδρυν.] ἵδρυσαν, μεγάλην, καὶ θαυμαστήν. διεπραθόμεθα.] ἐξεπορθήσαμεν. καὶ ἤγομεν.] καὶ ἠγάγομεν. καὶ τὰ μὲν.] τὰ μὲν ἄλλα. εὖ δάσαντο.] καλῶς ἐμέρισαν. μετὰ σφίσιν.] ἐν αὐτοῖς. ἓκ δ' ἔλαχ'.] ὡς ἐβαίρετον ἕλαχον οἱ ἑλόντες. ἐπὶ μάλα οἱ φίλος ἦεν.] ἐπειδὴ πάνυ αὐτῷ προσφιλὴς ὑπῆρχεν. ἦεν.] ἐφῆκεν, ἐπέμψεν.

οἱ δέ νυ λαοί.] οἱ ἢ δὴ ὄχλοι. θνῦσκον.] ἀπέθνησκον. ἐπικαυτόβοι.] ἐπάλληλοι, πυκνοί. ταύτην.] ταύτας χθ. ὡς ὅλον τὸ στράτευμα. ἄμμι δέ.] ὑμῖν δέ. σὺ δ' ἀλλός.] ἀμεμβῶς ἐπισάμενος. ἐκάτοιο.] Ἀπόλλωνος, τοῦ μαντεύεσθαι βάλλοντος. ἕτοξεῦ. κελόμην.] ἐκέλευον. ἰλάσκεσθαι.] ἱλεοῦσθαι, ἱλεύμενοι ποιεῖσθαι. Ἀργείοντα.] τὸν Ἀγαμέμνονα. χόλος λάβεν.] ὀργὴ κατέλαβεν. αἶψα δέ.] ταχέως δέ. ἠπείλησεν.] ἐπηγγέλατο. ἑλίκωπις.] μελανόφθαλμοι· ἑλικὰν γὰρ κατὰ διάλεκτον τὸ μέλαν. ἢ οἱ ἑλικοειδῶς τὰς ὤπας κινοῦντες. τετίσιν, οἱ τοὺς ὀφθαλμοὺς σὺν ἰσχύι. δῶρα.] νεῶ θυσίας.

νέον.] νεωστί. κλισίηθεν.] ἀπὸ τῆς σκηνῆς. ; ἔβαν.] ἔβησαν, ἐπορεύθησαν. ἀγοντες.] ἀποφέροντες. τέλῳ μοι.] ἤν τινά μοι. κόρην Βρισῆος.] τὴν Βρισέως θυγατέρα Βρισηΐδα. ἑοικε δέ πατρωνυμικῶς τὰ ὀνόματα κατὰ σχῆμα τίθεμεν ὁ Ποιητής, καὶ ὁ κυρίως. ὡς γὰρ οἱ ἄλλοι ἀρχαῖοι ἐγορεύουσιν. ὁ μέν, Ἀγαμέμνων ἐκαλεῖτο, ὁ δὲ Ἱπποδάμεια. περίσχετο.] περίσχυσε, φρόντισεν. ἦος.] αὐτί τοῦ σε. οἱ δὲ ἀγαθοῦ. πρόσηνες. ὁ ἰδίου. λίσαι.] λιταῖνυσον. ὁ ἐπε.] ὁ λόγω. ὤνησας.] ὠφέλησας. πραπίδεσσι Διός.] τὸν Δία περιφραστικῶς. ἐκ τοῦ ὄργου.] ὁ αὐτῷ τῷ ὄργῳ. πολλάκι γάρ σέο.] πολλάκις γάρ σε. πατρὸς ἐνὶ μεγάροισιν.] ἐν τοῖς τοῦ πατρός μου Πηλέως οἴκοις. ἐν θαλάσσῃ γὰρ Πηλεὺς κατῴκησεν οὐκ ἠδύνατο. ἄνουσα.] ὄνησα.

σὺν ὁμάδῳ.] λαοχομένης. ὅτ' ἔφην.] ὅτε ἔλεγες. νεφεληγερέτῃ.] τῷ τὰς νεφέλας μελαίνοντι ὀμβροποιῷ. Κρονίωνι.] τῷ ἐκ Κρόνου παιδί. οἵη.] μόνη. ἐν ἀθανάτοισιν.] ἐν τοῖς θεοῖς. ἀεικέα.] ἀπρεπῆ ὑπόπτα. χαλεπὸν. λοιγὸν.] ὄλεθρον, φθοράν. ἀμῦναι.] ἀποσοβῆσαι, ἀποστρέψαι. ὁππότε μιν.] ὁπηνίκα αὐτόν. ξυνέηκα.] συνέλῃσα. λάς ὑ διάλεκτος. ὀλύμπιοι ἤθελον ἄλλοι.] εἰ Τιτᾶνες. ἦσαν γὰρ ἐν ἄλλοις φησί, μάλα γάρ με μάχης ἐπύθοντο ἦσαν ἄλλοι, οἵπερ νέρτεροί ἐσι θεοί Κρόνου ἀμφὶς ἐόντες.

Ἥρη τ' ἠδὲ Ποσειδάων ἠδὲ Παλλὰς Ἀθήνη] γράφεται, καὶ Φοῖβος Ἀπόλλων. Ζεὺς γὰρ παραλαβὼν τὴν ἐν οὐρανῷ διοίκησιν, πρόσταξεν τῇ παρθένῳ ἐχρῆτο. πολλὰ αὐθάδη διαπραττόμενος Ποσειδῶν δὲ καὶ Ἥρα, καὶ Ἀπόλλων, καὶ Ἀθηνᾶ ἐβούλοντο αὐτὸν δῆσαντες ὑποστέξαι. Θέτις ἦν ἀνέσασα παρὰ τὸ παρὸς Νηρέως, ὃν γῆρᾳ μαύτις, τὴν κατὰ Διὸς ἐπιβουλὴν, ἔσπευσε πρὸς αὐτὸν, ἐπαγομένη Αἰγαίωνα φόβητρον τῶν ἐπιβουλευόντων θεῶν. ὃν ἡ θαλάσσης καίμαν οὗτος. καὶ τὸν πατέρα Ποσειδῶνα κατεβράβευεν. ἀκούσας δὲ ὁ Ζεὺς Θέτιδος, τὴν μὲν Ἥραν, ἐν τοῖς κατ' αὐτοῦ δεσμοῖς ἐκρέμασε. Ποσειδῶνι δὲ καὶ Ἀπόλλωνι, τῷ παρὰ Λαομέδοντι θητέαν ἐψηφίσατο. τῇ δὲ Θέτιδι, τὴν Ἀχιλλέως τιμὴν ἐς τὰ μεταταῦτα, ἐταμεύσατο ἐσομένῃ Δίλυμος. ὑπελύσαο.] ἔβαλε, ἔλυσας. ὦκα.] ταχέως, σπουδαίως. ἑκατόγχειρον.] ἑκατοντάχειρα Αἰολικῶς. τὸν ἑκατοντάχειρας ἦ, γράφει Ἡσίοδος οὐρανοῦ καὶ γῆς γένος. μακρόν.] μέγαν. ὃν Βριάρεων καλέουσι θεοί, ἄνδρες δέ τε πάντες Αἰγαίωνα.] τὸ πλῆρες, Αἰγαίωνα. τῶν δὲ δυνατόν, τὸ μὲν πρότερον ὄνομα, Ὄμβρος ἐς θεοὺς ἀναφέρει. τὸ δὲ δεύτερον, ἐς ἀνθρώπους, ὡς καὶ τὸ, Χαλκίδα κικλήσκουσι θεοί, ἄνδρες δὲ, Κύμινδιν. καὶ πρὸ τῆ ποταμοῦ, ὃν Ξάνθον καλέουσι θεοί, ἄνδρες δὲ, Σκάμανδρον. ὃ γὰρ αὖτις.] οὗτος γὰρ δή. βίη.] βία, δυνάμει. ὃ πατρὸς.] τοῦ ἰδίου πατρός. ἀμείνων.] ἰσχυρότερος, βελτίων. ὅς ῥα.] ὅστις δή. Κρονίωνι.] Κρόνου παιδί, Διΐ. νύσσετ' γαίων.] τῇ αὐτοῦ δόξῃ γαυριῶν, καὶ σεμνυνόμενος. ὑπέλλεσαν.] ἐφοβήθησαν. ὀλέσσαν.] τὸ πλῆρες, ὀλέσσαν ἔτι ἐδίωξαν. τῶν νιῶ μιν.] τούτων δὴ ὅτι ἦ παρόντος αὐτοῦ. μνήσασα.] ὑπομνήσασα.

παρέζετο.] παρακαθέζετο. καὶ λάβε γόνων.] τῶν γουνάτων κράτησον. εἰκύῖα πως.] ἑαυτῇ πως. ἐθέλησι.] βουληθῇ, βεληθῇ. ὦδε Τρώεσσιν κῦδος ἄρῃξαι.] ἐπιδοθῆσαι τοῖς Τρωσί. τοὺς δέ.] τοὺς Ἕλληνας. κατὰ πρύμνας.] τὰς ναῦς. ἀπὸ μέσσης

Θνῄσκον ἐπακτύποροι. τάδ' ἐπώχετο κῆλα θεοῖο
Πάντῃ κὰτ στρατὸν εὐρὺν Ἀχαιῶν. ἄμμι δὲ μάντις
Εὖ εἰδὼς ἀγόρευε θεοπροπίας ἑκάτοιο.
Αὐτίκ' ἐγὼ πρῶτος κελόμην θεὸν ἱλάσκεσθαι,
Ἀτρέωνα δ' ἔπειτα χόλος λάβεν. ἆψα δ' ἀναστὰς,
Ἠπείλησεν μῦθον, ὃ δὴ τετελεσμένος ἐστί.
Τὴν μὲν γὰρ σὺν νηῒ θοῇ ἐλίκωπιν Ἀχαιοὶ
Ἐς Χρύσην πέμπουσιν, ἄγουσι δὲ δῶρα ἄνακτι.
Τὴν δὲ, νέον κλισίηθεν ἔβαν κήρυκες ἄγοντες
Κούρην Βρισῆος, τήν μοι δόσαν υἱες Ἀχαιῶν.
Ἀλλὰ σὺ εἰ δύνασαί γε, πρόφρων τεῦσον Διὸς υἱέ,
Ἑλθὼν ὄλυμπόν δε, δίας λίσαι, εἴποτε δή τι
Ἢ ἔπει ὤνησας κραδίην Διὸς, ἠὲ καὶ ὄργῳ.
Πολλάκι γάρ σέο πατρὸς ἐνὶ μεγάροισιν ἄκουσα
Εὐχομένης, ὅτ' ἔφησθα κελαινεφέϊ Κρονίωνι
Οἴῃ γ' ἀθανάτοισιν ἀεικέα λοιγὸν ἀμῦναι,
Ὁππότε μιν ξυνέηκα θεὰ λυμήσασθαι ἄλλοι,
Ἥρη τ', ἠδὲ Ποσειδάων, καὶ Παλλὰς Ἀθήνη.
Ἀλλὰ σὺ τόν γ' ἐλθοῦσα θεὰ, ὑπελύσαο δ' ἐσμοῦ,
Ὦκα ἑκατόγχειρον καλέσασ' ἐς μακρὸν ὄλυμπον,
Ὃν Βριάρεων καλέουσι θεοί, ἄνδρες δέ τε πάντες
Αἰγαίων· ὃ γὰρ αὖτε βίᾳ ὅ πατρὸς ἀμείνων,
Ὃς ῥα παρὰ Κρονίωνι καθέζετο κύδεϊ γαίων.
Τὸν, καὶ ὑπέδδεισαν μάκαρες θεοί, οὐδέ τ' ἔτλησαν.
Τῶν νῦν μιν μνήσασα, παρέζεο, καὶ λάβε γόνων,
Αἴκῃ πῶς ἐθέλῃσιν ὑπὲρ Τρώεσσιν ἀρῆξαι.
Τοὺς δέ, ἦ πρύμνας τε, καὶ ἀμφ' ἅλα ἕλσαι Ἀχαιοὺς

Κτεινομένους, ἵνα πάντες ἐπαύρωνται βασιλῆος,
Γνῷ δὲ καὶ Ἀτρεΐδης εὐρυκρείων Ἀγαμέμνων
Ἣν ἄτιν, ὅτ' ἄριστον Ἀχαιῶν οὐδὲν ἐπίσσων.
Τόνδε γ' ἠμείβετ' ἔπειτα ποδάρκης δῖος Ἀχιλλεὺς,
Ὦ, μοι τέκνον ἐμόν. τί νύσσ' ἔτρεφον ἀνὰ τηλῶ;
Αἴθ' ὄφελες ἧσθαι νηυσὶν ἀδάκρυτος, καὶ ἀπήμων
Ἤδη, ἐπεὶ νύτοι αἶσα μίνυθά περ, ὄπι μάλα δηΐῳ.
Νῦν δ' ἅμα τ' ὠκύμορος, καὶ ὀϊζυρὸς πέλει παντῶν
Ἔπλεο τῶ, σε κακῇ αἴσῃ τέκον ἐν μεγάροισιν.
Τὸ καὶ ἐρέω σ' ἔπος· Διΐ τοι πρὸ πυκινὰ φρονέων
Εἶμ' αὐτὴ πρὸς ὄλυμπον ἀγαύνιφον, αἴ κε πίθηται.
Ἀλλὰ σὺ μὲν νῦν νηυσὶ πάρημαι ὠκυπόροισιν,
Μήνι' Ἀχαιοῖσιν, πολέμου δ' ἀκριτάων πάμπαν.
Ζεὺς γὰρ ἐπ' Ὠκεανὸν μετ' ἀμύμονας Αἰθιοπῆας
Χθιζὸς ἐβη μετὰ δαῖτα. θεοὶ δ' ἅμα πάντες ἕποντο,
Δωδεκάτῃ δέ τοι αὖθις ἐλεύσεται ὄλυμπόν δε.
Καὶ τότ' ἔπειτά τοι ἔμι Διὸς πρὸς χαλκοβατες δῶ
Καί μιν γονάσομαι. καί μιν πεπίσεσθαι οἴω.
Ὣς ἄρα φωνήσασ', ἀπεβήσατο. τὸν δ' ἔλιπ' αὐτοῦ,
Χωόμενον ᾗ θυμὸν ἐϋζώνοιο γυναικός,
Τήν ῥα βίη ἀέκοντος ἀπήνυρων. αὐτὰρ Ὀδυσσεύς,
Ἐς Χρύσην ἵκανεν ἄγων ἱερὴν ἑκατόμβην.
Οἵ δ' ὅτε δὴ λιμένος πολυβενθέος ἔνδον ἵκοντο,
Ἱσία μὲν σείλαντο, θέσαν δ' ἐν νηὶ μελαίνῃ.
Ἱστὸν δ' ἱστοδόκῃ πέλασαν πεπτόνοισιν ὑφῆγες,
Καρπαλίμως τήνδ' εἰς ὅρμον πορήνυσαν ἐρετμοῖς.
Ἐκ δ'

μέρος φησί. πρύμνα γὰρ μέρος τῆ νεὼς τὸ ἔσχατον. ἠδὲ ἀμφ' ἅλα.] ἠδὲ πρὸ τῶν θαλάσσαν. ἕλσαι.] συνελάσαι, συγκλῆσαι. πεπνυμένους.] αὐταρκεστάτους, φρονιμωτάτους. ἵνα πασῶσι πανσῶνται βασιλῆος.] ἵν' ἀπολαύσωσι παντὸς τοῦ ἀβουλίας ἕ βασιλέως. τετίσεται, ἵνα ἀπόλωνται δι' αὐτόν. γνῷ.] γνωρίσῃ, μάθῃ. ὃν ἄτιν.] τὴν ἰλίαν ἀβουλίαν ἠδὲ βλάβην. ὅτ' ἄριστον.] ὅτι τὸν ἄριστον. αὐτὶ ἕ, ἐμὶ τὸν Ἀχιλλέα. οὐδέν' ἔτισε.] κατ' οὐδέν' ἐτίμησεν. ἠμείβετο.] ἀπεκρίνατο. δακρυχέουσα.] δακρύουσα, κλαίουσα. τί νυ.] διατί δή σε αὐτὸ φρονεῖν. αἰνὰ τεκοῦσα.] ὅτι κακῶς γνώσασα. αἴθ' ὄφελες.] εἴθε ὄφελες. ἔστιν ἐπίρρημα συντελικόν. ἀδάκρυτος.] αὖευ δακρύων, ἄλυπος. ἀπήμων.] ἀβλαβής. ἐπεὶ νύ τοι.] ἐπειδή σοι. αἶσα.] ἑρμαμένη, μοῖρα. μίνυνθα.] ὀλίγον χρόνον. ἅμα.] ὁμῶς. ὠκύμορος.] ταχυθανάτος. δίζυρός.] ἐπίπονος, ταλαίπωρος, ἄθλιος. πέρι παντῶν.] ἀντὶ ἕ, τῶν πάντας αὐθρώπους. ἔπλεο.] ἐγένου. λέγεται γὰρ τὴν Θέτιν παρὰ Διὸς μαθεῖν τὰ περὶ Ἀχιλλέως. ὅτι ἐν μὲν μάχῃ ἐν τῇ Φθίᾳ μὴ συμπολεμήσας τοῖς Ἕλλησιν ᾗ τὴν Ἴλιον, πολλὴ μὲν ἔσται αὐτῷ ζωὴ, ἄδοξος δέ. ἐν δὲ συνέλθοι αὐτοῖς ἔσται ὀλιγοχρόνιος μέν, ἀλλὰ ἀοίδιμος. καὶ σύκλειής. ὅθεν ὡς προειδυῖα ἡ Θέτις τοῦτο, ὧν αὐτὸν παραθεμένη ᾗ τὸν Δυκομήδους παρθενῶνα ὡς κόρην ἐν τῇ Σκύρῳ, ἡ δὲ Σκύρος μία ἦν τῶν Κυκλάδων. τῶ σε.] διὸ δή σε. λιαζῆ αἴσῃ.] κακῇ μοίρᾳ. τέκον.] ἔτεκον, ἐγέννησα. ἐν μεγάροισιν.] ἐν τοῖς οἴκοις. ὀρέουσα.] λέξουσα, ἀπαγγελοῦσα. τερπικεραύνῳ.] τερπομένῳ κεραυνοῖς, ᾗ καταγωνιζομένῳ τοὺς ἐναντίους καὶ βρέποντι κεραυνοῖς. ἆμι.] ἄπειμι, πορεύομαι. προπρήσπωμένως ᾗ ἀναγνωστέον. ὁ δ' ἐξιτόνως, ἁπλοῖ τὸ ὑπάρχῳ ᾗ λέξις. ἀναύνιφον.] ἕ λίαν νιφόμενον τὰ ὑπὸ ζοΐς νίφεσι μέρη. τὰ γὰρ ἄκρα ἕ Ὀλύμπου, ὡς ὑπόρροφα ᾗ, καὶ ὑπερνιφῆ. οὔτε νίφεται, ὅτε κατομβρᾶται. κατ' αὐτὸ ἕ ποιητῶν λέγοντα, Οὐλυμπόνδ' ἦν φασι θεῶν ἕδος ἀσφαλὲς αἰεὶ Ἐμμεναι, ὅτ' οὔτε μετ' ἀνέμοισι τινάσσεται· οὔτε τι χιὼν ἐπιπίλναται, ἀλλὰ μάλ' αἴθρη πέπαται ἀνέφελος. λευκὴ δ' ἐπιδέδρομε αἴγλη. ἀγαύνιφον οὖν ἤτοι ἕ φάνυ κατανιφόμενον. ᾗ ἀθ' ὅλως. Αἶκε πίθηται.] ἐὰν πεισθῇ. ὠκυπόροισι.] ταχέως πλεούσαις. μίνυε.] ὀργίζου. πάμπαν.] παντελῶς, πάνυ. ἐς Ὠκεανόν.] παρὰ τὸν Ὠκεανόν. ὁ ᾗ Ὠκεανὸς ποταμὸς ἐστι καθ' Ὅμηρον. ἀμύμονας.] ἀμωμήτους, ἀγαυοὺς, ᾗ ἀψόγους. Αἰθιοπῆας.] Αἰθίοπας. χθιζός.] χθές. μετὰ δαῖτα.] ὠδὶ σὺνχίαν. ἕποντο.] ἦσαν λόθησαν. ἐλεύσεται.] παραγενήσεται, ἐλθή. ὄλυμπόν δε.] εἰς ἕ ὄλυμπον. Διὸς ποτί.] πρὸς τὸ ἕ Διός. χαλκοβατές.] ἰσχυρῶς βεβηκὸς, σφριβόν. δῶ.] δῶμα, οἰκίαν. τὸ ᾗ πάθος ἀποκοπῇ. γνυάσομαι.] λιτανεύσω, γονυπετήσω. πεπίσεσθαι.] πεισθῆναι, ὡς ἀμφίβολον ᾗ αὐτό φησι. διότι ᾖδει τὸ αὐτοπαθὲς τῆ Ἥρας. ὣς ἄρα.] ἔτως, δή. φωνήσασα.] εἰπῶσα. ἀπεβήσατο.] ἀπέβη, ἀπῆλθεν. ἔλιπε.] κατέλιπεν. αὐτ'.] αὐτί ἕ αὐτόθι ἐπεὶ ἕ τόπον. χωόμενον.] λυπούμενον. ἐϋζώνοιο.] εὐζώνου. ἐϋζώνοιο, ἰκανῶς καὶ εὐζώλου, ἀφ' ἧ εὐεπίδεσ, ἀπὸ μέρους. τήν ῥα.] ὧ τινα δή. βίη.] βίᾳ, δυνάμει, μετὰ βίας. ἀέκοντος.] ἄκοντος, μὴ βουλομένου. ἀπήνυρων.] ἀφέλοντο. αὐτῷ Ὀδυσσεύς.] ὁ ᾗ Ὀδυσσεὺς ἐν τοσούτῳ ὃν Χρύσου.] ἕ Χρύσαν. ἵκανεν.] παρεγένετο, ἔφθασεν. οἵ γ' ὅτε.] ἔτοι ᾗ ὁπότε. ἱδρύθη.] ἱερεὺς, μεγάλην. λεμένος.] ἕ αἰγιαλὸ. πολυβενθέος.] πολὺ βαθὺ ἔχοντος βαθυτάτου. ἱσία.] τὰ νηὸς ᾗ ὀθόνη, ὅ ἐστι τὸ ἄρμενον, ἱστίον λέγεται. ἱστὸς ᾗ, τὸ μέγα ξύλον τὸ πατάρτιον λεγόμενον ὑπὸ ἕ ναυτικῶν. σείλαντο.] συνέστειλαν, καθεῖλον. θέσαν.] ἔθηκαν. ἱστοδόκην.] τῇ ὑποδοχομένῃ ἕ ἱστὸν ἱστοδόκη, λέγει ᾗ τῷ κατὰ τὴν πρύμναν κάτοχοντι ξύλῳ, καθ' ὃ κλίνεται ὁ ἱστός. πέλασαν.] προσεπέλασαν. προσάγουσιν. μετανυμφία. τετίσει πελασθῶσι ἐποίησαν. προτόνοισι.] τοῖς προτείνουσι κάλοις, οἵ τινες ἕ ἱστὸν περιτάνυσιν ἵνα ᾖ ὀρθὸς. ὑφῆντες.] κλίσαντες, χαλάσαντες. καρπαλίμως.] ταχέως ὡς ὅρμον.

ἐς ὅρμον.] ἀπὸ τοῦ ὁρμᾶν ἡγοῦ ἵστασθαι ἐν αὐτῷ τὰς ναῦς. προήμυναν.] προσέλπυσαν, προσέγαγον. ἀγέτμοις.] ἀφορίσας, ἀποκλασίας. ἐν δ' σύνας.] τὰς ἀγκύρας, παρὰ τὸ σύνα ζεῦγμα τῶν ναῶν χαλωμένας εἰς τὸ ὕδωρ, ἡγοῦ ποιεῖν ἵστασθαι. βρία δὲ σημαίνει ἡ λέξις παρὰ τῷ ΣΤ οἰκτῆ· τῶν ποίτλων. ἐπ ὅταν λέγῃ σύνῃ ἐνὶ μαλακῇ. τῶν ἀγκυρῶν ὡς ναῶν. ἐν δ' σύνας ἔβαλον. τῶν διατειβλύ. ὡς τὸ, ὄβρι φασὶ Τυφωέως ἔμμεναι σύνας. ἔβαλον.] βέβαλον, ἡγοῦ καθῆκαν. πρυμνήσια.] τὰ ἀπόγεια σχοινία. οἷς ἐν δὲ πρύμνης προσδιαμέτειαι ἡ ναῦς πρὸς τὴν γῆν. ἐν ᾗ ἡγοῦ αὐτοὶ βαίνουσι.] βέβηκαν ᾗ ἡγοῦ αὐτοί. ἀδὴ ῥηγμῖνι.] ἀδὴ τῷ αἰγιαλῷ. οὕτως ᾗ ἄρτιται ἀπὸ τοῦ παραῤῥήγνυσθαι αὐτῷ τὰ πύματα. ἐν ᾗ Χρυσηΐς νηὸς βῆ.] βέβηκε δὲ ἡγοῦ ἡ Χρυσηΐς ἐπὶ νηός. ποντοπόροιο.] ἐπὶ τὸν πόντον παρόσον, θαλασσοπλόου.

πολύμητ.ος.] πολύβουλ⟨ος⟩, συνετός.

ἐν χερσὶ τίθει.] ἐν ταῖς χερσὶ τοῦ παρὸς ἐλαίης. καί μιν.] ἡγοῦ αὐτόν.

προέμ' ἐπέμψε.] προέπεμψέ με. ἄνακτ' ἀνδρῶν.] ὁ βασιλεὺς τῶν ἀνθρώπων. πάλλα τέ σοι.] ἡ τῶν δυγατέρα σοι. ἀγέμεν.] ἄγειν. Φοίβῳ θ'.] ἡγοῦ τῷ Απόλλωνι. ῥέξαι.] ἐπιτελέσαι, θῦσαι, ἱδρυσυγῆσαι. ὄφρ' ἱλασσόμεθα.] ὅπως ἱλεωσώμεθα. αἰ'αντα.] τὸν Απόλλωνα νεμεσσήσας.] ποιλύσονα.] ποιλῶν σταναγμῶν αἴτιον. πύλεν.] μανικά.

ἔρυκεν.] ἐπὶ μὴν. πάλλα φίλην.] τῶν προσφιλῆ δυγατέρα. ὦκα.] ταχέως. πλειτήν.] ἐνδοξον. ἐξέηκε.] ἐφεξῆς. ἐύδμητον.] πρὸς τὸν καλῶς ᾠκοδομημένον βωμόν. κρνίψαντο.] τὰς χεῖρας ἐνίψαντο. οὐλοχύτας.] οὐλάς. ἐστὶ ᾗ περιβαὶ μετὰ ἁλῶν μεμιγμέναις ἐπέχειν τοῖς ἱδρυσυγουμένοις ῥώοις πρὸ δύο ἡμέρας, ἤτοι πολυπληθείας χάριν ἢ μύμημα ποιούμενοι τὰ ἀρχαίας βρώσεως. ὡς γάρ φησι Θεόφραστος ἐν τῷ πρὶ σιτημάτων, πρῖν ἢ μάθωσιν οἱ ἄνθρωποι ἁλᾶν τὸν σιτηρικὸν καρπὸν οὕτω σώας αὐτὰς ἔσθιον. ἔθνη οὐλὰς αὐτὰς φησιν ὁ Ποιητής.

προβάλοντο.] προήνεγκαν, ἐβάσασαν. μεγάλ' ὄυχετο.] μεγάλως ἤυχετο. αὐασχών.] αὐατέναος. παρός.] ἐμπροσθεν, ἢ πρότερον. ἐμοῖ.] ἐμοῦ. ἔκλυες.] ἐπήκοος ἐμοῦ εὐχομένου. τίμησας.] τιμῆς ἠξίωσας, ἐτίμησας. μέγα δ' ἴφαο.] μεγάλως ἔβλαψας. ἦλθ' ἔτι καὶ νεῶ μοι.] καὶ νεῶ δήμοι. ἐπικρήηνον.] ἐπιτέλεσον. ἴλλαθι.] ἐπιθύμημα. ἀεκήλια λοιγόν.] ἀδιστικτον ἀπρεπῆ, καὶ χαλεπὸν ὄλεθρον. ἄμυνον.] ἀπόστρεψον, κατάπαυσον. αὐτὰρ ἐπεί ῥ'.] ἐπειδὴ δέ. οὐλοχύτας.] νεῶ τὰ λαναὰ αὐήρυσαν.] ἐς τὸπίσω αὐτὴλασαν τὸν βραχίονα τοῦ θυομένου ἱδρόου. ὡς προσέχειν ἐς οὐρανὸν τοῖς θεοῖς, οἷς καὶ ἐδύοντο. ὡς καὶ αὐτὰ ἔντομα ἐν οὐρανῷ. πάλιν δὲ τοῖς ἔρωσιν ὡς κατοιχομένοις ἔντομα ἔδυον ἀποβλίποντα κάτω ἐς γᾶν. ἔσπερον.] ἔβεσπερον. μηρούς.] τὰ μηρίτια ὀστᾶ. ἔβη τ' αμον.] ἔβησαν, ἔβησεψαν. κατά τε κνίσην ἐκάλυψαν.] καὶ ἐκάλυψαν τὰ μηρία τῷ λίπει. δίπλυχα ποιήσαντες.] διπλώσαντες τὸν κνίσαν. νεῶ δ' λέγει τὸν ἐπίπλουν. ἐπ' αὐτῶν ᾗ ὠμοθέτησαν.] ἀπ' αὐτῶν ᾗ ὠμῶν τῶν ἱρῶν παρεδάσαν. κᾶε δ'.] ἔκαιε δέ. ἔπι σχίζης.] αἰτὶ τοῦ ἐπὶ σχιζῶν. αἴθοπα.] μέλανα, ἢ θερμόν. λάβεν.] ἐπέσπενδε. νέοι.] νεανίσκοι. ἔχον.] κατεῖχον, ἐπράτευν. πεμπώβολα.] πέντε ὀβολοὺς ἔχοντα ἐν μιᾶς λαβῆς κρατουμένης φιαλοειδῶς. κατὰ μῆρ' ἑκάν.] κατὰ κάη τὰ μηρία ἐν τοῖς καύοις ὀστᾶ. σπλάγνα.] ἤπατα. ἐπάσαντο.] ἐγεύσαντο. μίσυλλον.] ἐς μικρὰ διέκειραν.

Ἐκ δ' ὔνας ἔβαλον, ἠδὲ πρυμνήσι' ἔδησαν.
Ἐκ δὲ καὶ αὐτοὶ βαῖνον ἐπ' ῥηγμῖνι θαλάσσης,
Ἐκ δ' ἑκατόμβην βῆσαν ἑκηβόλῳ Ἀπόλλωνι,
Ἐκ δὲ Χρυσηΐς νηὸς βὰν ποντοπόροιο.
Τὴν μὲν, ἔπειτ' ἀπὸ βωμὸν ἄγων πολύμητις Ὀδυσσεὺς,
Πατρὶ φίλῳ ἐν χερσὶ τίθει, καί μιν προσέειπεν,
Ὦ Χρύσα, πρόμ' ἔπεμψεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων
Παῖδά τε Οἱ ἀγέμεν, φοίβῳ θ' ἱερὴν ἑκατόμβην
Ῥέξαι, τῷ κε Δαναοῦ, ὄφρ' ἱλασσόμεθ' ἄνακτα,
Ὃς νῦν Ἀργείοισι πολύσονα κήδε' ἐφῆκεν.
Ὣς εἰπὼν ἐν χερσὶ τίθει. ὃν δ' ἐδέξατο χαίρων,
Παῖδα φίλην. τοὶ δ' ὦκα θεῷ ἕλεσι τὴν ἑκατόμβην,
Ἑξείης ἕστησαν ἐυδμήτην πολὺ βωμόν.
Χέρνιψαντο δ' ἔπειτα, καὶ ὀλοχύτας ἀνέλοντο.
Τοῖσιν δὲ Χρύσης μεγάλ' ὄυχετο χεῖρας ἀνασχών.
Κλῦθί μευ ἀργυρότοξ', ὃς Χρύσην ἀμφιβέβηκας,
Κίλλαν τε ζαθέην, Τενέδοιό τε ἶφι ἀνάσσεις.
Ἦλθε μὲν πρὸτ' ἐμεῦ κατὰ μὺθον ἐκλυες οὐδέ μοι ἔσσο.
Τίμησας μὲν ἐμὲ, μέγα δ' ἴφαο λαὸν Ἀχαιῶν.
Ἦδ' ἔτι καὶ νῦν μοι τόδε τεῦξον κρήηνον ἐέλδωρ.
Ἦδη νῦν Δαναοῖσιν ἀεικέα λοιγὸν ἄμυσον.
Ὣς ἔφατ' ὄυχόμενος, τοῦ δ' ἔκλυε Φοῖβος Ἀπόλλων.
Αὐτὰρ ἐπεί ῥ' εὔξαντο, καὶ ὀλοχύτας πρόβαλοντο,
Ἀνέρυσαν μὲν πρῶτα, καὶ ἔσφαξαν, καὶ ἔλσιραν,
Μηρούς τ' ἐξέταμον, κατά τε κνίσῃ ἐκάλυψαν,
Δίπλυχα ποιήσαντες, ἐπ' αὐτῶν δ' ὠμοθέτησαν,
Καῖε δ' ἀδὴ σχίζης ὑγρῇσιν, ἀδὴ δ' ἄρα πᾶσι οἶνον.
Λείβε. νέοι δὲ πὺ αὐτὴν ἔχον πεμπώβολα χερσίν.
Αὐτὰρ ἐπεὶ κῆ μῦρί' ἐκάη, καὶ σπλάγχν' ἐπάσαντο.
Μίσυλλόν τ' ἄρατ' ἄλλα, καὶ ἀμφ' ὀβελοῖσιν ἔπειραν.
Ὤπτησάν τε πολιφραδέως, ἐρύσαντό τε πάντα.
Αὐτὰρ ἐπεὶ πάύσαντο πόνου, τετύκοντό τε δαῖτα
Δαίνυντ', οὐδέ τι θυμὸς ἐδεύετο δαιτὸς ἐΐσης.
Αὐτὰρ ἐπεὶ πόσιος, καὶ ἐδητύος ἐξ ὄρον ἧντο
Κοῦροι μὲν, κρητῆρας ἐπεστέψαντο ποτοῖο.
Νώμησαν δ' ἄρα πᾶσιν, ἐπηρξάμενοι δεπάεσσιν,
Οἱ δὲ, παννημέριοι μολπῇ θεὸν ἱλάσκοντο,
Καλὸν ἀείδοντες παιήονα κοῦροι Ἀχαιῶν.
Μέλποντες ἑκάεργον, ὁ δὲ φρένα τέρπετ' ἀκούων.
Ἦμος δ' ἠέλιος κατέδυ, καὶ ἐπὶ κνέφας ἦλθε,
Δὴ τότε κοιμήσαντο παρὰ πρυμνήσια νηός.
Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος ἠώς,
Καὶ τότ' ἔπειτ' ἀνάγοντο μετὰ στρατὸν εὐρὺν Ἀχαιῶν.
Τοῖσιν δ' ἴκμενον οὖρον ἵει ἑκάεργος Ἀπόλλων.
Οἱ δ' ἱστὸν στήσαντ' ἀνά θ' ἱστία λευκὰ πέτασαν.
Ἐν δ' ἄνεμος πρῆσεν μέσον ἱστίον. ἀμφὶ δὲ κῦμα
Στείρῃ πρηφύρεον μεγάλ' ἴαχε νηὸς ἰούσης.
Ἦ δ' ἔθεεν κατὰ κῦμα, διὰ πρήσσουσα κέλευθα.
Αὐτὰρ ἐπεὶ ἱκόντο κατὰ στρατὸν εὐρὺν Ἀχαιῶν,
Νῆα μὲν οἵγε μέλαιναν ἐπ' ἠπείροιο βρύσαντες.
Ὑψοῦ ἀδὴ ψαμάθοις. ὑπὸ δ' ἔρματα μακρὰ τάνυσαν.
Αὐτοὶ δ' ἐσκίδναντο κατὰ κλισίας τε νέας τε.
Αὐτὰρ ὁ, μήνιε νηυσὶ παρήμενος ὠκυπόροισι,
Διογενὴς Πηλέος υἱὸς πόδας ὠκὺς Ἀχιλλεύς.
Οὔτ' ποτ' εἰς ἀγορὴν πωλέσκετο κυδιάνειραν,
Οὔτέ ποτ' ἐς πόλεμον, ἀλλὰ φθινύθεσκε φίλον κῆρ
Αὖθι μένων.

ὑπ' ἀρτ' ἄλλα.] ἡγοῦ τὰ ἄλλα. ἀμφ' ὀβελοῖσιν ἔπειραν.] ἡγοῦ τοῖς ὀβελίσκοις περιέπειραν. περιφραδέως.] πανύ ἐμπέρως, ἡγοῦ ἐντέχνως. ὄρυσαντο.] ἐς τὸπίσω ἔλκυσαν ἢ πυρὸς πόνου.] ἢ περὶ τὴν σωγχίαν ἀσχολίας. τετύκοντο.] κατεσκεύασαν, ἡτοίμασαν. δαῖτα.] σύνεχνιν. δαίνυντο.] σύνεχοῦντο. ἐδεύετο.] ἐνδεύετο. ἐδητύος.] ἐσθίοντος. ἐΐσης.] ἴσης. πᾶσιν ὁμοίως. ἢ ἰσομοίρου ἡγοῦ μερίδος. πόσι⟨ος⟩.] ποτ. ἐδητύος.] σύνεχίας, βρώσεως. ἐξ ὄρον ἧντο.] ἐξέβαλον τὸν ἢ βροφῆς ὄρον τὸ ἔσχατον ἐκορέσθησαν. ὄρον δὲ τὸν ὄρυκτα Αἰολικῶς λέγει. κοῦροι.] οἱ νέοι. κρητῆρας.] τὰς κρατῆρας. ἐπεστέψαντο.] ἔχει δὲ σημαίνειν ἐπλήρωσαν. ὅ ἐστι μέχει τίλευς. ποτοῖο.] ποτ. νώμησαν.] διεμέρισαν, διέλαυνον. ἐπηρξάμενοι.] ἤτοι ἢ πίνειν ἀρχὴν ποιησάντες, ἢ ἀπαρξάμενοι, ἡγοῦ σπείσαντες τοῖς θεοῖς. ἐπαίειν.] ἐπαίδειν, ἐπᾴδειν. παννημέριοι.] διὰ ὅλης ἡμέρας. μολπῇ.] ὕμνῳ, ᾠδῇ. θεὸν.] τὸν Απόλλωνα. ἱλάσκοντο.] ἐξιλεοῦντο. καλὸν ἀείδοντες.] ἤτοι καλὸν ἄλοντες.

ἢ καλῶς τὸν παιήονα.] παιεὼ δέ ἐστιν ὕμνος ἐς Απόλλωνα ὅτι ἀφίσει λοιμοῦ ἀδόμενος. παιήονα.] παιεὼ ὡλῆς ἄδοις. κοῦροι.] νέοι. μέλποντες.] ὑμνοῦντες. ἀπὸ δὲ τοῦ ἡμᾶς τὸν ποιητὴν τὸ ὁ ᾗ φρένα τέρπετ' ἀκούων, διαλασκόμενα. ὅτε πλέον τῶν θυσιῶν τέρπονται οἱ θεοὶ τοῖς οἰκείοις ἑκάστου ὕμνοις. ἑκάεργον.] ἢ Απόλλωνα, ἐπιθετικῶς. ἦμος.] ἡνίκα, ὅτε. ἠέλιος.] ὁ ἥλιος. καὶ ὦδε κνέφας ἦλθε.] καὶ τὸ σκότος ἐγένετο. ὃ ἐστι νύξ. δὴ τότε.] τότε δή. κοιμήσαντο.] ἐκοιμήθησαν. παρὰ πρυμνήσια.] παρὰ τὰ ἀπόγεια σχοινία. ἠριγένεια.] ἤτοι ἡ τὴν ἕῳθεν γεννῶσα ἡμέρα, ἢ ἀπὸ ἢ ἕῳθεν γεννωμένη. φάνη.] ἐφάνη. ῥοδοδάκτυλος.] ῥοδόχρους, λιανγής. πυῤῥότης γάρ ἐστιν ἡ ἠὼ ἕῳθεν γίγνεται ἐν τῇ ἀνατολῇ. ἀπὸ δὲ ἢ σχήματος ἢ καὶ χερὸς δακτύλων, παρίσησι τὸ τῶν ἀκτίνων σχῆμα. ἠὼς.] ἡμέρα. ἀείραντο.] ἀνήχθησαν, ἐπέπλευσαν. μετὰ στρατὸν εὐρὺν Ἀχαιῶν.] ἐπὶ τὸ πλῆθος τῶν Ελλήνων. ἴκμενον.] ἤτοι πορευτικὸν, παρὰ τὸ ἰκνεῖσθαι. ἢ ὑγρὸν, ἀπὸ δὲ ἰκμάδος. καὶ γὰρ ἐν ἄλλοις φησίν. αὔκμων μὲν ὑγρὸν αὔεντον. ἵει.] ἐφίει, ἐπέπεμπεν. ἐσσο.] τὸ καταίτιον. ἰσία ᾗ πλινθευτικῶς τὰ ὀθόνια. σύσαν.] ἔστησαν. αὐαὶ δ' ἱστία λευκὰ πέτασαν.] ἀπελπύσαντες ᾗ καὶ τὰ δὲ νεὼς ὀθόνια ἤπλωσαν. πρήσσουσα.] ἐνέπρησεν, ἐφύσησε. μέσον ἱστίον.] μέσην τὴν ὀθόνην. ἀμφὶ δὲ κῦμα.] πρὸς ᾗ τὸ κῦμα. στ ρ.] τῇ πρόπρῳ δὲ νεὼς. ἐπεὶ βριαίτερα τῶν σανίδων ὑπάρχει. ὅτι γὰρ τῷ ξύλῳ τούτῳ ὥσπερ ὠδὶ δεμελίῳ τινὶ ἐποικοδομεῖται τὰ ἄλλα ξύλα δὲ νεώς. πορφύρεον.μέλαν. μεγάλ' ἴαχε.] μεγάλως ἤχει. νηὸς ἰούσης.] δὲ νεὼς πορευομένης. ὅ ἐστι πλεούσης. ἔθεεν.] ἔπλει, νεῦ δὲ ἔθρεχε. διὰ κατὰ κῦμα. διὰ κατὰ τὸν θαλασσαν. διαπρήσσουσα.] διαπερῶσα, διέρχομένη. κέλευθα.] πλοιεῖ. ἄλλοτε δὲ τὸν διὰ δὲ γῆς ὁδόν. αὐτὰρ ἐπεί.] ἐπειδὴ δέ. ἵκοντο.] παρεγένοντο. στρατὸν.] πλατύν, μέγαν. οἱ.] οὗτοι. ἐπ' ἠπείροιο.] ὠδὶ δὲ γῆς. ἐρύσαν.] ἀνήλκυσεν. ὑψοῦ.] ἐφ' ὕψος. ψαμάθοις.] ὠδὶ δὲ ψάμμου. ὑπό δέ.] ὑποκάτω δέ. ἔρματα.] ὀρεύματα, στηρίγματα, δασοῦνται τὰ γ.φ. βραχέα πρὸ ἢ ρ. ἐπαγομένου ἢ μ. διασώζεται πλὴν ἢ χ μικρόν. μακρὰ.] μεγάλα. τάνυσαν.] κατὰ μῆκος ὑπέθηκαν, ἐσκίδναντο.] ἐσκεδαύντο, ἐσκορπίζοντο. κλισίας.] σκηνάς. νέας.] τὰς ναῦς. αὐτὰρ ὁ.] οὗτος δέ. μήνιε.] ὠργίζετο. παρήμενος.] παρεκαθήμενος. ὠκυπόροισι.] ταχέσιν. διογενὴς.] συγενέστατος. πωλέσκετο.] μὲν ἐσφέρετο, παρεγένετο. κυδιάνειραν.] ἐνδόξους ἄνδρας ἔχουσαν. ἢ ἐνδόξους τοὺς ἄνδρας ποιοῦσαν. φθινύθεσκε.] διέφθειρεν. αὖθι.] αὐτόθι, ὠδὶ τόπου ποθέσκεν.]

Αὖθι μιν̓ωμ̓. ποθ̓εσκε δ̓ ἀϋτήν τε, πτ̓ολεμόν τε.
Ἀλλ̓ ὅτε δὴ ῥ̓ ἐκ τοῖο δ̓υωδεκάτη γένετ̓ ἠὼς.
Καὶ τότε δὴ πρὸς Ὄλυμπον ἴσαν θεοὶ αἰὲν ἐόντες,
Πάντες ἅμα. Ζεὺς δ̓ ἦρχε. Θέτις δ̓ ἀλίητο ἐφετμέων
Γαιήοις ἐδ̓, ἀλλ̓ ἦγ̓ ἀνεδύσατο κῦμα θαλάσσης.
Ἠρῴη δ̓ ἀνέβη μέγαν οὐρανόν, οὔλυμπόν τε.
Εὗρεν δ̓ ἠϋρύοπα Κρονίδην, ἄτερ ἥμενον ἄλλων,
Ἀκροτάτῃ κορυφῇ πολυδειράδος οὐλύμποιο.
Καὶ ῥα πάροιθ̓ αὐτοῖο καθέζετο, καὶ λάβε γούνων
Σκαιῇ. Δεξιτερῇ δ̓ ἄῤ ὑπ̓ ἀνθερεῶνος ἐλοῦσα,
Λισσομένη προσέειπε Δία Κρονίωνα ἄνακτα.
Ζεῦ πάτερ, εἴποτε δή σε μετ̓ ἀθανάτοισιν ὄνησα
Ἢ ἔπει, ἢ ἔργῳ, τόδέ μοι κρήηνον ἐέλδωρ.
Τίμησόν μοι υἱόν, ὃς ὠκυμορώτατος ἄλλων
Ἔπλετ̓. ἀτάρ μιν νῦν γε ἄναξ ἀνδρῶν Ἀγαμέμνων
Ἠτίμησεν. ἑλὼν γὰρ ἔχει γέρας αὐτὸς ἀπούρας.
Ἀλλὰ σύ πέρ μιν τίσον Ὀλύμπιε μητίετα Ζεῦ.
Τόφρα δ̓ ὦδι Τρῶεσι τίθει κράτος, ὄφῤ αὖ Ἀχαιοὶ,
Υἱὸν ἐμὸν τίσωσιν, ὀφέλλωσίν τε τιμῇ.
Ὣς φάτο. τὴν δ̓ οὔτι προσέφη νεφεληγερέτα Ζεύς.
Ἀλλ̓ ἀκέων δὴν ἧστο. Θέτις δ̓ ὡς ἅψατο γούνων,
Ὡς ἔχετ̓ ἐμπεφυῖα, καὶ ἤρετο δεύτερον αὖθις.
Νημερτὲς μὲν δή μοι τόδ̓ ὑπόσχες, καὶ κατάνευσον,
Ἢ ἀπόειπ̓, ἐπεὶ οὔτι τεὸν δέος, ὄφῤ εὖ εἰδῶ,
Ὅσσον ἐγὼ μετὰ πᾶσιν ἀπημοτάτη θεός εἰμι.
Τὴν δὴ μεγ̓ ὀχθήσας, προσέφη νεφεληγερέτα Ζεύς.
Ἦ δή λοίγια ἔργ̓, ὅτ̓ ἐμὲ ἔχθοδοπῆσαι ἐφήσεις
Ἥρῃ, ὅταν μ̓ ἐρεθύσσῃσιν ὀνειδείοισιν ἐπέεσσιν.

Ἦ δὲ

Ἦ δὲ, καὶ οὔτως μ̓ αἰεὶ ὑφ̓ ἀθανάτοισι θεοῖσι
Νεικεῖ, καὶ τέ με φησὶ μάχῃ Τρώεσσιν ἀρήγειν.
Ἀλλά σὺ μὲν νῦν αὖθις ἀπόσχεο, μή σε νόῃσι
Ἥρη. ἐμοὶ δ̓ ἔ κε ταῦτα μελήσεται ὄφρα τελέσσω.
Εἰδῇ δ̓ εἰδ̓ ἄγε τοι κεφαλῇ κατανεύσομαι, ὄφρα πεποίθῃς.
Τῶ τοι γὰρ ὃ ἐμέθεν γε μετ̓ ἀθανάτοισι μέγιστον
Τέκμωρ, οὐδ̓ ἀπατηλόν, οὐδ̓ ἀπρήκτον ὀπυίω,
Οὐδ̓ ἀτελεύτητόν γ̓ ὅ, τι κεν κεφαλῇ κατανεύσω.
Ἦ, καὶ νευσέπεσσιν ἐπ̓ ὀφρύσι νεῦσε Κρονίων.
Ἀμβρόσιαι δ̓ ἄρα χαῖται ἐπερρώσαντο ἄνακτος,
Κρατὸς ἀπ̓ ἀθανάτοιο, μέγαν δ̓ ἐλέλιξεν Ὄλυμπον.
Τὼ μὲν ὧς βουλεύσαντε, διέτμαγον. ἡ μὲν, ἔπειτα
Εἰς ἅλα δῖαν ἆλτο βαθεῖαν ἀπ̓ αἰγλήεντος Ὀλύμπου.
Ζεὺς δὲ εἰς ἑὸν πρὸς δῶμα. θεοὶ δ̓ ἅμα πάντες ἀνέσαν
Ἐξ ἑδέων, σφὸν πατρὸς ἐναντίον. οὐδ̓ ἐ τις ἔτλη
Μεῖναι ἐπορνύμενον, ἀλλ̓ ἀντίοι ἔσαν ἅπαντες.
Ὣς ὁ μὲν, ὑψόθε καθέζετ̓ ἐπὶ θρόνου, οὐδέ μιν Ἥρη
Ἠγνοίησεν, ἰδοῦσ̓ ὅτι οἱ συμφράσσατο βουλὰς
Ἀργυρόπεζα Θέτις, θυγάτηρ ἁλίοιο γέροντος.
Αὐτίκα κερτομίοισι Δία Κρονίωνα προσηύδα.
Τίς δ̓ αὖ τοι δολομῆτα θεῶν συμφράσσατο βουλάς;
Αἰεί τοι φίλον ὄξὺ ἐμοῦ ἄτερ νόσφιν ἐόντα,
Κρυπτάδια φρονέοντα διηνεκέως. δόλε τι πῴ μοι
Πρόφρων τέτληκας ἐπεῖν ἔπος, ὅ, τι νοήσεις.
Τήνδ̓ ἠμείβετ̓ ἔπειτα πατὴρ ἀνδρῶν τε, θεῶν τε.
Ἥρη, μὴ δὴ πάντας ἐμοὺς ὀΐεο μύθους
Εἰδήσειν. χαλεποί τοι ἔσονται ἀλόχῳ περ ἐούσῃ.
Ἀλλ̓ ὃν μὲν κ̓ ὠδύσσῃς ἀλλ̓ ἀκαχέμεν, ὄζος ἔπφτα
Οὔτε θεῶν πρότερος τόν γ̓ εἴσεται, οὔτ̓ ἀνθρώπων.
Ὃν δ̓ αὖ ἐγὼ ἀπάνευθε θεῶν ἐθέλοιμι νοήσαι,
Μή τι σὺ ταῦτα ἕκαστα διείρεο, μηδ̓ μετάλλα.
Τόνδ̓ ἠμείβετ̓ ἔπειτα βοῶπις πότνια Ἥρη.
Αἰνότατε Κρονίδη, ποῖον τὸν μῦθον ἔειπες;
Καὶ λίην σε πάρος γ̓ οὔτ̓ ἔρομαι, οὔτε μεταλλῶ.

Ἀλλὰ

Ἀλλ̓ ἀκέων ἅλις ἧσο. Θέτις δ̓ ὡς ἥψατο γούνων,
Ὡς ἔχετ̓ ἐμπεφυῖα, καὶ ἤρετο δεύτερον αὖθις.
Νημερτὲς μὲν δή μοι τόδ̓ ὑπόσχες, καὶ κατάνευσον,
Ἢ ἀπόειπ̓, ἐπεὶ οὔτι τεὸν δέος, ὄφῤ εὖ εἰδῶ,
Ὅσσον ἐγὼ μετὰ πᾶσιν ἀπημοτάτη θεός εἰμι.
Τὴν δὴ μεγ̓ ὀχθήσας, προσέφη νεφεληγερέτα Ζεύς.
Ἦ δή λοίγια ἔργ̓, ὅτ̓ ἐμὲ ἔχθοδοπῆσαι ἐφήσεις
Ἥρῃ, ὅταν μ̓ ἐρεθύσσῃσιν ὀνειδείοισιν ἐπέεσσιν.
Ἦ δὲ

ἥρωας. νεικῇ.] ἐκακολογῇ, λοιδορῇ. ἠδὲ τέ μι φησί.] ἠδὲ ἐμὲ λέγῃ. αὕτως.] ἀνάλως, ματαίως. αἰεί.] ἀλιαπαντές. ἀρήγειν.] βοηθεῖν. ἀπόσχεο.] ἀπαλλάσσου, ἀνάσχωρει. μή σε νόῃσι.] μή σε διάσηται. μελήσεται.] δἰ ἐπιμελείας γνώσεται. τελέσσω.] τελειώσω, πλυρώσω. ἦ δ̓ ἄγε τοι.] ἰδοὺ δή σοι. κατανεύσομαι.] ἐπινεύσω.
ὄφρα πεποίθῃς.] ὅπως ἀκριβῶς πιστεύσῃς μοι. ὃ ἐμέθεν.] ὃ ἐμοῦ. τέκμωρ.] τέλος, τεκμήριον. ἀπρήκτον.] ἀπαράγρετον. παλισσυλλεκτον. εἰς τὸ πίσω λικπτόν. ὃ ἔ, ψευδές, ἢ μεταμελητόν.

ἀλλ̓ ἀπατηλόν.] δολερόν. ἀτελεύτητον.] οὐδὲ ἀτελεύτητον, ἀπλήρωτον. ὅτι κεν.] ὅπερ αὖ.
Η.] ἔφη, ἄπτ. δηλοῖ ὃ ἠδὲ τὸ ὄντως ὡς τὸ, ἢ μυρί̓ Ἀχαιοῖς. ἠδὲ τὸ ἀληθῶς. ὡς ὄφῤ ἔ ἢ ἦ δὴ λοίγια ὄβρια. τὸ γὰρ ὄντως ὄφῤ ἔ ἀληθῶς λαμβάνεται. κυανέηισι.] κυανείαις, μελαίναις. ἐπ̓ ὀφρύσι.] ταῖς ὀφρύσιν. νεύσεμ.] ἐπένευσεν. ἀμβρόσιαι.] θεῖαι. χαῖται.] τρίχες. ἐπερρώσαντο.] ἐπεσείσθησαν. κρατὸς ἀπ̓ ἀθανάτοιο.] ἀπὸ δὴ ἀθανάτης κεφαλῆς. ἐλέλιξεν.] ἐκίνησεν, ἐσείσει. τώ γ̓ ὣς.] ὅτοι μ̓ δὴ ὅτως. βουλεύσαντε.] βουλευσάμενοι. δινηῶς. λίτμαγον.] διεχωρίσθησαν. εἰς ἅλα ἅλτο.] εἰς τὴν θάλασσαν καθήλατο. ἅτε δὴ ὅσα ἐναλίῳ ἁλίμωμ. αἰγλήεντος.] λαμπροῦ. παρὰ τὴν αἴγλην. ἑόν.] ὡρὸς τὸ ἴδιον. δῶμα.] οἶκημα. ἀπὸ τῶν καθεδρῶν. σφὸν.] ἰδίου. ἐναντίον.] ἀντενανταίας. ἔτλη.] ὑπέμεινεν. ἐπορνύμενον.] ὀρχούμενον, ἡδόμενον. ἀντίοι.] ἀντενανταίας. ὡς ὁ μὲν.] ὅτως μὲν δὴ οὕτω. θρόνου.] καθέδρας. ἠγνοίησεν.] ἠγνόησεν. ὅτι οἱ.] ὅτι αὐτῷ. συμφράσατο.] συνεβουλεύσατο. ἀργυρόπεζα.] λαμπρόπους, ἀπὸ μέρους ὅλη καλή. πέζα γὰρ ὁ ποῦς. ἁλίοιο γέροντος.] ἢ θαλασσίης Νηρέως. αὐτίκα.] παραχρῆμα εὐθέως. πρτομίοισιν.] ὀρεθιστικοῖς. χλευασηοῖς. νῶϊ ἦ, τοῖς τὸ ἰέναι, ὅ ἐστι τῶν ψυχὴν τέμνουσι καὶ λυποῦσι λόγοις.
τίς δ̓ αὖτοι.] τίς δή σοι. δολομῆτα.] δόλια βουλεύμενε. αἰεί τοι φίλον.] διαπαντὸς σοι προσφιλές. ἐμοῦ.] ἐμοῦ. νόσφι.] χωρίς. ἐόντα.] ὄντα. ὑπάρχοντα. πρυπτάδια.] πρυφαῖα. λαθριδια. φρονέοντα.] διανοούμενον. φρονεῦντα. διηνεκέως.] διαπραγμένως.
δόλε τι πῴ μοι.] οὐδέποτέ μοι. προφρων.] προθύμως. τέτληκας.] ὑπομεμένηκας, κεκαρτέρηκας. ὅτι νοήσεις.] βοῶπις.] λύσφθαλμος. καλή. πότνια.] σεβασμία, ἐνδιμος. αἰνότατε.] δεινοτάτη, ἐπίφοβε. μῦθον.] λόγον. ἔρομαι.] ἔρωτῶ. μεταλλῶ.] ἐπιζητῶ.
σύνηλος.]

εὔκηλος.] ἥσυχος. ἡ εὐ. πρὸ ἀφώνου ψιλοῦται. πλὴν τοῦ εὔδω. φράζεαι.] διανοῇ, ἐβουλεύου. ἅσσα.] ἅτινα. ἐθέλῃσθα.] ἤθελες. αἰνῶς.] δεινῶς, χαλεπῶς. δέδοικα.] δέδοικα, εὐλαβοῦμαι. ἠερίη.] ὀρθρινή. τῇ σ' ὀΐω.] ταύτῃ σε ὑπονοῶ. κατανεῦσαι.] ὑποσχέσθαι. ἀντὶ τοῦ κατανενευκέναι καὶ ὑποσχέσθαι. ἐτήτυμον.] ἀληθές. ὀλέσῃς.] ἀπολέσῃς. πολέας.] πολλούς. δαιμονίη.] νῦν, κακὴ κεφαλή. ὅτε δὲ, εὐδαίμων, μακαρία. αἰεὶ μὲν ὀΐεαι.] διαπαντὸς μέν με ὑπονοεῖς ἅπαντα ὀργῇ πράσσουσα καὶ οὐ λογιζομένη. λήθω.] λανθάνω. πρῆξαι.] πρᾶξαι δὲ οὐδὲν δύνασαι. ἔμπης.] ὅμως. οὔτι δυνήσεαι.] οὐδὲν δυνηθήσῃ. ἀλλ' ἀπὸ θυμοῦ μᾶλλον ἐμοὶ ἔσεαι.] ἀλλ' ἀποθύμιός μοι πλέον καὶ ἐχθρὰ γενήσῃ. ῥίγιον.] φρικτὸν, φοβερόν. εἰ δ' οὕτω τοῦτ' ἐστί.] καὶ τὰ ἑξῆς. εἰ δὲ τοῦθ' οὕτως ἔχον ἐστὶν, ἔοικε κἀμοὶ προφιλὲς εἶναι. λέγει δὲ προϋπισχῆσθαι Θέτιδι τὴν Ἀχιλλέως τιμήν. μέλλει.] ἔοικεν. ἀκέουσα.] ἡσυχάζουσα, σιωπῶσα. κάθησο.] καθέζου. ἐπιπείθεο.] πείθου. οὐ χραίσμωσιν.] οὐκ ἐπιβοηθήσωσιν. εἰσ' ἐν Ὀλύμπῳ.] ὑπάρχουσι. τὸ πλῆρες εἰσίν. ἆσσον ἰόντε.] ἐγγὺς παραγενόμενοι. ὅτε κέν τοι.] ὅτε ἄν σοι. ἀάπτους.] ἀπροσίτους, ἀπροσπελάστους, διὰ μέγεθος. ἀπτοήτους. πρὸς δὲ καὶ ἀέπτους. ἵν' ᾖ ἀρρήτους. ἢ ἃς οὐ δύναταί τις ἕπεσθαι. ἐφείω.] ἐπιβάλω, ἐπενέγκω. καί ῥα.] καὶ δή. καθῆστο.] ἐκαθέζετο. βοῶπις.] εὐόφθαλμος, καλή. ἐπιγνάμψασα φίλον κῆρ.] ἐπικάμψασα τὴν αὑτῆς ψυχὴν, ὅ ἐστι πραΰνασα. ὤχθησαν.] ἀνεστέναξαν. ἐδεινοπάθησαν διὰ τὴν Ἥραν. ἀνὰ δῶμα.] κατὰ τὴν οἰκίαν. τὸ ω μέγα διὰ τὸ μέτρον. οὐρανίωνες.] οἱ ἐν οὐρανῷ κατοικοῦντες. τοῖσι δ' Ἥφαιστος.] ἐν τούτοις δὲ ὁ Ἥφαιστος. κλυτοτέχνης.] ὁ περὶ τὴν χαλκευτικὴν ἔνδοξος. ἦρχ' ἀγορεύειν.] ἤρξατο λέγειν. ἐπίηρα.] τὴν μετ' ἐπικουρίας χάριν. λευκωλένῳ.] λευκοβραχίονι, εὐπρεπεστάτῃ. ἦ δή.] ἀληθῶς δὴ, ὄντως δή. λοίγια.] ὀλέθρια. οὐδ' ἔτ' ἀνεκτά.] οὐδὲ ἔτι ἀνασχετὰ καὶ ὑπομονῆς ἄξια. ἔσσεται.] γενήσεται. εἰ δὴ σφώ.] ἐὰν δὴ ὑμεῖς οἱ θεοί. ἕνεκα θνητῶν.] χάριν τῶν φθαρτῶν ἀνθρώπων. ἐριδαίνετον.] ἐρίζετε, φιλονεικεῖτε. τοῖς θεοῖς θόρυβον ἐμποιεῖτε. ὧδε.] οὕτως. κολῳόν.] θόρυβον. ἡ μεταφορὰ ἀπὸ τοῦ κολοιοῦ. ὅ ἐστι θορυβῶδες καὶ κραυγαστικὸν ὄρνεον. κολῳὸς παρὰ τὸ κολοιός. ὁ δὲ Φιλόξενος παρὰ τὸ κλῶ τὸ κλάζω κατὰ παραγωγήν. οὐδὲ προσγράφει τὸ ι. ἐλαύνετον.] διεγείρετε, ἐλαύνετε. δαιτός.] εὐωχίας. ἐσθλῆς.] ἀγαθῆς. ἦδος.] ἡδονὴ, ὠφέλεια. ἐπεὶ τὰ χερείονα νικᾷ.] ἐπειδὴ ὅλα τὰ χείρονα τῶν καλῶν πραγμάτων ἐπικρατέστερά ἐστι. παράφημι.] παραινῶ, συμβουλεύω. νοεούσῃ.] ἐπισταμένῃ, φρονούσῃ. ὄφρα μὴ αὖτε.] ὅπως μὴ πάλιν. νεικείῃσι.] ἐὰν κακολογῇ, ὀνειδίζῃ. σὺν δ' ἡμῖν δαῖτα ταράξῃ.] συνταράξῃ ἡμῶν τὴν εὐωχίαν. εἴπερ γάρ κ' ἐθέλῃσιν.] ἐὰν γὰρ ὅλως βουληθῇ. ἀστεροπητής.] ἀστραπτικὸς, ἀστραπὰς ποιῶν. ἐξ ἑδέων.] ἐκ τῶν καθεδρῶν. στυφελίξαι.] ἀποκινῆσαι, ἀναστρέψαι. πολὺ φέρτερος.] κατὰ πολὺ κρείττων, ἰσχυρότερος. καθάπτεσθαι.] καταπραΰνειν, ἐπέχειν. μαλακοῖσιν.] μαλακευτικοῖς, πραέσι. αὐτίκα.] παραχρῆμα, εὐθέως. ἵλαος.] ἵλεως, εὐμενής. ἀναΐξας.] ἀνορμήσας, ἀναστάς. δέπας.] ἔκπωμα, ποτήριον. ἀμφικύπελλον.] ἀμφοτέρωθεν κοῖλον καὶ περιφερές. ἢ κύπελλον

Ἀλλὰ μάλ' εὔκηλος, τὰ φράζεαι, ἅσσ' ἐθέλῃσθα.
Νῦν δ' αἰνῶς δείδοικα κατὰ φρένα μή σε παρείπῃ
Ἀργυρόπεζα Θέτις, θυγάτηρ ἁλίοιο γέροντος.
Ἠερίη γὰρ σοί γε παρέζετο, καὶ λάβε γούνων.
Τῇ σ' ὀΐω κατανεῦσαι ἐτήτυμον, ὡς Ἀχιλῆα
Τιμήσῃς, ὀλέσῃς δὲ πολέας ἐπὶ νηυσὶν Ἀχαιῶν.
Τὴν δ' ἀπαμειβόμενος, προσέφη νεφεληγερέτα Ζεύς.
Δαιμονίη, αἰεὶ μὲν ὀΐεαι, οὐδέ σε λήθω.
Πρῆξαι δ' ἔμπης οὔτι δυνήσεαι, ἀλλ' ἀπὸ θυμοῦ
Μᾶλλον ἐμοὶ ἔσεαι. τὸ δέ τοι καὶ ῥίγιον ἔσται.
Εἰ δ' οὕτω τοῦτ' ἐστὶν, ἐμοὶ μέλλει φίλον εἶναι.
Ἀλλ' ἀκέουσα κάθησο, ἐμῷ δ' ἐπιπείθεο μύθῳ.
Μή νύ τοι οὐ χραίσμωσιν ὅσοι θεοί εἰσ' ἐν Ὀλύμπῳ
Ἆσσον ἰόνθ', ὅτε κέν τοι ἀάπτους χεῖρας ἐφείω.
Ὣς ἔφατ'. ἔδεισεν δὲ βοῶπις πότνια Ἥρη.
Καί ῥ' ἀκέουσα καθῆστο, ἐπιγνάμψασα φίλον κῆρ.
Ὤχθησαν δ' ἀνὰ δῶμα Διὸς θεοὶ οὐρανίωνες.
Τοῖσιν δ' Ἥφαιστος κλυτοτέχνης ἦρχ' ἀγορεύειν,
Μητρὶ φίλῃ ἐπίηρα φέρων λευκωλένῳ Ἥρῃ.
Ἦ δὴ λοίγια ἔργα τάδ' ἔσσεται, οὐδ' ἔτ' ἀνεκτά,
Εἰ δὴ σφὼ ἕνεκα θνητῶν ἐριδαίνετον ὧδε,
Ἐν δὲ θεοῖσι κολῳὸν ἐλαύνετον, οὐδέ τι δαιτὸς
Ἐσθλῆς ἔσσεται ἦδος, ἐπεὶ τὰ χερείονα νικᾷ.
Μητρὶ δ' ἐγὼ παράφημι καὶ αὐτῇ περ νοεούσῃ,
Πατρὶ φίλῳ ἐπίηρα φέρειν Διΐ, ὄφρα μὴ αὖτε
Νεικείῃσι πατὴρ, σὺν δ' ἡμῖν δαῖτα ταράξῃ.
Εἴπερ γάρ κ' ἐθέλῃσιν Ὀλύμπιος ἀστεροπητὴς
Ἐξ ἑδέων στυφελίξαι, ὁ γὰρ πολὺ φέρτατός ἐστιν.
Ἀλλὰ σὺ τόν γ' ἐπέεσσι καθάπτεσθαι μαλακοῖσι.
Αὐτίκ' ἔπειθ' ἵλαος Ὀλύμπιος ἔσσεται ἡμῖν.
Ὣς ἄρ' ἔφη, καὶ ἀναΐξας, δέπας ἀμφικύπελλον

Μητρὶ

ἔνθα

ἔνθα ὁ κηλὸς χεῖται. τίθει.] ἐδίδου. καί μιν.] καὶ αὐτήν. τέτλαθι.] καρτέρησον, ὑπόμεινον. ἀνάσχεο.] ἀνάσχου, ὑπόμεινον. κηδομένη περ.] καίπερ λυπουμένη. ἐοῦσαν.] οὖσαν. ἴδωμαι.] θεάσομαι. θεινομένην.] πληττομένην, τυπτομένην. τότε δ' οὔτι.] τότε δὲ οὐδέν. ἀχνύμενός περ.] καίπερ λυπούμενος. χραισμεῖν.] βοηθεῖν. ἀργαλέος γάρ.] χαλεπὸς γάρ ἐστιν ὁ Ζεὺς τῷ βουλομένῳ αὐτῷ ἀντιφέρεσθαι. ὅ ἐστιν ἐναντιοῦσθαι καὶ φιλονεικεῖν. ἤδη γάρ με καὶ ἄλλοτ' ἀλεξέμεναι μεμαῶτα.] εἰς ἀπόδειξιν τῆς ἰσχύος τοῦ Διὸς λέγει. Ἡρακλῆς ἀνακομιζόμενος μετὰ τὴν γενομένην ὑπ' αὐτοῦ πόρθησιν τῆς Ἰλίου ἐπὶ τῇ τοῦ Λαομέδοντος ἀπάτῃ, παρ' ὅσον αὐτῷ ἀντὶ τῶν ἀθανάτων ἵππων, οὓς ὑπέσχετο, ἀντέδωκε θνητοὺς ἀπατήσας, κατ' ἐκεῖνο καιροῦ προσέσχε τῇ Κῷ τῆς Μεροπίδος χειμῶνι κατεχόμενος, κατὰ χόλον Ἥρας μισούσης τὸν ἥρωα, καὶ διὰ τοῦτο πρότερον κατακοιμησάσης τὸν Δία. οἱ δὲ ἀπὸ τῆς Κῶ θεασάμενοι αὐτὸν καὶ ὡς ἄγριον θῆρα φοβηθέντες, ἐξήλασαν ἀπὸ τῆς πόλεως. ἐφ' ᾧ ἀγανακτήσας ὁ Ἡρακλῆς, ἐξεπόρθησε τὴν Κῶ. αὖθις δὲ τῇ τῆς Ἥρας κατακοιμίσει ὁ Ζεὺς ὀργισθεὶς, ἐν δεσμοῖς κατέσχε τὴν Ἥραν. ἣν ἐπειρᾶτο τηνικαῦτα ὁ Ἥφαιστος λύειν, καὶ φωραθεὶς ἀπὸ τοῦ Ὀλύμπου ἐξερρίφη καὶ εἰς Λῆμνον περὶ τῆς Θρᾴκης νῆσον καταπεσὼν, χωλὸς ἐγένετο, ὥς φησιν ὁ Ποιητής. διὸ ἱερὰ τοῦ θεοῦ ἡ Λῆμνος. ἄλλοτε.] καὶ ἐν ἄλλῳ χρόνῳ. ἀλεξέμεναι.] ἐπιβοηθεῖν. μεμαῶτα.] προθυμούμενον. ῥῖψεν.] ἔρριψε. τεταγών.] ἐκτείνας. ἀπὸ βηλοῦ.] ἀπὸ τοῦ οὐρανοῦ. ἀπὸ γὰρ τοῦ οὐρανοῦ ἐρρίφη. γίγνεται δὲ ἀπὸ τοῦ βεβηκέναι τοὺς θεοὺς ἐπ' αὐτῷ, καὶ τοὺς ἀστέρας κἀκεῖ βαίνειν εἴρηται. τῷ δὲ τόνῳ καθάπερ οἱ Ἀριστάρχειοι, βηλὸν ὡς χωλὸν καὶ πηλὸν ἀποδιδόντες τὸν τῶν θεῶν βαθμόν. ἕτεροι δὲ βηλὸν εἶπον τὸν ἀνωτάτω πάγον, καὶ περιέχοντα τὸν πάντα ἀέρα. ἄλλοι τὴν περίοδον τοῦ αἰθέρος καὶ τῶν ἄστρων. κοινῶς δὲ σημαίνει ὁ βηλὸς τὸν οὐδὸν τῆς θύρας, ὃν καλοῦσι φλιάν. ὁ δὲ Ποιητὴς ὑποτίθεται τὸν οὐρανὸν πύλας ἔχοντα. εἴρηται δὲ βηλὸς ἀπὸ τοῦ βαίνεσθαι, ὡς καὶ ὁδὸς ἀπὸ τοῦ διοδεύεσθαι. θεσπεσίοιο.] θείου, θαυμαστοῦ. πᾶν δ' ἦμαρ.] δι' ὅλης δὲ τῆς ἡμέρας. φερόμην.] δι' ὅλης ἡμέρας ἐφερόμην. ἤτοι διὰ τοῦ οὐρανοῦ, ἢ διὰ τοῦ ἀέρος. ἅμα δ' ἠελίῳ καταδύντι.] ἅμα δὲ τῷ δῦναι τὸν ἥλιον. κάππεσον.] κατηνέχθην, κατέπεσον ἐν τῇ Λήμνῳ. ἡ δὲ Λῆμνος νῆσός ἐστι Θρᾴκης ἱερὰ Ἡφαίστου. ἔχουσα δύο πόλεις, Ἡφαιστιάδα καὶ Μύριναν. ὀλίγος δ' ἔτι θυμὸς ἐνῆεν.] ἐνῆν, ἀντὶ τοῦ ἐλειποψύχουν, βραχείας μοι τῆς ψυχῆς γινομένης. ἔνθα με.] τότε με. Σίντιες.] οἱ Λήμνιοι, ἀπὸ τοῦ σίνεσθαι καὶ βλάπτειν, ὄντες πειραταί. ἢ ὅτι δοκοῦσιν αὐτοὶ πρῶτοι ἐπινενοηκέναι τὰ πρὸς πόλεμον ὅπλα, ταῦτα γὰρ ὁμολογουμένως βλάπτει. ἄφαρ.] εὐθέως, ταχέως. κομίσαντο.] ἐπιμελείας ἠξίωσαν, καὶ ἀνέλοντο. μείδησεν.] ἐμειδίασεν, ἐγέλασε. κύπελλον.] ἔκπωμα, ποτήριον, παρὰ κοιλότητα. ἐνδέξια.] ἀντὶ τοῦ ἀπὸ τῶν δεξιῶν μερῶν ἀρξάμενος. οἰνοχόει.] ἀντὶ τοῦ ἐνέχει, τὸ νέκταρ ἐκίρνα. νέκταρ δέ ἐστι τὸ τῶν θεῶν πόμα. ἀπὸ κρητῆρος.] ἀπὸ τοῦ κρατῆρος. ἀφύσσων.] ἀφυόμενος, ἀπαντλῶν. ἄσβεστος.] ἀκατάπαυστος, πολύς. ἡ μεταφορὰ ἀπὸ τοῦ πυρός. ἐνῶρτο.] διηγείρετο. μακάρεσσι.] τοῖς μακαρισμοῦ ἀξίοις, ἀθανάτοις. διὰ δώματα.] διὰ τῶν οἴκων. ποιπνύοντα.] ἐνεργοῦντα, διακονοῦντα. πρόπαν ἦμαρ.] δι' ὅλης τῆς ἡμέρας. δαίνυντο.] εὐωχοῦντο. ἐς ἠέλιον καταδύντα.] ἕως ἡλίου δυσμῶν. φόρμιγγος.] κιθάρας. περικαλλέος.] πάνυ καλῆς, ἐνδόξου. ἔχεν.] εἶχε. τέσσαρες γὰρ τέχναι ἀνατίθενται τῷ Ἀπόλλωνι, μουσική, τοξική, ἰατρική, μαντική. Μουσάων θ'.] μουσῶν τε. ὁ δὲ λόγος, ὥσπερ τῆς εὐωχίας ἐνδεεῖς οὐκ ἦσαν οἱ θεοί. οὔτε τῆς τοῦ Ἀπόλλωνος μουσικῆς. ὁμοίως οὔτε τῆς τῶν μουσῶν ᾠδῆς. αἵ τινες καὶ αὐταὶ Ἀπόλλωνος κιθαρίζοντος ἐκ διαδοχῆς παραμέρος ᾖδον. ἄειδον.] αἵτινες ᾖδον. ἀμειβόμεναι.] ἐξαμοιβοῦς καὶ διαδοχῆς ᾄδουσαι. ὀπί.] φωνῇ. φάος ἠελίοιο.] περιφραστικῶς τὸ τοῦ ἡλίου φῶς. κακκείοντες.] κατακοιμηθησόμενοι. ἔβαν.] ἐπορεύθησαν. πρῶτος δὲ Ὅμηρος ἀφορμὴν ἔδωκε τοῖς ἀπὸ τῶν μαθημάτων ἁρμόδιον

Μητρὶ φίλῃ ἐν χερσὶ τίθει, καί μιν προσέειπε.
Τέτλαθι μῆτερ ἐμὴ, καὶ ἀνάσχεο κηδομένη περ,
Μή σε φίλην περ ἐοῦσαν, ἐν ὀφθαλμοῖσιν ἴδωμαι
Θεινομένην, τότε δ' οὔτι δυνήσομαι ἀχνύμενός περ,
Χραισμεῖν. ἀργαλέος γὰρ Ὀλύμπιος ἀντιφέρεσθαι.
Ἤδη γάρ με καὶ ἄλλοτ' ἀλεξέμεναι μεμαῶτα,
Ῥῖψε ποδὸς τεταγὼν ἀπὸ βηλοῦ θεσπεσίοιο.
Πᾶν δ' ἦμαρ φερόμην, ἅμα δ' ἠελίῳ καταδύντι,
Κάππεσον ἐν Λήμνῳ, ὀλίγος δ' ἔτι θυμὸς ἐνῆεν.
Ἔνθα με Σίντιες ἄνδρες ἄφαρ κομίσαντο πεσόντα.
Ὣς φάτο, μείδησεν δὲ θεὰ λευκώλενος Ἥρη.
Μειδήσασα δὲ, παιδὸς ἐδέξατο χειρὶ κύπελλον.
Αὐτὰρ ὁ τοῖς ἄλλοισι θεοῖς ἐνδέξια πᾶσιν
Οἰνοχόει, γλυκὺ νέκταρ ἀπὸ κρητῆρος ἀφύσσων.
Ἄσβεστος δ' ἄρ' ἐνῶρτο γέλως μακάρεσσι θεοῖσιν,
Ὡς ἴδον Ἥφαιστον διὰ δώματα ποιπνύοντα.
Ὣς τότε μὲν πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα
Δαίνυντ', οὐδέ τι θυμὸς ἐδεύετο δαιτὸς ἐΐσης.
Οὐ μὲν φόρμιγγος περικαλλέος, ἣν ἔχ' Ἀπόλλων,
Μουσάων θ', αἳ ἄειδον ἀμειβόμεναι ὀπὶ καλῇ.
Αὐτὰρ ἐπεὶ κατέδυ λαμπρὸν φάος ἠελίοιο,
Οἱ μὲν, κακκείοντες ἔβαν οἶκόνδε ἕκαστος.
Ἧχι ἑκάστῳ,

C

ἕκαστος

ἑκάστου ἡδὺ ἰδίου οἴνου ἔχειν. ἦχι.] ἔνθα ἔπα. ἐυκλυτός.] ὁ εὖ καὶ ἐνδόξως ἀμφιγυήεις.] ὁ ἀμφοτέρως ἰσχὺν τοῖς γόνασι, ἢ ἴσα τοῖς ποσὶ χωλὸς κλίνεται ἢ ὁ ἀμφιγυήεις ἢ ἀμφιγυήεντος· ὅτι τὰ εἰς ευς λήγοντα αἰρετικὰ διὰ τοῦ εντος κλίνονται· οἷον τολμήεις τολμήεντος, τελήεις τελήεντος, χαρίεις χαρίεντος, ἅτινος ἦν ἡκεὶ ἀμφιγυήεις ἀμφιγυήεντος.

ἀλύσκειν.] ἐπισθῆσαι, ἐμπαίρειν. πρηκτῆρες.] πρᾶκται. διανοίας. πρὸς ὃν λέχος.] ὁ ἢ Ζεὺς φησὶν ὡς τὴν ἰδίαν κοίτην παρεγένετο. Κρόνου καὶ Ρέας ἐγένοντο υἱοὶ ἀρρένες. γ. Ζεὺς. Ποσειδῶν. καὶ Ἅιδης. θυγατέρες Ῥέας. Ἑστία, Δημήτηρ. καὶ Ηρα. λάπτειν. τέτταρα φασὶν ὡδὶ τὴν Κρόνου δυναστείαν ἠράσθησαν. τὸν ἢ Δία ἡκεὶ Ηραν ἔτη ἐνιαυτοὺς ἑξακοσίους ὡς φησι Καλλίμαχος ἐν β. αἰτίων. ὥς τε Ζεὺς ὀράτιζε φυκοσίους ἐνιαυτούς. λάθρα ἢ τῶν γονέων ἀλλήλοις συνδρόμους, ἰσχὺν ὑὸν Ηφαιστον. ὀχ' ὁλόπληρον, ἑκατέρας ἢ τὰς πόδας χωλὸν· ὥς φησιν αὐτὸν ἡκεὶ ἀμφιγυήεντα ὁ Ποιητὴς. ὅτι ἢ λάθρα τῶν γονέων συνήρχοντο ἀλλήλοις μαρτυρῇ, ἡκεὶ ὁ Ποιητὴς λέγων. ἐς σὺν ἐμοὶ φοιτῶν τε φίλας λήθοιτο τοκῆας. μετὰ ἢ τὴν τῶν Τιτάνων ὑπὸ Διὸς καθαίρεσιν καταταρταρωθέντος Κρόνου Ζεὺς καὶ Ηρα διασπειρόμενοι τὴν ἐν ἀρανῷ βασιλείαν, μίχθη τῶν τε καὶ ἀνθρώπων βασιλεύουσιν, ἀλλήλοις ὁμοσάμενοι. ἡ Ηρας τελείας καὶ συζύγου προσαγορευομένης, παρ' ὅσον ἀδελφὴ μόνη ἀνὴρ ἐτύχθη τοιούτου ἰσχὺς ἢ Ηβην θυγατέρα ἐν οἰνοχόον θεῶν παρέσχεν ὁ Ποιητής. ἔνθα παρος.] ὅπου ἡκεὶ πρότερον. κοιμᾶθ'.] ἐκοιμᾶτο. ὅτε μιν.] ὅτε αὐτόν. γλυκὺς.] ἡδύς. ἰκανοί.] καταλαβοῦ ἔνθα.] ἐνταῦθα, τοπικὸν ἐπίῤῥημα. καθεῦδεν.] ἐκοιμᾶτο. προπειρισασθαι ἢ ὥστε μὴ προσακτικὸν ἦναι ἐνεργητικόν. ἀναελάς.] αὐτελθών. παρὰ ἢ.] παρ' αὐτὸν δέ. χρυσόθρονος.] χρυσοῦν θρόνον ἔχουσα. βασιλὶς μᾶλλον ἢ ἐπειδὴ τὰ πρὸς τῷ αὐδεῖ μέρη ἢ ἄειρος γειτνιῶντα τῷ ἡλίῳ πυρώδη ὄγκον. ὁ γὰρ Ποιητὴς ἀλληγορῶν, τὸν χρυσὸν λαμβάνει αὐτὶ πυρός. Ηρ.] Ηρα. ἴσιον ὅτι ἡ ῥαψῳδία αὕτη μόνη παρῴδολὼ ἐκ ἔχει.

ΥΠΟΘΕΣΙΣ ΤΗΣ Β ΤΟΥ
ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

Ζεὺς ὄνειρον ἐπιπέμψας Αγαμέμνονι, παρακελεύεται τὸς Ελληνας ἐξάγειν αὐτὸν ἐπὶ τὸν πόλεμον. ὁ ἢ, πρῶτον μὲν τῶν ἀρίστων συνέδριον συνάγαγεν. ἔπειτα δὲ ἐκκλησίαν ποιησάμενος, ἀποπειρᾶται αὐτῶν, παρακελευσάμενος φυγεῖν εἰς τὰς πατρίδας. κατίσχει ἢ αὐτὸς Οδυσσεὺς Αθηνᾶς προνοίᾳ καὶ Νέστορ διαμηχανήσας. ἔπειτα ῥοφῶν αὐτοὺς μένοντας ἐξοπλίζουσι αὐτοί τε, καὶ ὑγεμόνες. ὁμοίως ἢ καὶ οἱ Τρῶες ὁρμίσαντος αὐτοῖς ἀπαγγελάσης. κατάλογον ἢ ὁ Ποιητὴς ἐποίησε τῶν στρατευμάτων, καὶ τῶν νεῶν.

ΑΛΛΟΣ.

Ζεὺς ἐμέμνητο Θέτιδος διὰ ἱκεσίας, καὶ ἄλλων θεῶν τε, καὶ ἀνθρώπων ὕπνῳ σχολαζόντων, πρὸ ὀφθαλμῶν ποιήσασθαι τὸν τοῦ Πηλέως, ὄνειρον Αγαμέμνονι πέμψαι, κελεύων αὐτὸν ἐκβάλλειν πάντας τὸς Ελληνας ἐς τὴν μάχην. καὶ συμβουλεύων αὐτῷ δηλαδὴ καὶ τὸν Αχιλλέα παρακαλέσαι. ὁ ἢ, ἐς συνέδριον τὸ ὄναρ, τοῖς ἀριστεῦσιν αὐτὸ διηγεῖται, καὶ μετὰ ταῦτα εἰς ἐκκλησίαν ἀθροίσας πάντας Ελληνας. ὑπόπλους πρὸς αὐτὸς διακάμπτοντας, διὰ τὸ ὑγιᾶσθαι τὸν Αχιλλέα ἐπιτίθεμενον αὐτῷ τῇ ἀρχῇ, προσοικειοῦσθαι τὸ πεῦ πλῆθος πειράζων, φεύγειν αὐτὸς εἰς τὰς πατρίδας κελεύει. οἱ ἢ, ὁ συνέντες, ἐᾶσι τὸ παθέλκειν τὰς ναῦς, καὶ ἐς τὰς πατρίδας ἀπαλλάττεσθαι χωρῆσαι. Οδυσσεὺς ἢ ὑποθεμένης αὐτῷ Αθηνᾶς, τὸς μὲν ἀρίστους πείθει κατέχειν. τῶν ἢ στρατιωτῶν, πεζῇ καθάπτεται. πολύ ἢ καὶ Θερσίτην ἀμύσσων πρὸς τὸν βασιλέα θρασύνεται καὶ τὸς Ελληνας μέγαν, καὶ τὴν Ιλιον ἅλωσιν προσδέχεσθαι συμβουλεύσαντος ἢ καὶ Νέστορος τὰ αὐτὰ, Αγαμέμνων θύσας τῷ Διΐ, τὸς γέροντας ἑστιᾷ. καὶ προτρεψάμενος τὸς Ελληνας, ὡδὶ τὸν πόλεμον ἐξάγει ἅπαντας. ἐξῆς ἢ ἐστὶν ὁ κατάλογος τῶν νεῶν, ἐφ' ὧν ἦλθον οἱ Τρῶες, καὶ οἱ Ελληνες, καὶ τῶν ἐπικούρων, καὶ τῶν ὑγεμόνων αὐτ.

ΣΧΟΛΙΑ ΕΙΣ ΤΗΝ Β ΤΟΥ
ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΝ.

ΑΛΛΟΙ μὲν ῥα.] οἱ μὲν δὴ λοιποί. ἐστι ἢ σύνδεσμος παραπληρωματικός. αὖθι μεν. ἐφ' ἵπποσυρσάδην.] ἐφ' ἵπποις ὁπλιζόμενοι. ἢ ἵππους κορύσσοντες, τοῦτ' ἐστι πολεμικοί. ἢ ἀφ' ἵππων μαχόμενοι. σύνδρομ.] ἐπάθυσδον, ἐκοιμῶντο. πανννύχιοι.] δι' ὅλης δὴ νυκτός. πῶς ἐν τῷ. ἀπὸ τὸν Δία καθεύδειν, νῦν φησὶ Δία δ' οὐκ ἔχε νήδυμος ὕπνος. λέγομεν ἢ ὑμεῖς ὅτι ἐπάθυδε μὲν, ἀλλ' ἐπ' ὀλίγον ἐκαθεύδησε. ἡκεὶ οὐ διὰ παύσης δὴ νυκτὸς, ὡς ἡκεὶ οἱ ἄλλοι καθεύδησι. Δία δ' οὐκ ἔχε.] τὸν ἢ Δία οὐκ ἔᾶχε. νήδυμος.] ὑπνώδης. ἀλλ' ὅ γε.] ἀλλ' οὗτος ὁ Ζεύς. μερμήριζε.] ἐμεριμνα. κατὰ φρένα.] κατὰ τὴν διανοίαν. ὡς Αχιλῆα.] ὅπως τὸν Αχιλλέα. ὀλέσῃ.] ἀπολέσῃ, ἀφανίσῃ. ὠλέσας.] ὠλλύς. ὠδὶ πνυσέμεν.] ὠδὶ τοῖς πλοίοις. ἤδη ἢ οἱ.] αὖτη δὴ αὐτῷ. κατὰ θυμὸν.] κατὰ τὴν ψυχήν. ἀρίστη.] καλλίστη. φάνετο.] ἐφάνετο, ἐδόκει. πέμψαι ἐπ' Ατρέϊδῃ.] πέμψαι τῷ υἱῷ ἢ Ατρέως τῷ Αγαμέμνονι.

ὅλον ὄνειρον.] νῦν τὸν ὀλέθριον, ἀπλοῦ ἢ καὶ τὸν προσηνῆ· καὶ τὸν ὁλόπληρον, ὡς ἐν ὁλυσσάᾳ φησίν. ὅλον ἄτερ ἑλών. ἀπλοῦ ἢ καὶ τῶν ῥιχῶν διαστροφήν. ὅλον ἢ ὄνειρον. ὃν αὐτὸν ὀλέθριον ὄντα, ἀλλὰ ἢ ἐπ' ὀλέθρῳ πεμπόμενον. ἢ οὖλον τὸν ὑγιῆ. ὥσπερ λέγεται, οὐλὴ βαύματος. σημαίνει ἢ ἡ λέξις, καὶ τὸ ὑγιαίνειν. ὡς ἐν ἑνὶ νῷ, οὐλέ τε καὶ μάλα χαῖρε. θεοί δέ τοι ὄλβια δοῖεν. καί μιν φωνήσας.] καὶ αὐτὸν προσκαλεσάμενος. ἔπεα πτερόεντα.] λόγους ταχεῖς, οὐδὲν γὰρ λόγου ταχύτερον. προσηύδα.] προσῆπε. βάσκ' ἴθι.] πορεύου, καὶ ἄπιθι. ἔστι γὰρ ἐν παραλλήλῳ τὸ αὐτό. ὄλεε.] ὀλέθρευε. θοάς.] ταχείας. ἐλθὼν δὲ κλισίην.] παραγενόμενος δὲ τὴν σκηνήν. μάλα.] λίαν, παύν. ἀρκείως.] ἀληθῶς. ἀγορεύεμεν.] ἀγορεύσειν, λέγειν. ὡς ἐπιτέλλω.] ὡς προσάσω. βαρῦξαι.] καθοπλῖσαι αὐτόν. ἐκέλευε.] παράνει, προτρέπεται. καρηκομόωντας.] τὰς τὰς κεφαλὰς κομῶντας αὐθεάδεις χάριν. τῶν Ελλήνων τὸ παλαιὸν μὲν ἕνεκα καὶ αὐθεάδεις κομώντων τὰς κεφαλὰς, λόγος πρῶτον Οησέα ἀποκειράμενον τὴν ἐμπροσθίαν λόμην ὡς Δῆλον αὐαθεῖναι τῷ Απόλλωνι. ἀπὸ δὲ ἢ κομῶντας ἐν διαιρέσει κομόωντας. πανσυδίῃ.] πανστρατί. νῦν γάρ κε.] νῦν γὰρ αὖ. ἕλοι.] λάβοι, πορθήσοι. σὺν αὐγάμ.] πλατυάμφοδον, μεγάλην. αὐγαὶ γὰρ τὰ ἄμφοδα. ἀμφὶς φράζουσι.] χωρὶς ἀλλήλων βουλεύονται, διέχουσι μᾶλλον ἢ ἐν τῷ ἰλιάδι. ἔστι γὰρ οἱ τὸν ὄλυμπον κατοικοῦντες θεοὶ διάφορα φρονοῦσιν, οἱ μὲν τὰ ὑπὲρ Τρώων, οἱ ἢ τὰ ὑπὲρ Ελλήνων. ἐπίαμψιν.] ἐπίκαμψιν, ἔπεισιν. Ηρη.] ἡ Ηρα. λιταὶ σύες σα.] ἱκετεύουσα. Τρώεσσι ἢ.] τοῖς ἢ Τρωσί. κήδεα.] κακά. ἐφῆπται.] ἐπάρτηται, ἐπικρέμαται. ἔστ' ἐστιν ἐπίσκοπος. ὣς φάτο.] ὅτως ἦπε. βῆ δ' ἀΐξ.] ἐπορεύθη ἢ ἄνεσεν. ὄνεσε. παραλίμπει.] ταχέως. ἵκανε.] πορευόμενος. ἱκάνει.] κατέλαβεν. εὗδον ἐν κλισίῃ.] κοιμώμενον ἐν τῇ σκηνῇ. πόρε δ' ἀμβρόσιος λίχνυθ' ὕπνος.] πορισμένος αὐτῷ ὁ θεῖος ὕπνος. τῇ δ' ἀΐξ.] ἔστη δέ. τὸ ὑγεμονικὸν γάρ, τὰς αἰσθήσεις ἀνεμένον ἔστιν αὐτόθι. Νηλεῒ ᾗ ἐοικώς.] τῷ Νηλέως παιδὶ Νέστορι ὁμοιωθές. ὁ ἢ τύπος πάντων μνημονικός. τὸν ῥα.] ὃν τινα δὴ Νέστορα. γερόντων.] ἐντίμων πρεσβυτέρων. τῖε.] ἐτίμα. τῷ.] τούτῳ. ἐισάμενος προσεφώνει.] ὁμοιωθὲς προσιφθέγγετο. δῖος.] θαυμαστός. σύλευε.] καθύδευε. Ατρέος υἱὸν.] ὃν Ατρέως παῖ Αγαμέμνων. διαφρονέων.] πολεμικὸν φρόνημα ἔχοντος.

ἱπποδάμοιο.] ἵππους δαμάζοντος, πολεμικοῦ. οὐ χρή.] οὐ προσῆκόν ἐστιν. οὐ δεῖ. παννύχιον.] δι' ὅλης τῆς νυκτός. βουληφόρον.] βουλευτικόν. ᾧ.] ᾧ τινι. ἐπιτετράφαται.] ἐπιτετραμμένοι καὶ ὑποτεταγμένοι εἰσί.

καὶ τόσα.] καὶ τοσαῦτα. μέμηλε.] διὰ φροντίδος ἐστίν. ἐμέθεν.] ἐμοῦ. ξύνες.] σύνες, ἄκουσον. αὐτοῦ, τοῦτο τὸ παρ' ἐμοῦ λεγόμενόν σοι νόησον. ὦκα.] ταχέως. Διὸς δέ τοι ἄγγελός εἰμι.] ἀπὸ γὰρ τοῦ Διὸς σοι ἥκω φέρων τὰς ἀγγελίας. ὅς σεῦ ἄνευθεν ἐών.] ὅς τις σοῦ ἄποθεν χωρὶς οἴκων. μέγα.] μεγάλως. κήδεται.] φροντίζει. ἠδ' ἐλεαίρει.] καὶ ἐλεεῖ. σῇσι.] ταῖς σαῖς. φρεσί.] ταῖς διανοίαις. τοῦτ' ἔστι τὸ λεχθέν σοι κατὰ νοῦν ἔχε καὶ μέμνησο. αἱρείτω.] καταλαμβανέτω. εὖτ' ἄν σε.] ὁπόταν σε. μελίφρων.] ὁ ἡδύς. ἀνήῃ.] καταλίπῃ, ἐάσῃ. ὣς ἄρα φωνήσας.] οὕτως δὴ εἰπών. ἀπεβήσατο.] ἀπέβη, ἀνεχώρησε.

τὸν δ' ἔλιπε.] τοῦτον δὲ κατέλιπεν. αὐτοῦ.] αὐτίκα, ἤτοι τὸν αὐτὸν τόπον. τὰ φρονέοντα.] ταῦτα λογιζόμενον. θυμόν.] ψυχήν. ἅ ῥ'.] ἅτινα δή. οὐ τελέεσθαι.] οὐ τελειωθήσεσθαι, οὐ πληρωθήσεσθαι. ἔμελλεν.] ἔμελλε, ἐῴκει. φῆ.] ἔφη, εἶπεν, ἐλογίσατο. αἱρήσειν.] λαβεῖν, πορθήσειν. ἤματι κείνῳ.] ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. νήπιος.] ἄφρων, ἀνόητος. οὐδὲ τά.] οὐδὲ ταῦτα. ᾔδει.] ἠπίστατο. μήδετο.] ἐβουλεύετο. θήσειν.] ποιήσειν. ἐπ' ἄλγεα.] ἐπ' αὐτοὺς κακά. στοναχάς τε.] καὶ στεναγμούς.

κατὰ κρατερὰς ὑσμίνας.] κατὰ τὰς ἰσχυρὰς μάχας. ἔγρετο.] διηγέρθη, ἐγρηγόρησε. θείη δέ μιν.] θεία δὲ αὐτὸν εἶχε κληδών. ὅ ἐστιν ἀνεμνήσθη τὸ ὄναρ. ἀμφέχυτο.] περιεκέχυτο. ὀμφή.] θεία φήμη καὶ κληδών. ἢ τὸ ὂν φαίνουσα. λέγει δὲ ὅτι ἔναυλον εἶχε τὴν τοῦ ὀνείρου φωνήν. ἐμφαντικὸν δὲ τὸ ἀμφέχυτο πρὸς τὸ μηδὲν αὐτοῦ ἐπιλελῆσθαι.

ἕζετο δ' ὀρθωθείς.] ἐκάθισε δὲ ἀναστάς. μαλακόν.] ἁπαλόν, τρυφερόν. εἴρηται δὲ χιτὼν τὸ ἱμάτιον. παρὰ τὸ εἰσιέναι περιέχεσθαι αὐτὸ τῷ σώματι. ἰστέον δὲ ὅτι, ἐπὶ μὲν ἀνδρὸς, χιτῶνα λέγει, ἀντὶ γυναικὸς δὲ πέπλον. ἔνδυνε.] ἐνεδύσατο. νηγάτεον.] νεωστὶ κατεσκευασμένον, ἢ νενησμένον. γίγνεται δὲ παρὰ τὸ γίγνω γατὸν νεήγατον ὑπερθέσει τοῦ ε, νηγάτεον, ἢ ἀγέννητον, ἢ λεπτόν, ἢ νεήγατον, νεωστὶ γεγονός. δηλοῖ δὲ ὁ χιτὼν παρ' αὐτῷ καὶ τὸν σιδηροῦν. περὶ δὲ βάλλετο.] περιεβάλλετο δέ. φᾶρος.] ἱμάτιον. λιπαροῖσι.] λευκοῖς, καὶ εὐτραφέσιν, ἢ προαλειφομένοις ἐν τῷ ὑποδεδέσθαι. ἐδήσατο.] ὑπερβατόν, ἵν' ᾖ ὑπεδήσατο. πέδιλα.] ὑποδήματα. παρὰ τὸ περιειλεῖσθαι αὐτὰ τοῖς ποσίν. ὅ ἐστι περιτίθεσθαι. ἀμφὶ δ' ἄρ' ὤμοισιν βάλετο.] περιετίθετο δὲ τοῖς ὤμοις. ξίφος.] τὴν καλυμμένην σπάθην. ἥτις εἴρηται παρὰ τὸ σπᾶσθαι αὐτὴν ἐκ τῆς θήκης. ἀργυρόηλον.] ἀργυροῖς ἥλοις διαπεπαρμένον. εἵλετο δέ.] ἔλαβε δέ. σκῆπτρον.] τὴν βασιλικὴν ῥάβδον. πατρώϊον.] προγονικόν. ἄφθιτον.] ἀδιάφθαρτον, αἰώνιον. ὅτι οὐκ ἐδόθη ἐκ τοῦ γένους ἑτέρῳ. σὺν τῷ ἔβη.] σὺν τούτῳ ἐπορεύθη. χαλκοχιτώνων.] σιδηροθωράκων. ἠὼς μὲν ῥα.] ἡ ἡμέρα μὲν δή. προσεβήσατο μακρὸν Ὄλυμπον.] προσῆλθε τῷ μεγάλῳ Ὀλύμπῳ. τοῦτ' ἔστιν ἀνέτειλεν. μακρόν.] μέγιστον. Ζηνί.] τῷ Διί. φόως.] φῶς.

ἐρέουσα.] ἀπαγγέλλουσα, δείξουσα. ἀθανάτοισι.] τοῖς θεοῖς. αὐτὰρ ὁ.] οὗτος δὲ ὁ Ἀγαμέμνων. κηρύκεσσι.] τοῖς κήρυξι. λιγυφθόγγοισιν.] ἡδυφώνοις, ὀξυφώνοις. κέλευε.] ἐκέλευσε. κηρύσσειν.] βοᾶν, συγκαλεῖν εἰς τὸν πόλεμον. νῦν δὲ εἰς τὸ συνέδριον. ἠγείροντο.] συνηθροίζοντο. μάλ' ὦκα.] πάνυ σπουδαίως. βουλὴν δέ.] ἐνταῦθα τὸ προβούλευμα. μεγαθύμων.] μεγαλοψύχων, γενναίων. ἷζεν.] ἐκάθισε, καθίδρυσε. γερόντων.] ἐντίμων. πρεσβυ-

Οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα,
Ὧι λαοί τ' ἐπιτετράφαται, καὶ τόσα μέμηλε.
Νῦν δ' ἐμέθεν ξύνες ὦκα. Διὸς δέ τοι ἄγγελός εἰμι,
Ὅς σεῦ ἄνευθεν ἐὼν, μέγα κήδεται, ἠδ' ἐλεαίρει.
Θωρῆξαί σε κέλευσε καρηκομόωντας Ἀχαιοὺς
Πανσυδίῃ. νῦν γάρ κεν ἕλοις πόλιν εὐρυάγυιαν
Τρώων. οὐ γὰρ ἔτ' ἀμφὶς Ὀλύμπια δώματ' ἔχοντες
Ἀθάνατοι φράζονται. ἐπέγναμψεν γὰρ ἅπαντας
Ἥρη λισσομένη, Τρώεσσι δὲ κήδε' ἐφῆπται
Ἐκ Διός. ἀλλὰ σὺ σῇσιν ἔχε φρεσί. μηδέ σε λήθη
Αἱρείτω, εὖτ' ἄν σε μελίφρων ὕπνος ἀνήῃ.
Ὣς ἄρα φωνήσας, ἀπεβήσατο. τὸν δ' ἔλιπ' αὐτοῦ
Τὰ φρονέοντ' ἀνὰ θυμὸν, ἅ ῥ' οὐ τελέεσθαι ἔμελλε.
Φῆ γὰρ ὅγ' αἱρήσειν Πριάμου πόλιν ἤματι κείνῳ
Νήπιος. οὐδὲ τὰ ᾔδη, ἅ ῥα Ζεὺς μήδετο ἔργα.
Θήσειν γὰρ ἔτ' ἔμελλεν ἐπ' ἄλγεά τε, στοναχάς τε,
Τρωσί τε καὶ Δαναοῖσι διὰ κρατερὰς ὑσμίνας.
Ἔγρετο δ' ἐξ ὕπνου. θείη δέ μιν ἀμφέχυτ' ὀμφή.
Ἕζετο δ' ὀρθωθεὶς, μαλακὸν δ' ἔνδυνε χιτῶνα
Καλὸν, νηγάτεον. περὶ δ' αὖ μέγα βάλλετο φᾶρος
Ποσσὶ δ' ὑπὸ λιπαροῖσιν ἐδήσατο καλὰ πέδιλα.
Ἀμφὶ δ' ἄρ' ὤμοισιν βάλετο ξίφος ἀργυρόηλον.
Εἵλετο δὲ σκῆπτρον πατρώϊον ἄφθιτον αἰεί.
Σὺν τῷ ἔβη κατὰ νῆας Ἀχαιῶν χαλκοχιτώνων.
Ἠὼς μέν ῥα θεὰ προσεβήσατο μακρὸν Ὄλυμπον.
Ζηνὶ φόως ἐρέουσα καὶ ἄλλοις ἀθανάτοισιν.
Αὐτὰρ ὁ κηρύκεσσι λιγυφθόγγοισι κέλευε
Κηρύσσειν ἀγορὴν δὲ καρηκομόωντας Ἀχαιούς.
Οἱ μὲν ἐκήρυσσον. τοὶ δ' ἠγείροντο μάλ' ὦκα.
Βουλὴν γὰρ πρῶτον μεγαθύμων ἷζε γερόντων

Νεστορέῃ,

πρεσβυτέρων. Νεστορέῃ παρὰ νηΐ.] παρὰ τῇ τοῦ Νέστορος νηΐ. Πυλοιγενέος.] τοῦ ἐν τῇ Πύλῳ γεγεννημένου. πυκινήν.] συνετήν, σώφρονα. ἠρτύνετο.] παρεσκεύαζεν, ἐποίησε. κλῦτε.] ἀκούσατε. θεῖος.] ἤτοι θαυμαστός,

Νεστορέῃ παρὰ νηῒ Πυλοιγενέος βασιλῆος.
Τοὺς ὅγε συγκαλέσας, πυκινὴν ἠρτύνετο βουλήν.
Κλῦτε φίλοι, θεῖός μοι ἐνύπνιον ἦλθεν ὄνειρος.
Ἀμβροσίην διὰ νύκτα. μάλιστα δὲ Νέστορι δίῳ
Εἶδός τε, μέγεθός τε, φυήν τ' ἄγχιστα ἐῴκει.
Στῆ δ' ἄρ' ὑπὲρ κεφαλῆς. καί με πρὸς μῦθον ἔειπεν.
Εὕδεις Ἀτρέος υἱὲ δαΐφρονος ἱπποδάμοιο;
Οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα,
Ὧι λαοί τ' ἐπιτετράφαται καὶ τόσα μέμηλε.
Νῦν δ' ἐμέθεν ξύνες ὦκα. Διὸς δέ τοι ἄγγελός εἰμι.
Ὅς σεῦ ἄνευθεν ἐὼν, μέγα κήδεται, ἠδ' ἐλεαίρει.
Θωρῆξαί σε κέλευσε καρηκομόωντας Ἀχαιοὺς,
Πανσυδίῃ. νῦν γάρ κεν ἕλοις πόλιν εὐρυάγυιαν
Τρώων. οὐ γὰρ ἔτ' ἀμφὶς Ὀλύμπια δώματ' ἔχοντες
Ἀθάνατοι φράζονται. ἐπέγναμψεν γὰρ ἅπαντας
Ἥρη λισσομένη. Τρώεσσι δὲ κήδε' ἐφῆπται
Ἐκ Διός. ἀλλὰ σὺ σῇσιν ἔχε φρεσίν. ὣς ὁ μὲν εἰπὼν,
Ὤιχετ' ἀποπτάμενος, ἐμὲ δὲ γλυκὺς ὕπνος ἀνῆκεν
Ἀλλ' ἄγετ' αἴ κέν πως θωρήξομεν υἷας Ἀχαιῶν.
Πρῶτα δ' ἐγὼν ἔπεσιν πειρήσομαι, ἣ θέμις ἐστί.
Καὶ φεύγειν σὺν νηυσὶ πολυκλήϊσι κελεύσω.
Ὑμεῖς δ' ἄλλοθεν ἄλλος ἐρητύειν ἐπέεσσιν.
Ἤτοι ὅγ' ὣς εἰπὼν, κατ' ἄρ' ἕζετο. τοῖσι δ' ἀνέστη
Νέστωρ, ὅς ῥα Πύλοιο ἄναξ ἦν ἠμαθόεντος.
Ὅσφιν ἐϋφρονέων, ἀγορήσατο, καὶ μετέειπεν.
Ὦ φίλοι, Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες.
Εἰ μέν τις τὸν ὄνειρον Ἀχαιῶν ἄλλος ἔνισπε,
Ψεῦδός κεν φαῖμεν, καὶ νοσφιζοίμεθα μᾶλλον.
Νῦν δ' ἴδεν ὃς μέγ' ἄριστος ἐνὶ στρατῷ εὔχεται εἶναι.
Ἀλλ' ἄγετ' αἴ κέν πως θωρήξομεν υἷας Ἀχαιῶν.
Ὣς ἄρα φωνήσας, βουλῆς ἐξῆρχε νέεσθαι.
Οἱ δ' ἐπανέστησαν, πείθοντό τε ποιμένι λαῶν
Σκηπτοῦχοι βασιλῆες. ἐπεσσεύοντο δὲ λαοί.
Ἠΰτε ἔθνεα εἶσι μελισσάων ἁδινάων,
Πέτρης ἐκ γλαφυρῆς αἰεὶ νέον ἐρχομενάων.
Βοτρυδὸν δὲ πέτονται ἐπ' ἄνθεσιν εἰαρινοῖσιν.
Αἱ μέν τ' ἔνθα ἅλις πεποτήαται, αἱ δέ τε ἔνθα.
Ὣς τῶν ἔθνεα πολλὰ νεῶν ἄπο, καὶ κλισιάων,
Ἠϊόνος προπάροιθε βαθείης ἐστιχόωντο
Ἰλαδὸν εἰς ἀγορήν. μετὰ δέ σφισιν ὄσσα δεδήει

Ὀτρύνουσ'

ἢ θεόπεμπτος. ἐνύπνιον.] κατὰ τοὺς ὕπνους. ἀμβροσίην διὰ νύκτα.] διὰ τῆς θείας νυκτός. γίγνεται δὲ ἀπὸ τοῦ βροτὸς βροτίη, καὶ τροπῇ τοῦ τ εἰς σ, βροσίη, καὶ ἀμβροσίη ἐν ᾗ βροτοὶ οὐ πορεύονται.

μάλιστα δέ.] ὑπερβαλλόντως, ἐξαιρέτως. εἶδος.] τὸν τῆς ὄψεως χαρακτῆρα. μέγεθος.] προσυπακουστέον τὸ τοῦ σώματος. φυήν.] φύσιν, τρόπον.

ἄγχιστα.] ἔγγιστα. ἐῴκει.] ὡμοίωτο. ὣς ὁ μέν.] οὕτως μὲν δὴ οὗτος. ᾤχετο.] ἀπήρχετο. ἀποπτάμενος.] ἀποπτὰς, ταχέως ἀπελθών. γλυκύς.] γνήσιος, ἡδύς. ἀνῆκεν.] κατέλιπεν, ἀφῆκεν. αἴ κέν πως.] ὅπως ἄν. θωρήξομεν.] ὁπλίσωμεν. Ἰώνων ἡ συστολή.

πειρήσομαι.] ἀπόπειραν λήψομαι. ἀπόπειραν δὲ τοῦ πλήθους λαμβάνει ὁ βασιλεὺς Ἀγαμέμνων, κατά τι παλαιὸν ἔθος βουλόμενος μαθεῖν πότερον γνώμῃ οἰκείᾳ πολεμοῦσιν, ἢ ἀνάγκῃ. ἣ θέμις ἐστίν.] ὡς νενόμισται, ὡς προσῆκόν ἐστι.

πολυκλήϊσι.] πολυκαθέδροις. ἐκ τοῦ πολυκώποις. κληΐδες γὰρ καλοῦνται, αἱ τῶν ἐρεσσόντων καθέδραι. ἄλλοθεν ἄλλος.] ἄλλος ἀλλαχόθεν. ἐρητύειν.] κατέχειν, κωλύειν. ἦν.] ὑπῆρχεν. ἠμαθόεντος.] ψαμμώδους, ῥαχέας. ἄμαθος γὰρ ἡ ψάμμος. ἡγήτορες.] ἡγεμόνες.

ἠδὲ μέδοντες.] καὶ πρόβουλοι. ἔνισπεν.] εἶπεν, ἔλεξε. ψεῦδός κε.] ψεῦδος ἄν. φαῖμεν.] λογιζοίμεθα. καὶ ὑπελάβομεν. νοσφιζοίμεθα.] χωριζοίμεθα.

ἴδεν.] ἐθεάσατο. μέγ' ἄριστος.] μεγάλως ἄριστος. εὔχεται.] αὐχεῖται, καυχᾶται. βουλῆς ἐξῆρχε.] προηγεῖτο τῆς ἐκ τοῦ προβουλίου ἐξόδου. νέεσθαι.] πορεύεσθαι.

ἐπανέστησαν.] ὀρθοὶ ἔστασαν. πείθοντό τε.] καὶ ἐπείθοντο. ποιμένι.] βασιλεῖ. σκηπτοῦχοι βασιλῆες.] σκηπτροφόροι βασιλεῖς. ἐπεσσεύοντο.] ἐπηκολούθουν. ἠΰτε.] καθάπερ, ὃν τρόπον.

ἔθνεα.] ἔθνη, πλήθη. πρώτη δὲ αὕτη παραβολὴ τῷ ποιητῇ. εἶσιν.] ἄπεισι, πορεύονται. μελισσάων.] μελισσῶν. ἔστι δὲ τὸ σχῆμα ἐπέκτασις, ἴδιον δὲ Ἰώνων. ἁδινάων.] τῶν ἄδην καὶ ἀθρόως πετομένων. παρὰ τὸ ἄδην. διὸ καὶ δασύνεται. πέτρης ἐκ γλαφυρῆς.] ἐκ τῆς κοίλης πέτρας. αἰεὶ νέον ἐρχομενάων.] νέα τῇ πτήσει χρωμένων. ὡς νομίζειν νεωστὶ ἀρχὴν πεποιηκέναι. βοτρυδόν.] συνεστραμμέναι καὶ συνηγμέναι ὡς ἐν βότρυος σχήματι. ἐπ' ἄνθεσιν εἰαρινοῖσιν.] ἀντὶ τοῖς ἄνθεσι τοῖς κατὰ τὸ ἔαρ γιγνομένοις. αἱ μέν τ' ἔνθα.] καὶ αἱ μὲν τῶν μελισσῶν ἐνταῦθα πέτονται. αἱ δὲ ἐκεῖσε καὶ ἀθρόως. ἅλις.] δαψιλῶς. πολλαὶ καὶ ἅμα. πεποτήαται.] πέτονται. νεῶν ἄπο.] ἀπὸ τῶν νεῶν καὶ τῶν σκηνῶν. ἠϊόνος.] αἰγιαλοῦ. προπάροιθεν.] ἔμπροσθεν. ἐστιχόωντο.] ἐν τάξει παρεγίνοντο. ἰλαδόν.] τοῦτ' ἔστι κατὰ ἴλας καὶ συστροφάς. μετὰ

φάσ. μετὰ δὲ σφισιν.] ἐν αὐτοῖς δέ. ἔναρα.] θέαι φήμη καὶ πλησίον. ἀνελίξει.] ἔβηατο, ἀνεγυμνοῦτο. στρώσασα.] παρακλευομένη παρορμῶσα. ἴεναι.] παραγενέσθαι. ἀγέροντο.] συνηθροίζοντο. τετρήχει.] ἐταράχθητο ὑπὸ θορύβου, θορυβώδης ἦν. ὑπὸ δ' ἐσοναχίζετο γαῖα.] ὑπέσεινε δὲ ἡ γῆ καὶ ἤχει ἀπετέλει. ἰδρύοντων.] καθιζόντων. ἄμαλλος δ' ἦν.] δόρυβος δὲ ἦν. ἐννέα δ' σφίας.] ἐννέα ἦ αὐτός. βεόωντες.] βοῶντες. δρήτυον.] κατέχον. ἀϋσῇ.] βοῇ. σχοίατο.] ἀπόσχοιντο, παύσοιντο. διοδεφίωμ.] τ Διὸς γνώμη τεθραμμένων. βασιλῆων.] βασιλέων. σπευδῇ.] μόλις, δυσχερῶς.

ὄρήτυθεν.] κατέχον ἕκαστος τὰς ἑαυτ παθέδρας. κλαγγῆς.] βοῆς, κραυγῆς. αὐδὴ ἔστη.] αὐτὴ δὲ ἡ αὐδὴ ἔχων τὸ σπῆπτρον ἔστη. κρέων.] βασιλεύς. κάμε.] ἔκαμε, κατισχύσας, καμὼν ἔτευξεν. αὐαστροφὴ δὲ ὁ ῥόπτ. Κρονίωνι.] Κρόνος παιδὶ Διΐ. διακτόρῳ.] διάγοντι τὰς ἀγγελίας τὰς τ Θεῶν. ἢ διακτόρῳ καὶ σαφεῖ κατὰ τὸ λέγειν· ἢ τῷ διαγγέλλοντι τὰς ὁρμὰς. Ἀργειφόντῃ.] Ἀργῷ καὶ διαβαρῷ φόνῳ. ἐριδμὸς γὰρ ὁ Θεός, ἢ ὡς τινες κατ' ἐπώνυμον. ἐπιμ ἐξ αἰτίας τοιᾶς δε. ἴδε δὲ Ἰνάχου θυγατρὸς τ Ἀργείων βασιλέως Ζεὺς ὁρκωθείς. καὶ γνοὺς κύτὸν μετέβαλεν εἰς βοῦν, διὰ τὸν δὲ Ἥρας ζῆλον. Ἥρα δὲ αἰτησαμένη ὡς βοῦν καὶ λαβοῦσα παρὰ τ Διὸς, ἐπέστησεν αὐτῇ φύλακα Ἄργον τὸν πανόπτην πολέμιον. ὅτι κατὰ παντὸς τ σώματ ἔχειν ὀφθαλμούς. κελευσθεὶς δὲ ὁ Ἑρμῆς ὑπὸ τ Διὸς κλέψαι τὸν βοῦν. ἐπειδὴ λαθὼν ἐκ ἠδύνατο τὸν Ἄργον, λίθῳ βαλὼν ἀπέκτεινε. καὶ ἐντοῦθεν Ἀργειφόντης ἐκλήθη. τῇ δὲ Ἰοῖ ἡ Ἥρα ὡσανεὶ βοῒ οἴστρον ἐμβάλλει. ἡ δὲ ἐκ δὲ ἠδύνατο, πρῶτον ἦλθεν ἐς τὸν ἀπ' ἐκείνης Ἰόνιον πόλπον πλυθέντα. ἔπειτα διὰ τ Ἑλλησπόντου πρότερον Θρᾳκίης πόρον. νῦν δ' ἀπ' ἐκείνης Βοσπόρῳ ἐλθοῦσα, καὶ ἄλλας δὲ διαφόρους τόπους πλανηθεῖσα, ἦλθεν ἐς Αἴγυπτον. ὅπῃ τὴν ἀρχαίαν μορφὴν ἀπολάβουσα, τίκτει παρὰ τὸ Νῖλῳ ποταμῷ παῖδα Ἔπαφον. ἡ δὲ ἱστορία πλατύτερον κεῖται παρὰ Ἀπολλοδώρῳ ἐν τῇ. α. Ἑρμείας δὲ αὖξε δῶκε Πέλοπι πληξίππῳ.] ἵππους πλήττοντι, πολεμικῷ. Ἱπποδάμεια ὁ Οἰνομάου θυγάτηρ ὁρκωθεῖσα Πέλοπ Μυρτίλον τὸν Ἑρμοῦ ὑόν. ἡνίοχον ἦ τ ἑαυτ πατρὸς ἵππους τῇ κατὰ τ πατρὸς νίκῃ συνδρομῆσαι, καὶ τὸς ἵππους τ ἀεὶ τὸ τρίχειν ὁρμῆς κατασχεῖν, βλομένη τ Πέλοπα καὶ τὰς ἵππους λαβεῖν καὶ τὸν ἑαυτ γάμον. ἔκειτο γὰρ τῷ νικήσαντι ἆθλον ὁ τούτου γάμος, τῷ ἦ νικηθέντι θανάτ. ἀγωνιζομένων ἦ αὐτῶν. ὁ Οἰνόμαος ἐκπίπτει τ ἁρματος. ὁ γὰρ ἀεὶ χοινικίδιος τὰς ἐμβόλους κατέσχον. ἔτο παρεργάσαντ τ Μυρτίλ. καὶ ὅτω νενίκηκε καὶ αὐήρηται ὁ Οἰνόμαος τῷ Μυρτίλῳ ἐπαρασάμενος ὅστις ἀπόλοιτο ὑπὸ Πέλοπ ὁ καὶ ἐγένετο. διαβαινόντων γὰρ αὐτῶν διὰ τ Αἰγαίου πόντου, ἢ ὀλισθάσας ἀπὸ Ἱπποδαμείας, πατεβὰς ἐπὶ τοῦ ἅρματος ὁ Πέλοψ, ἔβρεχε ὕδωρ κατὰ τὴν ὁρμή. κατ' ἐκεῖνο ἦ ἐκαρῷ ἡ Ἱπποδάμεια ὁρκωθεῖσα Μυρτίλου, ἐδέετο μὴ ὑποδρισθῆν. αὐτικρύ τ δὲ αὖτ καὶ τοῦ Πέλοπ παραγενομένη, φθαίνει ἡ Ἱπποδάμεια ἐατηγερήσασα τ Μυρτίλου ὡς βιάσασθαι βουληθέντ αὐτήν. καὶ Μυρτίλον Πέλοψ ἀπὸ τ ἅρματ ὠθεῖ ἐς τὸ πέλαγ. αὐτὸς δὲ ἡνιοχήθη τὸ μὴ πέλαγ Μυρτῶων ἀπὸ τ Μυρτίλου. ὁ Πέλοψ δὲ πληξίππ ἵκετο ἐκληθη διὰ τὴν ὁδὸν τὸς ἵππους αὐτεργίαν. αὐτὰρ ὁ αὖτε Πέλοψ.] ὁ δὲ Πέλοψ πάλιν ἐδωκεν αὐτὸ τῷ Ἀτρεῖ. Πέλοψ ἐκ ὁρωτέρας γυναικὸς ἔχων παῖδα Χρύσιππον ἐγκρύψ Ἱπποδάμειαν τὴν Οἰνομάου. ἐξ ἧς ἐκανῶς ἐπαιδοποίησεν. Ἀγαπομένη δὲ ὑπ' αὐτ σφέρα τ Χρυσίππου, ἐπιφθονήσαντες ἤ τι μητρυιὰ ἢ οἱ παῖδες μή πως καὶ τὰ σπῆπτρα αὐτῷ ἐκαταλήψη, θανάτου ἐπεβάλευσαν Ἀτρεῖ καὶ Θυέστῃ οἱ ὁρισθύτατοι τῶν παίδων αὐτῷ. αὐορεθέντ ὅμ τ Χρυσίππου, Πέλοψ ἐπιγνοὺς, ἐφυγάδευσε τὸς αὐτόχειρας δὲ σφαγῆς γενομένης παῖδας. ἐπαρασάμενος αὐτοῖς καὶ τῷ γένει δὲ αὐτ αὐαρεθῆναι. οἱ μὲ ὖν ἄλλοι ἀλλαχῆ ἐκπίπτουσι δὲ ὑίσης. τελευτήσαντος ἦ τ Πέλοπ, Ἀτρεὺς κατὰ τὸ πρεσβύτερον σὺν στρατῷ πολλῷ ἐλθὼν ἐκράτησε τῶν τόπων. ἰσορρ Ἐλλανίκος. πολύαρνι.] πολυβρέμμονι, πλουσίῳ. Ἀτρεὺς ὁ Πέλοπος βασιλεύων δὲ Πελοποννήσου, ὕστερον ποτὲ ὅτι αὐ πάλιν ἐν τοῖς ποιμνίοις αὖτ γεννηθῆ. ἔτο Ἀρτέμιδι θῦσαι, γεννηθέσης δὲ αὐτῷ χρυσῆς ἀρνὸς, δὲ συχῆς μετημέλησεν καὶ λαβόρξας αὐτὸν εἰς λαρνακα ἐφύλαττε. μίγα δέ τι φρονῶν ὑδὲ τῷ κτήματι ἰωμπάζει κατὰ τὸν ἀγοραῖ. αἰὶ ὑμνον ἦ ὑδὲ τότῳ θύεσθω, φασὶν ὑπειλοῦντα ὡς ὄλῶντα, θῦσαι Ἀρτέμῃ ἐκλεῖσαι αὐτῷ τὸ λιτῆμα. λαβόντα δὲ αὐτεπῇ τῷ ἀδελφῷ. ὡς ὁ δὲ ὀντος ποδὶ τ τοιότ ποιμπάζει. αὐτὸς δὲ ἔλεγεν ἐν τῷ πλήθει δεῖν καὶ τὸν βασιλέαν ἔχειν τὸν τὸν χρυσοῦν ἄρνα ἔχοντα. τοῦτο δὲ ὁμολογοῦντ καὶ Ἀτρέως, Ζεὺς Ἑρμῆ πέμπει πρὸς Ἀτρέα συνθέσθαι λέγων ποδὶ δὲ βασιλείας. καὶ ἁπλῶ τὰ ποδὶ δὲ αὐτολῦς. διότι μέλλει ποιεῖσθαι τὴν ἐναντίαν ὁδὸν ὁ ἥλιος. συνθεμένου δὲ ποδὶ τούτῳ ὁ ἥλιος τὴν δύσιν εἰς ἀνατολὰς ἐποιήσατο. ἔθεν ἐκ μαρτυρήσαντος τοῦ Διὸς τὸν Θυέστου πλοκεξίαν, τὴν βασιλείαν Ἀτρεὺς παρέλαβε. καὶ Θυέστῃ ἐφυγάδευσεν.

αὐταὶ

Ὀτρυνέουσι ἰόντα Διὸς ἄγγελος. οἳ δ' ἀγέροντο.
Τετρήχει δ' ἀγορὴ, τὸ δ' ἐσοναχίζετο γαῖα
λαῶν ἱζόντων, ὅμαδος δ' ἦν, ἐννέα δὲ σφέας
Κήρυκες βοόωντες ἐρήτυον, εἴποτ' ἀϋτὴ 15
Σχοίατ', ἀκτύσειαν δὲ διοτρεφέων βασιλήων
Σπουδῇ δ' ἕζετο λαὸς, ἐρήτυθεν δὲ καθέδρας
Παυσάμενοι κλαγγῆς. ἀνὰ δὲ κρείων Ἀγαμέμνων
Ἔστη σκῆπτρον ἔχων τό, μιν Ἥφαιστος κάμε τοὔχανε
Ἥφαιστος μὲν δῶκε Διΐ Κρονίωνι ἄνακτι.
Αὐτὰρ ἄρα Ζεὺς, δῶκε διακτόρῳ Ἀργειφόντῃ.
Ἑρμείας δὲ ἄναξ, δῶκε Πέλοπι πληξίππῳ.
Αὐτὰρ ὁ αὖτε Πέλοψ, δῶκ' Ἀτρεῖ ποιμένι λαῶν,

Ἀτρεὺς δὲ θνήσκων, ἔλιπε πολύαρνι Θυέστ.
Αὐτὰρ ὁ αὖτε Θυέστ, Ἀγαμέμνονι λεῖπε φορῆναι,
Πολλῇσι νήσοισι καὶ Ἀργεῖ παντὶ ἀνάσσειν.
Τῷ, ὀχ ἑρεισάμενο, ἔπεα πτερόεντα προσηύδα.
Ὦ φίλοι ἥρωες Δαναοὶ, θεράποντες Ἄρηος,
Ζεὺς μέγα Κρονίδης ἄτη ᾠδέλησε βαρείῃ.
Σχέτλιος, ὃς πρίν μοί γε ὑπόσχετο, καὶ κατένευσεν,
Ἰλιον ἐκπέρσαντ' εὐτείχεον, ἀρηρέμεν αὖτε.
Νῦν δὲ κακὴν ἀπάτην βουλεύσατο, καί με κελεύει
Δυσκλέα Ἄργος ἱκέσθαι, ἐπεὶ πολλοὺς ὤλεσε λαούς.
Οὕτω πῃ Διΐ μέλλει ὑπερμενεῖ φίλον εἶναι,
Ὅς δὴ πολλάων πολίων κατέλυσε κάρηνα,
Ἠδὴ ἔτι καὶ λύσει, τῷ γὰρ κράτος ὑπὲρ μέγιστον,
Αἰσχρὸν γὰρ τόδε γ' ὀπίσσω καὶ ἐσομένοισι πυθέσθαι,
Μᾶψ ὅτω τοῖον δὴ τοσσον δὴ τε λαὸν Ἀχαιῶν,
Ἀπρηκτον πόλεμον πολεμίζειν, ἠδὲ μάχεσθαι
Ἀνδράσι παυροτέροισι. τέλος δ' ὅπῃ τι πέφαται.
Εἴπερ γάρ γ' ἐθέλοιμεν Ἀχαιοί τε, Τρῶές τε,
Ὅρκια πιστὰ ταμόντες ἀριθμηθήμεναι ἄμφω,
Τρῶας μὲν λέξασθαι ἑφέστιοι, ὅσσοι ἔασιν,
Ἡμεῖς δ' ὖ δεκάδας διακοσμηθεῖμεν Ἀχαιοί,
Τρώων δ' ἄνδρα ἕκαστον ἐλοίμεθα οἰνοχοεύειν,
Πολλαίων δεκάδες δ' ἀεροίατο οἰνοχόοιο.
Τόσσον ἐγὼ φημι πλέας ἔμμεναι υἷας Ἀχαιῶν
Τρώων, οἵ ναίουσι πόλιν. ἀλλ' ἐπίκουροι
Πολλέων ἐκ πολίων ἐγχεσπαλοι ἄνδρες ἔασιν,
Οἵ με μέγα πλάζουσι, καὶ οὐκ ἐάσ' ἐθέλοντα
Ἰλιὰς ἐκπέρσαι εὐναιόμενον πτολίεθρον.

Ἔννεα

ωὐτὰρ ὁ κῦτε βύεσ'.] αὐτὶ τ Θυέστης δὲ λιατέλιπε θνήσκων Ἀγαμέμνονι τὸ σκῆπτρον. Ἀρέως βασιλεύων δὲ Πελοποννήσου. ἔχων ἐκ Κρεούσης δὲ † ἦ ὥς τινες Ἀερόπης δὲ † Ἀγαμέμνονα καὶ Μενέλαον. μέλλων ἦ τελευτᾶν τὸν βίον σπεισάμενος πρὸς τὸν ἀδελφὸν τὴν ἐχθραν, παραδίδωσιν αὐτῷ τὴν βασιλείαν. ἵνα Ἀγαμέμνονι καθαρεύοντι ἀπολῶ. ὁ δὲ πιστῶς ποιήσας ἀπώλεσεν. φορῆναι.] φέρειν. βαστάζειν. πολλῶν.] πολλῶν. ἐστι δὲ ὁ ῥόπτ ἐπέκτασις ἰδιωτ Ἰάονων. πολίων.] πόλεων. κάρηνα.] ἀκροπόλεις. ἦ δ' βασίλεια. ἠδὲ ἔτι.] ἦ ἔτι. πράτος.] ἰσχύς, δύναμις. αἰσχρὸν γὰρ τὸ δ' ἐγ' ἐξίν.] ἀεισθῆς γὰρ ἔτό ἐστιν. ἐσομένοισι.] μεταγενεστέροις. πυθέσθαι.] ἀκοῦσαι, μαθεῖν. μάψ.] μάτην. τοιόνδε.] τοιοῦτον τῇ ἀρετῇ. τοσσόν δε.] ἠδὲ τοσοῦτον πλῆθ. ἄπρηκτον.] ἄπρακτον, ἀτέλεστον. πολεμίζειν.] πολεμεῖν. τὸ δὲ τοιοῦτον σχῆμα παρωνομασία καλεῖται. παυροτέροισι.] ὀλιγωτέροις. οἱ μὲ Τρῶες χωρὶς τῶν ἐπικούρων ἦσαν ἀριθμῷ μυριάδες ἑ. τῶν δὲ Ἑλλήνων τὸ πλῆθ, τινὲς μέν φασι μυριάσθαι δώδεκα. ἄλλοι δὲ ἑπτ. φάσαν.] ἐφεύρ. ἔπορ γάρ κε.] καὶ πορ γάρ. ἐθέλοιμεν.] βουληθεῖμεν. ὅρκια πιστά.] πιστὰ ὅρκους. ταμόντες.] διὰ τοῦτο μὴν ποιησάμενοι. ἀριθμηθῆμεναι.] ἀριθμηθεῖναι. ἄμφοτροι.] οἱ Τρῶες καὶ οἱ Ἕλληνες. λέξασθαι.] ἐπιλέξασθαι. ἦ κατασιθμήσασθαι. ἑφέστιοι.] ἔνοικοι. ὁ ἐστιν αὐτόχθονες, πολῖται. ὅσσοι.] ὁπόσοι. ἔασιν.] ἦσίν, ὑπάρχουσι. διακοσμηθῆμεν.] διατάχθείημεν. δεκάδας.] αὐὰς διακοσίας. ἑλοίμεθα.] λάβοιμεν. οἰνοχοεῖν.] πιρναῖν. πολλαίων.] πολλὰς αὖ. δεκάδες.] ἐυθεσίαι γίνοιντο. οἰνοχόοιο.] οἰνοχόῳ. τόσσον.] τοσοῦτον. φημί.] ὑπολαμβάνω. πλέας.] πλέονας. ἔμμεναι.] εἶναι. οἱ ναίουσιν.] οἵ τινες οἰκοῦσιν ἴλιον. ἐπίκουροι.] οἱ ἀπὸ ξένης χώρας σύμμαχοι τῶν πολεμουμένων καὶ βοηθοῦντες. πολλέων ἐκ πολίων.] ἐκ πολλῶν πόλεων. ἐγχεσπαλοι.] οἱ τὰ ἔγχη πάλλοντες καὶ κινοῦντες τὰ δόρατα. πολέμοιοί. ἐσομ δὲ αὐτὰ πρὸ τῆ ἀφίσεως, μήποτε ἄρα ἦμ πλαδύντα. μίγα.] μεγάλως, συγκοπὴ ὁ τρόπ. πλάζουσι.] πλανῶσι καὶ ἀπάγουσι τῆ πολλῆς προθυμίας. ἐκ ἐάσιμ.] ἐ συγχωροῦσι βουλόμενον. ὁ ἐστ δυνάμενον. Ἰλὰς ἡ διάλεκτος. εὐναιόμενον.] καλῶς. οἰκούμενον. πτολίεθρον.] πόλισμα, πόλιν. βεβαάσῃ.] παραβεβήκασι, παρεληλύθασι. δῆρα.] δήρατα,

ξύλα. σίσυπε.] διασίσυπται ἐκ τ' χρόνου. σπαρτὰ.] σπαρτία, σχοινία. κέλευται.] διακέλευται σαφέντα ἄλλα δὴ. ἄλοχοι.] γυναῖκες. νήπια.] μικρά. εἵαται.] καθέζονται. ἐν μεγάροισι.] ἐν τοῖς οἴκοις. ποτιδέγμεναι.] προσδέχεσθαι. ὀρθῶς κατ' ἐπιφάτισιν τ' Θύλεος. τὸ ϗ ποτὶ Δωρικόν. ἄμμι δέ.] ἐν ἡμῖν ϗ, Αἰολικῶς. ὄργον.] ἡμῶν ὁ πόλεμος. αὖτως.] ὡσαύτως, ὁμοίως ϗ ματαίως. ἀπράαντον.] ἀτελέωτον, ἀπλήρωτον. ἕ ἕνεκα.] ἕ τινος χάριν. λίσσο.] ἐνταῦθα. ἱκόμεθα.] παραγινόμεθα. πειθώμεθα.] αὐτὶ τ' πειθόμεθα. ἀλλ' ἄγε.] ἀλλὰ λίσσο. εὐρήσομεν.] παρεύρήσομεν, λάθωμεν. ὄφρα νε.] λιταράξε. μετὰ πληθυ.] ἐν τῷ πλήθει. ὅσοι οὐ βουλῆς ἐπάκουσαν.] ὅσοι τ' προβουλεύματος οὐκ ἤκουσαν τ' ἡγεμόνων. κινήθη δ' ἀγορὴ ὡς κύματα μακρά.] αὐτὶ τ' μεγάλα. ἔστι δὲ παραβολὴ τὸ σχῆμα. παραβολὴ δέ ἐστιν ὁμοιωματικὴ πράγματος τοῖς ὑποκειμένοις παράθεσις πρὸς λύλωσιν ἐναργεστέραν. κινήθη.] ἐκινήθη, ἐταράχθη.

πόντε Ἰκαρίοιο.] τ' Ἰκαρίς πελάγους. κεκλημένης οὕτως, ἀπὸ Ἰκαρίου τ' Δαιδάλου παιδὸς πεσόντος ἐς αὐτό, ἢ ἀπολομένης οὕτως. Μετὰ τὴν Πασιφάης πρὸς τὸν ταύρου μίξιν, Δαίδαλος συλλαβούσης τὴν Μίνωος ὀργὴν πτερωτὸς σὺν Ἰκάρῳ τῷ υἱῷ ἐκ Κρήτης ἐφέρετο. ἐκατεπεσόντος δὲ τοῦ παιδός, τὸ ὑποκείμενον πέλαγος, Ἰκάριον μετωνομάσθη. ὁ μέν τοι Δαίδαλος διαπτὰς ἐς Κάμικον τ' Σικελίας, καὶ τὸν ὑὸν αὐτοῦ ἐκπεσόντα, τὴν μὲν ἐκεῖ ἐκόμισεν ἐμὲ ἐκεῖσε παρὰ τᾶς Κωκάλου θυγατρὸς ὑφ' ὧν ὁ Μίνως ἤκουσεν ἐπ' ἀναζητήσει τοῦ Δαιδάλου, ἀπολυόμενος. καταχυθέντος αὐτοῦ ζητοῦ ὕδατος. ἱστορεῖ Φιλοστέφανος καὶ Καλλίμαχος ἐν αἰτίοις. Εὖρος.] ὁ ἀπὸ ἀνατολῆς πνέων ἄνεμος. ὅς τις καὶ ἀπηλιώτης καλῆται. Νότος δὲ ὁ ἀπὸ μεσημβρίας. ὦρορε.] διήγειρε, λιτάραξε. ἐπαΐξας..] ἐφορμήσας. νεφελάων.] νεφελῶν. κινήσει.] φυσήσει.

Ἐννέα δὴ βεβάασι Διὸς μεγάλου ἰωὴ τοί.
Καὶ δὴ δοῦρα σέσηπε νεῶν, καὶ ἀπάρτια λέλυται.
Αἱ δὲ πὰρ ἠμέτεραί τ' ἄλοχοι, καὶ νήπια τέκνα,
Εἵαται ἀμφὶ μεγάροις ποτιδέγμεναι, ἄμμι δὲ θάρσος
Αὖτως ἀκράαντον, ὅ εἵνεκα δὴ δεῦρ' ἱκόμεσθα.
Ἀλλ' ἄγε θὴ ὡς ἂν ἐγὼ εἴπω, πειθώμεθα πάντες,
Φεύγωμεν σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν,
Οὐ γὰρ ἔτι Τροίην ἑρύσσομεν εὐρυάγυιαν.
Ὡς φάτο, τοῖσι δὲ θυμὸν ἐνὶ στήθεσσιν ὄρινε
Πᾶσι μετὰ πληθὺν, ὅσοι ὁ Βελὴν ἐπάκουσαν.
Κινήθη δ' ἀγορὴ, ὡς κύματα μακρὰ θαλάσσης
Πόντου Ἰκαρίοιο, τά, μὲν τ' Εὖρός τε, Νότος τε
Ὄρορ' ἐπαΐξας πατρὸς Διὸς ἐκ νεφελάων,
Ὡς δ' ὅτε κινήσῃ Ζεφυρὸς βαθὺ λήϊον ἐλθὼν
Λάβρος ἐπαιγίζων, ἐπὶ τ' ἠμύει ἀσταχύεσσιν,
Ὡς τῶν πᾶσ' ἀγορὴ κινήθη. τοὶ δ' ἀλαλητῷ
Νῆας ἐπεσσύοντο, ποδῶν δ' ὑπὸ κονίη
Ἴστασ' ἀειρομένη. τοῖσι δ' ἀλλήλοισι κέλευον
Ἅπτεσθαι νηῶν, καὶ ἐλκέμεν εἰς ἅλα δῖαν,
Οὖρούς τ' ἐξεκάθαιρον. ἀϋτὴ δ' ἐρανὸν ἶκεν
Οἴκαδ' ἰεμένων, ὑπὸ δ' ἤρυον ἕρματα νηῶν.
Ἔνθά κεν Ἀργείοισιν ὑπὲρμορα νόστος ἐτύχθη,
Εἰ μὴ Ἀθηναίην Ἥρη πρὸς μῦθον ἔειπεν.
Ὤ πόποι Αἰγιόχοιο Διὸς τέκος Ἀτρυτώνη.
Οὕτω δὴ οἶκόν δε, φίλην δὲ πατρίδα γαῖαν,
Ἀργείοι φεύξονται ἐπ' ὄυρεα νῶτα θαλάσσης
Καδδ' ἐκὼν

καδδ' ἰέκην λίποιεν.] τὸ ἐξῆς καταλίποιεν δ' ἂν ναύκτισιν οἱ Ἕλληνες τοῖς Τρωσὶ τὴν Ἑλένην ἐνταῦθα. σὺν ἀλλήλοις, ναύκτισιν. ἀργέϊλω.] τὴν Πελοποννησίαν. ἡ γὰρ λακωνικὴ μέρος ἦν πέμπτον τῆς Πελοποννήσου. ἕ ἕνεκα.] ὃς ἕνεκα, ὃς χάριν. ἀπόλοντο.] ἀπώλοντο, ὑφανίδησαν. φίλης ἀπό.] πόρρωθεν τῆς προσφιλεστάτης πατρώας αὐτῶν γῆς. ἀλλ' ἴθι.] ἀλλ' ἄπιθι. μετὰ λαὸν.] ζητὰ τὸν τῶν Ἑλλήνων ὄχλον. ὄρωρε.] ὑσύχαζε, μένε. ἀγανοῖς.] πρὸ σηνέσι, πραέοις. ὀρύτυε.] κώλυε, κάτεχε. φῶτα.] αὐθρα. μὴ δὲ ἕα.] μὴ δὲ συγχώρει ἄλλα δ' ἐλκέμεν.] ἀς τὴν θάλασσαν καθέλκειν.

ἀμφιελίσσας.] ἀμφοτέρωθεν τᾶς λίσπας ἐλαννομένας. ἢ ἀς ἑκάτερα τὰ πλευρὰ στρεφομένας. οὐδ' ἀπίθησε.] ἐδὲ πειράσατο. γλαυκῶπις.] γλαυκὸ φθαλμος, ἰσχὺν, φόβον δὲ, ἢ ἐκπληκτικὴν τὴν πρόσοψιν. αἰξασα.] ὁρμήσασα. παρούνων.] ἀκρωτηρίων. σύργων.] ἐκατέλαβε. Διὶ μῆτιν ἀτάλαντον.] τῷ Διὶ τὴν σύνεσιν ἴσον. ἑπτα.] μεταλλῶτα. ἐσαῶτα.] ἐσῶτα. ἐϋσέλμοιο.] σὺν καθέδραι. σέλματα γὰρ αἱ τῶν ἱεραντόντων καθέδραι. ἄπτετο.] ἤπτετο. ἐπέμιν.] ἐπῆλθ αὐτὸν. ἄχος.] λύπη. ἴκανε.] κατέλαβε. ἀγχοῦ.] ἐγγύς, πλησίον. ἐσαμένη.] ἐλθοῦσα. Διογενὲς.] ἀπὸ Διὸς ἔχον τὸ γένος συγγενέστατε. Λαερτιάδη.] Λαέρτου παῖ Ὀδυσσεῦ. πολυμήχανε.] πολύβουλε, συνετέ. ἐν νήεσσι.] ἐν ταῖς ναυσί.

πολυκλήϊσι.] πολυκαθέδροις. πεσόντες.] ἐμπεσόντες, ἐσελθόντες. μή δὲ τ' ὀρώρῃ.] μηδὲ συγχώρῃ. ξυνέηκε.] συνῆκεν, ἤκουσεν. ὄπα.] φωνὴν. φωνησάσης.] ἐπόσης. βῆ δὲ θέμ.] ὥρμησε δὲ βέχμ. ἀπὸ ϗ χλαῖναν.] ἀπελύσατο ϗ τὴν χλανίδα, ἥτε τὸ μὴ ἐμποδίζεσθαι αὐτὴν, σπασάμενος ὑπὸ τοῦ πλήθους τῶν ἱματίων. ἐκόμισεν.] ἐκόμισεν, ἐβάστασεν. ἐστέον δὲ ὅτι ἕτερός οὗτός ἐστιν Εὐρυβάτης, καὶ ἕτερος ὁ Ἀγαμέμνονος. οὗ ἐμνήσθη ἐν τῇ α'. ἦσαν γὰρ τῶν βασιλέων ἓξ ἴδιοι κήρυκες.

ὀπύιζε.] ὠκοδόμει. αὐτὸς δ' Ἀτρέως Ἀγαμέμνονος αὐτίς ἐλθών.] ὁ Ὀδυσσεὺς φησὶ παρὰ τ' Ἀγαμέμνονος λαμβάνειν τὸ σκῆπτρον. οὐκ ἁπλῶς δὲ τοῦτο ποιεῖ, ἀλλ' ἵνα δοκῇ σὺν τῇ τοῦ βασιλέως γνώμῃ πρατεῖν αὐτός. αὐτίς.] ἐξαυτίας. ἄφθιτον.] ποικιλικῶς τὸ πλάσας. τὸ μὲ ἀθανάτου ὕδατι ἐμφύχων οἱ φιλόσοφοι τάασι. τὸ δὲ ἄφθιτον ἐπὶ ἀψύχων. σὺν τῷ.] σὺν τούτῳ τῷ σκήπτρῳ διηνυόντι. ἔξοχον.] ἐξέχουσα, βασιλία. νιχέη.] παλαλάβοι. ἀγανοῖς]πρωσηνέσι, πράοις. ὀρτήσασκε.] κατήχει, ἐκώλυε. ἀλαμόνι.] αὕτη ἡ λέξις τ' μέσων ἐξῆ. δηλοῖ ἢ ἀμφότερα. ὅτε μὲ, ὡδὶ ἐπαίνῳ λεγόμενον. οἷον θέε μακάρεε. μέγιστε ϗ ἀγαθὲ καὶ ἄριστε. ὅτε δ' ὡδὶ ψόγῳ. οἷον ἄφρον καὶ ματαῖε. ἢ χέριστε καὶ φαυλότατε. μὲ δὲ φησὶ διὰ πρόσφυ. ὅσονε λίγε ϗ ἐατὰ θεόν. ὅτε δὲ αὐθρώπῳ, ὑπερέχοντα ἀνθρωπον. ὡς ἁπλόα, ὕτ' ονα μὲ θεοῦ, ὑπερέχοντα ϗ ἀνθρώπου. ἔσε ἔοικεν.] ἔσικε πρέπῃ ὦ βέλτιστε. κακὸν ὡς.] ὡς κακὸν καὶ ἀνάνδρου. δειδίσσεσθαι.] σὺλαβεῖσθαι, φοβεῖσθαι. αὖδα.] σύ. κάθησα.] κάθου. ἴδρυε.] καθίζεσθαι κέλευε. σάφα.] σαφῶς, ἀκριβῶς. οἶσθ.] ὁποῖός νόος.] νόος, διάνοια. ἀγλί τ' ἐτι ἂν οἴδαμεν ἴ βέλτ' ὧδέ φυγὼν ἡμῖν λίγων. ἴαχεν.] ἴαχίσε ϗ. ἴαχε δ'.] ἴαχίσε ϗ. βλάψῃ. ἀνώσαμεν.] ὠκόσαμεν.

Καδδ' ἐκὼν σύχωλῶ περιάμεν καὶ Τρωσὶ λίποιεν
Ἀργείῳ Ἑλένῃ, ἕς εἵνεκα πολλοὶ Ἀχαιῶν
Ἐν Τροίῃ ἀπόλοντο φίλης ἀπὸ πατρίδος ἄσης.
Ἀλλ' ἴθι νῦν μετὰ λαὸν Ἀχαιῶν χαλκοχιτώνων,
Σοῖς δ' ἀγανοῖς ἐπέεσσιν ἐρήτυε φῶτα ἕκαστον,
Μὴ δὲ ἔα νῆας ἅλαδ' ἑλκέμεν ἀμφιελίσσας.
Ὡς ἔφατ'. ὀδὶ ἀπίθησε θεὰ γλαυκῶπις Ἀθήνη.
Βῆ δὲ κατ' ὀλύμποιο καρήνων αἶξ ἀΐσσα.
Καρπαλίμως δ' ἵκανε θοὰς ἐπὶ νῆας Ἀχαιῶν.
Εὗρε πεπὶ τ' Ὀδυσῆα Διὶ μῆτιν ἀτάλαντον
Ἑστὸτ', οὐδ' ὅγε νηὸς ἐϋσέλμοιο μελαίνης
Ἅπτετ', ἐπεὶ μιν ἄχος λιρὰ δίηνε, καὶ θυμὸν ἴκανεν.
Ἀγχοῦ δ' ἰσταμένη, πρόσφη γλαυκῶπις Ἀθήνη.
Διογενὲς Λαερτιάδη πολυμήχαν' Ὀδυσσεῦ
Οὕτω δὴ οἶκόν δε, φίλην δὲ πατρίδα γαῖαν
Φεύξεσθ' ἐν νήεσσι πολυκλήϊσι πεσόντες,
Καδδ' ἐκὼν σύχωλῶ περιάμεν, καὶ Τρωσὶ λίποιτε
Ἀργείην Ἑλένην, ἕς εἵνεκα πολλοὶ Ἀχαιῶν
Ἐν Τροίῃ ἀπόλοντο φίλης ἀπὸ πατρίδος ἄσης;
Ἀλλ' ἴθι νῦν μετὰ λαὸν Ἀχαιῶν, μή δὲ τ' ἔρωε.
Σοῖς δ' ἀγανοῖς ἐπέεσσιν ἐρήτυε φῶτα ἕκαστον
Μὴ δὲ ἔα νῆας ἅλαδ' ἑλκέμεν ἀμφιελίσσας.
Ὡς φάθ'. ὁ δ', ξυνέηκε θεᾶς ὄπα φωνησάσης.
Βῆ δὲ θέειν, ἀρὰ δὲ χλαῖναν βάλε. τὴν δ' ἐκόμισε
Κήρυξ Εὐρυβάτης Ἰθακήσιος, ὅς οἱ ὀπήδει.
Αὐτὸς δ' Ἀτρεΐδεω Ἀγαμέμνονος αὐτίος ἐλθὼν,
Δέξατο οἱ σκῆπτρον πατρώϊον ἄφθιτον αἰεί,
Σὺν τῷ, βὰς ἴβη νῆας Ἀχαιῶν χαλκοχιτώνων.
Ὃν τινα μὲν βασιλῆα, καὶ ἔξοχον ἄνδρα κιχείη,
Τὸν δ' ἀγανοῖς ἐπέεσσιν ἐρητύσασκε πιφαύσκων.
Δαιμόνι', ὄ σε ἔοικε κακὸν ὡς δειδίσσεσθαι.
Ἀλλ' αὐτός τε κάθησο, καὶ ἄλλους ἵδρυε λαούς.
Οὐ γάρ πω σάφα οἶσθ' οἷος νόος Ἀτρεΐδαο.
Νῦν μὲν πειρᾶται, τάχα δ' ἰψεται υἷας Ἀχαιῶν.
Ἐν βουλῇ δ' ὃ πάντες ἀκούσαμεν οἷον ἔειπε.
Μή τι χολωσάμενος, ῥέξῃ κακὸν υἷας Ἀχαιῶν.

ἐκέσχημεν. ῥίξῃ.] ποιήσῃ, πραξῃ. δυμὸς.] νοῦ ὀργή. διοτρεφέων.] ἢ σοῦ Διὸς τῇ γνώμῃ τεθραμμένων. φιλῇ ἢ ἐ μητίετα Ζεύς.] φιλῇ ἢ αὐτὴ ὁ βουλευτικώτατος Ζεύς. ὃν δ' αὖ.] ἄν τινα ἢ πάλιν. δήμιε.] δημοτικὸν. ἢ πλήθους βοώντα.] βοῶντα, λοιδοροῦντα. ἰφθίοροι.] ἰκατάλαβοι. ἐλάσσειεν.] ἐπλήτ ειν. δμωσὶ δάσσηται.] ἢ ἠτείμησε μεθ' ὕβρεως. δαμόνι.] ἐνταῦθα ἰφ' ὕβρει, αὐτὶ τῆ ἰκανὸς λαμὸν, φαυλότατε. ἀρτέμιας ἦσο.] μεθ' ἡσυχίας ἰαθεὶς. οἳ σέο.] οἵτινες σε. φέρτεροι.] ἰρείσσονες. ἀπτόλεμος.] ἄπειρος πολέμου, ἄθλιος. ἀνάλκεις.] ἀδειλοὶ, ἀσθενεῖς. ἀναρίθμιος.] ἢ ἰκατασιθμήμενος. βαλῇ.] τετύ σειν ἐκπλησίαν. ἢ μὲν πως.] οὐ μᾶλλον, οὐδαμῶς πως. οὐκ ἀγαθὸν.] αὐτὶ τοῦ οὐ ἰκαλὸν. πολυκοιρανίη.] πολυαρχία. ἰμοίρανος.] βασιλεὺς, ἡγεμών. οὕτω γοῦν, ὅτι ἡ Πρόσωπα ἀρχὴ διὰ δὶ μοναρχίας μεγάλη ἔσῃ. καὶ οἱ Αθηναῖοι δὲ ὁπότε πλέονας παρεῖχον τῷ στρατεύματι ἡγεμόνας, ὡς ἐν Αἰγὸς ποταμοῖς τοὺς ἑνέα, ἐστῶντο· ὁπότε δὲ δὶ ἑνὸς ἐποιοῦντο τοὺς ἀγῶνας, ἑνίπων. ὥσπερ ἐν τῇ Κνίδῳ, ὁ Κόνων νικῶν τὸ τῶν Πελοποννησίων στρατόπεδον. ὅπου γε καὶ τὰ σώματα ἡμῶν ἀ ἦσαν ἐξ ἑνὸς στοιχείου, οὐδέποτε ἂν ἤλγουν. οὔτε γὰρ ἰῷ ὑφ' οὗ ἐλυήσειαν ἐν ὕντα. ὥσ φησιν ὁ Ὁμ Ισπο πράτης. καὶ ἐν ἑτέρῳ δὲ πάλιν ὁ αὐτὸς αὐὴρ, πασῦ τὸ πολὺ τῇ φύσει πολέμιον τὰ γὰρ πολλὰ ἀλλήλοις αὐϊσάμενα, ὥσπερ πόλεμον ἐπιφέρει, ἐφ' οὗ φθορά.

ἀγκυλομήτεω.] ἀγκυλομήτης ὁ Κρόνος ἐκλήθη, ἤτοι ἀγκύλα καὶ σκολιὰ βουλευσάμενος ἰκατὰ τὸ πατρὸς καὶ τῶν παίδων. ὥς φησιν Ησίοδος. ἢ ἐπὶ γὰρ τὰ ἀλλοῖα τῇ κρῆπι ἀπέτεμε τοὺς δὲ κατέπιεν. ἢ ὁ τὰ ἀγκύλα καὶ δυσχρῆ πράγματα, τῇ μήτι πορίζων, ἰερόνους τὶς ὢν καὶ τέλεος νοῦς. ὥς φησι καὶ ὁ Δη μώ. ἀγκυλομήτης ὁ ἐν τοῖς σκολιοῖς πράγμασιν συμήχανος. δηλοῖ δὲ τὸ ἀγκύλον παρὰ τῷ Ποιητῇ ῥία. τὸ σκολιὸν ἰκατὰ βούλευσιν. ὡς ὅταν λέγῃ ἀγκυλομήτην τὸν Κρόνον. καὶ τὸ ποικιλόβουλε ἰκατὰ σχῆμα, ὡς τὸ, ἀγκύλα ἰώπλα. ἢ τὸ ἰσχυρὸν, ὡς τὸ, ἀγκύλον κῦμα. ὡς ὄγε.] ὅτως μὴ δὴ ἔτως. λοιρανέων.] ἀιατάσασθαι, διδρόχμενον, καὶ τὸ τῶ λοιρανοῦ δρᾶγμα ἐπιτελῶν. δίεπε.] δίετασε, διώκει. ἑπισσύοντες.] ἤρχοντο, ἐπικολθοῦν. ἀλαλήτῳ.] σιὼ θορύβῳ. νεῶν ἄπο.] ἀπὸ τῶν πλοίων. ἠχῇ.] μετὰ ἤχε καὶ ἰαχυῆς. βρέμετ'.] ἠχεῖ, ἰατυπεῖ. σμαραγεῖ.] ἤχει. ὡς ὅτε λῦμα.] ἔτο πρὸς τὴν κίνησιν, ἢ ἢ βρομὰν πρὸς τὴν ἀπήχησιν. Θρῃκίσσης δ' ἔτι μᾶν Θ.] ὁ ἢ Θρῃκίσσης μὰν Θ. Οἰνῇ ἀμειλήσαντι δὲ Αρτέμιδι Θ θυσίῃ, ἵνεκα ἡ Θεὸς ἀρτιοδᾶσα, ἐπεμψε τὴν πόλεμ σιῶν ἄγειον, ἐφ' ὃν ἦλθε στρατιὰ τῶν ἀρίστων δὲ Ελλάδι Θ ἐπειδὴ ἐλπαίνετο τὴν χώραν, ὥς φησιν αὐτὸς ὁ Ποιητὴς ἐν τῇ Γ. μεθ' ὧν ἐῶν καὶ ὁ Θρῃκίσσης, ὃς ἀπολωθεὶς ἰακτέλειψε τὴν παραφυλακὴν ἐφ' ᾗς ἐῶν, ἢ ἀπῆλθεν ἐπί τινα τόπον ὑψηλὸν τὴν σωτηρίαν θηρώμενος. ἀνειδιζόμενος ἢ ὑπὸ Μελεάγρε ἰδιώπετο. καὶ ἰατὰ ἰρημῶν ποιῶν, τοιοῦτος ἐγένετο, οἷον Ομηρος αὐτὸν παρίσησιν. ἱστορεῖ Εὐφορίων. Οἰνεὺς καὶ Αγριος ἀδελφοί ὡς λέγει ὁ Ποιητὴς ἐν τῇ θ'. ἀλλ' ὁ μὲ Οἰνεὺς ἐῶν πατὴρ Μελεάγρου. ὁ δὲ Αγριος Θρῃσίτου. μήτηρ δὲ Θρῃσίτου Δία. ἐρήτηται δὲ διὰ ποίαν αἰτίαν ὁ Θρῃσίτης ἐστράτευσεν ἐς Τροίαν τοιοῦτος ὢν. ῥητέον δ' ὅτι ἦτοι σασιώδης ὢν, ὃν ἀπελέφθη ὑπὸ Θ παρῄδιος. ἢ ὅτι ἰατεπεισόδιον παρῆκτ', πρὸς τὸ ἐκ συνθρωπ πρὸς ἱλαρότητα τὰς ψυχὰς ἀναπαλίσασθαι τ Ελλήνων. ὥσπερ ἡλπῖδα καὶ Ηφαιστος γέλωτος χάριν παρὰ τοῖς θεοῖς ἐν τῇ α'. λαμβάνετ' ἢ παῦ ἐπεισόδιον τῷ Ποιητῇ, ἢ πιθανότητος ἕνεκεν, ἢ χρήσ. ὥσπερ ἔτο νεῶν. ἢ νόσου καὶ ὑψώσεως χάριν. ἀμεῖρεται.] ἄμοιρος ἐν τῷ λέγειν. φλύαρος. ἀνολώα.] ἐθορύβ. ὅσ.] ὅσις. ἦσι.] ταῖς ἰδίαις, ἴαις ἑαυτ. ἤδη.] ἤλῃ, ἐπίσταλο. μάψ.] μάτην. ὃ ἰατὰ λόσμον.] ὃ ἰατὰ τὸ πρέπον, εἰκῆ ως. ἔτ' ἔσῃ, ὃ δικαίως ἐφιλονείκει τοῖς βασιλεῦσιν.

ἀλλ' ὅτι οἱ ἥσατο λοιὸν ἀργεῖοισιν ἐμμεναι.] ἀλλ' ὅπερ αὖ ἐνόμιζεν ὁ Θρῃσίτης αἰσχύνην ὄφλειν, ἢ τὸ γέλωτος πολλὰ ἄξιον ἐφαίνετο τοῖς Ελλησιν. αἰσχρόταλος.] αἰσχρὸ ἴαλος. ὑπὸ Ιλιον.] ἐς τὴν Ιλιον φοιτῶν.] ἴας ὕψις διάστροφος, στραβός. ἐκν.] ἴῶν, ὑπάρχει. χωλὸς δ' ἕτερον πόδα.] χωλὸς ἢ ἴῶν τῷ ἑνὶ τ ποδῶν. τὼ ἢ οἱ ὦμω.] οἱ ἢ ὦμοι αὐ τ. κυρτώ.] κυρτοὶ δηλονότι. συνοχωκότε.] συμπεπωκότες, συνηγμένοι. κύπτ' ὑπερθεν.] ὑπερκάμπτει δέ.

φοξός.]

Θυμὸς δὲ μέγας ὄρνυτο Διοτρεφέος Βασιλῆος.
Τιμὴ δ' ἐκ Διός ἐστι. φιλεῖ δέ ἑ μητίετα Ζεύς.
Τὸν δ' αὖ λήμη τ' ἄνδρα ἴδε, βόωντα τ' ἐφόλοι,
Τὸν, σκήπτρῳ ἐλάσασκεν, ὁμοκλήσασκε τε μύθῳ.
Δαιμόνι' ἄτρεμας ἧσο, καὶ ἄλλων μύθον ἄκουε, 10
Οἳ σέο φέρτεροι εἰσί. σὺ δ' ἀπτόλεμος, καὶ ἄναλκις,
Οὔτέ ποτ' ἐν πολέμῳ ἐναρίθμιος, οὔτ' ἐν βουλῇ.
Οὐ μὰν πως πάντες Βασιλεύσομεν ἐνθάδ' Αχαιοί.
Οὐκ ἀγαθὸν πολυκοιρανίη. εἷς κοίρανος ἔστω,
Εἷς Βασιλεύς, ᾧ ἔδωκε Κρόνου παῖς ἀγκυλομήτεω
Σκῆπτρόν τ' ἠδὲ θέμιστας, ἵνα σφίσι βασιλεύῃ. Νόθος
Ὡς ὄγε κοιρανέων δίεπε στρατόν, οἳ δ' ἀγορήν δὲ
Αὖτις ἐπεσσεύοντο νεῶν ἄπο, καὶ κλισιάων
Ἠχῇ, ὡς ὅτε κῦμα πολυφλοίσβοιο θαλάσσης 20
Αἰγιαλῷ μεγάλῳ βρέμεται, σμαραγεῖ δέ τε πόντος.
Ἆλλοι μὲν ῥ' ἕζοντο ἐρήτυθεν δὲ καθέδρας.
Θερσίτης δ' ἔτι μοῦνος ἀμετροεπὴς ἐκολώα
Ὃς ῥ' ἔπεα φρεσὶν ἧσιν ἄκοσμά τε, πολλά τε ἄλλα,
Μάψ, ἀτὰρ οὐ κατὰ κόσμον ἔερξέμεναι βασιλεῦσιν
Ἀλλ' ὅ, τι οἱ εἴσαιτο γελοίϊον Αργείοισιν
Ἔμμεναι. αἴσχιστος δὲ ἀνὴρ ὑπὸ Ιλιον ἦλθε.
Φολκὸς ἦεν, χωλὸς δ' ἕτερον πόδα, τὼ δέ οἱ ὦμω
Κυρτὼ ὑπὸ στῆθος συνοχωκότε, αὐτὰρ ὑπερθεν 30

φοξός

φοξὸς ἦεν κεφαλήν. ψεδνὴ δ' ἐπεφύκει ἔθειρα.
Ἐχθιστος δ' Αχιλλῆϊ μάλιστ' ἦν, ἠδ' Οδυσῆϊ.
Τὼ γὰρ νεικείεσκε τότ' αὖτ' Αγαμέμνονι δῖῳ.
Ὀξέα λιγυφθόγγως λεγ' ὀνείδεα. τῷ δ' ἄρ' Αχαιοὶ
Ἐκπάγλως κοτέοντο νεμεσσηθέντ' ἐνὶ θυμῷ.
Αὐτὰρ ὅ, μακρὰ βοῶν, Αγαμέμνονα νείκεε μύθῳ.
Ἀτρεΐδη, τέῳ δ' αὖτ' ὠμεμφέα, πηδε χατίζεις
Γλῆαί τοι χαλκοῦ ἰλισίαι, πολλαὶ δὲ γυναῖκες
Εἰσὶν ἐνὶ κλισίῃς ἐξαίρετοι, ἃς τοι Αχαιοὶ
Πρωτίστῳ δίδομεν, εὖτ' ἂν πτολίεθρον ἕλωμεν.
Ἦ ἔτι καὶ χρυσὸν ἄμπδιδύεαι, ὅν κέ τις οἴσει
Τρώων ἱπποδάμων ἐξ Ιλίου ὑός ἄποινα.
Ὃν κ ἐγὼ δήσας ἀγάγω, ἢ ἄλλ Αχαιῶν
Ἠὲ γυναῖκα νέῃ, ἵνα μίσγεαι ἐν φιλότητι,
Ἣν τ' αὐτὸς ἄπο νόσφι κατίσχεαι, ὃ μὲν ἔοικεν
Ἀρχὸν ἐόντα, κανῶν ὧν ἔβασκέμεν υἷας Αχαιῶν.
Ὦ πέπονες, κάκ' ἐλέγχε, Αχαΐδες, οὐκέτ' Αχαιοί,
Οἴκαδέ πορ σὺν νυσὶ νεώμεθα, τόνδε δ' ἐῶμεν
Αὐτοῦ ἐνὶ Τροίῃ γόρα πεσέμεν, ὄφρα ἴδηται,
Ἠ ῥά τί οἱ χ' ἡμεῖς πόσαμιν ὀμύρομεν, ἠὲ καὶ ἀνί,
Ὃς καὶ νῶι Αχιλῆα, ἑὸν μετ' ἀμείνονα φῶτα,
Ἠτίμησεν, ἑλὼν γὰρ ἔχει γέρας αὐτὸς ἀπούρας,
Ἀλλὰ μάλ' οὐκ Αχιλῆϊ χόλος φρεσὶν, ἀλλὰ μεθήμων,
Ἦ γὰρ αὖ Ατρεΐδη, νῶι ὕστατα λωβήσαιο.
Ὣς φάτο, νεικείων Αγαμέμνονα ποιμένα λαῶν
Θερσίτης. τῷ δ' ὦκα παρίστατο δῖος Οδυσσεύς.
Καί μιν ὑπόδρα ἰδὼν, χαλεπῷ ἠνίπαπε μύθῳ,
Θερσίτ' ἀκριτόμυθε, λιγυπρόηξ ἐὼν ἀγορητής,
Ἴσχεο, μηδ' ἔθελ' οἷος ἐριζέμεναι Βασιλεῦσιν,
Οὐ γάρ ἐγὼ σέο φημὶ χερειότερον βροτὸν ἄλλον
Ἔμμεναι,

δίξει καὶ τῇ ἀφῇ μαλακὰ καὶ σύνδυτα. πάκ' ἐλέγχεα.] κακὰ ἀνείδη. Αχαΐδες οὐκέτ' Αχαιοί.] γυναῖκες ἀντὶ τοῦ ἀνδρες. νεώμεθα.] πορευώμεθα. τόν δὲ δ' ἐῶμεν.] ἵστορ δ' ὅ, τ ἐστὶ τ Αγαμέμνονα ἰαταλείψωμεν. γέρα πεσέμεν.] ἵα γέρα. ἢ ἐστι τὰς λείμακας, κατέχειν. ἢ μεταφορὰ ἀπὸ τῶν ἐν γαστρὶ σιτίων. καὶ γὰρ αὐτὰ αὖ μὴ ἱρατηθῇ ἵδρ ὡρισμένου χρόνου, ἀδιεύσεως δὲ ἰαθολικῆς ἀνυσιμεως. οὐ πέπαται. ὄφρα ἴδηται.] ὅπως μάθῃ, ἢ ῥά τί οἱ χ' ἡμεῖς.] ἢ ἆρα τί αὐτῷ καὶ ἡμεῖς. ὀμύρομεν.] ὀμόσαιμώμεν. ἠὲ καὶ οὐκί.] ἢ καὶ οὐδαμῶς. ἑὸ.] ἑαυτοῦ. μέγ' ἀμείνονα.] μεγάλως βελτίονα. φῶτα.] ἀνδρα. ἀλλὰ μαλ' οὐκ Αχιλῆϊ χόλος φρεσίν. ἀλλὰ παῦρ ὁ Αχιλλεὺς ἄχολος δὲ καὶ ἀόργητος ὑπάρχει. μεθήμων.] ἀμελὴς. ἠνίπαπε.] ἐκακολόγησεν, ἐπέπληξε. νεικήσω.] ἀνειδίζω. ἀκριτόμυθε.] ἄπρε γε πορὶ τοὺς λόγους καὶ ἄτακτε. τοῦ γὰρ δὲ φησι σαρκασμῶς. λιγὺς πορ ἰῶν.] ἰαὶ γοῦς ὑπάρχων. ἀγορητής.] δημηγόρ. ἰσχεο.] πάυσαυσο. μηδ' ἔθελε.] μὴ δὲ βούλου. οἷος.] μόνος. ὁριζέμεναι.] ὁρίζειν, φιλονικεῖν. σέο.] σοῦ. ἐπικλασις ὁ γλῶσ. χερειότερον.] χείρονα. βρετῆν.] φθαρτὸν αὐθρωπον. βρότ Θ ἢ παροξυτόνως τὸ μιᾷ κόνωσε μιγὲν τῷ ἀνθρώπου αἵματι. φημί.] ὑπονοῶ ἔμμεναι.]

Ἔχθιστος δ' Αχιλλῆϊ μάλιστ' ἦν, ἠδ' Οδυσῆϊ. ἐχθιστος.] ἐχθρότατος. ἦλθ'.] ἦλθε στόμωμος συμπλεκτικὸς. ἠδ' Οδυσῆϊ.] καὶ τῷ Οδυσσεῖ. τὼ γὰρ νεικείεσκε.] ταύτα σε γὰρ πρότερον ἐλοιδόρε κακολογῶν. δὲ' οὕτως τὸν Αγαμέμνονα. ὀξέα.] μεγάλα. λιγυφθόγγως.] κινδυνωδῶς. ἐν βοῶν. λέγε.] ἔλεγεν. ὀνείδεα.] ὀνείλη, ὕβρεις. τῷ δ' ἄρ'.] τούτῳ δὲ δὴ. ἐκπάγλως.] ἐκπλητικῶς, μεγάλως. κοτέοντο.] ὠργίζοντο. νεμεσσηθέντ'.] ἐμέμφοντο. μακρὰ βοῶν.] αὐτετα μένως καὶ μεγάλως κράζων. νείκεε.] ἐκακολόγ. τέο.] τίνος. ἐπιμέμφεαι.] ἐπιμέμφῃ, ἐπιβάτης. χατίζῃς.] χρήζεις. θλῆαι.] θλῖψεις, γέμισαι, ὅ ἐστὶ ὑπρ τὴν ἄλλην ὕλην τοῦ χαλκοῦ ἐμνήσθη. ὅτι παρὰ τοῖς ἀρχαίοις σφόδρα τίμιον ὁ χαλκός. κλισίαι.] σκηναί. ἐξαίρετοι.] σὺνεισθῆς, ἐπίλεκτοι. αἳ κατὰ τιμὴν διδόμεναι ἀπὸ τῶν ἀφιγμάτων. πρωτίστῳ.] πρώτῳ, ὡς βασιλεῖ. ἐπιδόσεαι.] ἐνδίδως ὃ. χρήζεις.

ὃν κέ τις.] οἵτινά σε αὖτις νομίσῃ τ Τρώων ἀπὸ δὲ Ιλίε ὑός ἄποινα.] προσλαπτέον τὴν ὑπρ πρόθεσιν ἵν' ᾖ ὑπρ ὑὸς δίωρα. ἢ ἄλλ Αχαιῶν.] ἀπὸ λοιπου τὸ λύσας ἀγάγῃ.

νέῃ.] νεωτέραν. μίσγεαι.] μίσγῃ. φιλότητι.] συνουσία. ἣν τ' αὐτὸς.] ἣν τινα αὐτὸς. ἄπο νόσφι.] ἀποθεν καὶ χωρὶς μόνος. κατίσχεαι.] κατίσχῃς. οὐ ἢ ἔοικεν.] οὐ μὲν ἔμ' πρέπει. ἀρχὸν ἐόντα.] ἡγεμόνα ὄντα. κανῶν ἐπιβατ σκέμμ.] κανῶν ἐπιβαίνειν. ὦ πέπονες.] ἁπλοῦν καὶ ἀδιεύθες, ὅτ' οὐ ἤδεισθοι, ἢ μεταφορὰ ἀπὸ τῶν ἀκμαίων πεπόνων, ἃ τῇ μὴ γνώσει ἐστὶν ἡδέα, τῇ δὲ δίξει καὶ τῇ ἀφῇ μαλακὰ καὶ σύνδυτα. πάκ' ἐλέγχεα.] κακὰ ἀνείδη. Αχαΐδες οὐκέτ' Αχαιοί.] γυναῖκες ἀντὶ τοῦ ἀνδρες. νεώμεθα.] πορευώμεθα. τόν δὲ δ' ἐῶμεν.] ἵστορ δ' ὅ, τ ἐστὶ τ Αγαμέμνονα ἰαταλείψωμεν. γέρα πεσέμεν.] ἵα γέρα. ἢ ἐστι τὰς λείμακας, κατέχειν. ἢ μεταφορὰ ἀπὸ τῶν ἐν γαστρὶ σιτίων. καὶ γὰρ αὐτὰ αὖ μὴ ἱρατηθῇ ἵδρ ὡρισμένου χρόνου, ἀδιεύσεως δὲ ἰαθολικῆς ἀνυσιμεως. οὐ πέπαται. ὄφρα ἴδηται.] ὅπως μάθῃ, ἢ ῥά τί οἱ χ' ἡμεῖς.] ἢ ἆρα τί αὐτῷ καὶ ἡμεῖς. ὀμύρομεν.] ὀμόσαιμώμεν. ἠὲ καὶ οὐκί.] ἢ καὶ οὐδαμῶς. ἑὸ.] ἑαυτοῦ. μέγ' ἀμείνονα.] μεγάλως βελτίονα. φῶτα.] ἀνδρα. ἀλλὰ μαλ' οὐκ Αχιλῆϊ χόλος φρεσίν. ἀλλὰ παῦρ ὁ Αχιλλεὺς ἄχολος δὲ καὶ ἀόργητος ὑπάρχει. μεθήμων.] ἀμελὴς. ἠνίπαπε.] ἐκακολόγησεν, ἐπέπληξε. νεικήσω.] ἀνειδίζω. ἀκριτόμυθε.] ἄπρε γε πορὶ τοὺς λόγους καὶ ἄτακτε. τοῦ γὰρ δὲ φησι σαρκασμῶς. λιγὺς πορ ἰῶν.] ἰαὶ γοῦς ὑπάρχων. ἀγορητής.] δημηγόρ. ἴσχεο.] πάυσαυσο. μηδ' ἔθελε.] μὴ δὲ βούλου. οἷος.] μόνος. ὁριζέμεναι.] ὁρίζειν, φιλονικεῖν. σέο.] σοῦ. ἐπικλασις ὁ γλῶσ. χερειότερον.] χείρονα. βρετῆν.] φθαρτὸν αὐθρωπον. βρότ Θ ἢ παροξυτόνως τὸ μιᾷ κόνωσε μιγὲν τῷ ἀνθρώπου αἵματι. φημί.] ὑπονοῶ ἔμμεναι.]

ἔμμεναι.] εἶναι. ὅσσοι.] ὅσοι. ἅμ' Ἀτρείδῃσιν.] ἅμα τοῖς Ἀτρέως παισίν. οὗτοι δὲ ἦσαν κατὰ τὸ σύνηθες, Ἀσβόπης, καὶ Ἀτρέως παῖδες τοῦ Πέλοπος. τῇ δ' ἀληθείᾳ Πλειστένους, ὥς φασιν ἄλλοι τε πολλοὶ καὶ Πορφύριος ἐν τοῖς ζητήμασιν. ἀλλ' ἐπειδὴ Πλειστένης νέος τελευτᾷ μηδὲν καταλείψας μνήμης ἄξιον, νέοι πάνυ ἀναγραφέντες ὑπὸ Ἀτρέως, αὐτοῦ παῖδες ἐκλήθησαν. τῷ.] διὸ δή. ἀνὰ στόμ' ἔχων.] διὰ στόματος ἔχων, λοιδωρῶν. διὸ οὐκ ἐχρῆν ἀεί σε τοὺς βασιλεῖς ἐπὶ στόματος ἔχειν καὶ λοιδωρεῖν. ἀγορεύοις.] λέγοις. καί σφιν.] καὶ αὐτοῖς.

προφέροις.] ὀνειδίζοις, νοστόντε φυλάσσοις.] καὶ ἐπιτηροίης τὸν καιρὸν τοῦ ἀπόπλου. οὐ δέ τι πω.] οὐδαμῶς δέ.

ἴδμεν.] ἐπιστάμεθα. οἷος.] ὁποῖος.

νόος.] νοῦς. ἔσται.] γενήσεται.

τά δὲ ἔργα.] τὰ παρόντα ἔργα. ἢ σύ.] ἢ καλῶς. ἠὲ κακῶς.] ἢ κακῶς.

νοστήσομεν.] ἀναζεύξομεν, ὑποστρέψομεν. ἦσαι ὀνειδίζων.] καθέζῃ ὑβρίζων. ὅτι οἱ.] ὅτι αὐτῷ. μάλα πολλά.] πάνυ πολλά. διδοῦσι.] διδόασι. κερτομέων.] ἐρεθίζων, χλευάζων.

ὀρέω.] ὁρῶ, λέξω. τὸ δὲ καὶ τετελεσμένον ἔσται.] ὅπερ καὶ γενήσεται.

εἰ κέτι σε.] ἐὰν ἔτι σε. ἀφραίνοντα.] ἄφρονα ὄντα, ἀνοηταίνοντα. κιχήσομαι.] καταλάβω. ὡς νύπερ ὧδε.] οὕτως ὡς νῦν. ὤμοισι.] τοῖς ὤμοις. κάρη.] κεφαλή. ἐπήει.] ἐπήει, ἐπιμένει. κεκλημένος εἴην.] κληθείην τοῦ λοιποῦ, αὐτὶ τοῦ τελευτήσαντος τοῦ Τηλεμάχου. τὴν γὰρ δευτέραν ἀρὰν κατ' αὐτοῦ τοῦ παιδὸς ἐποιήσατο. ἀπὸ φίλα ἐίματα δύσω.] εἰ μὴ ἀποδύσω σε τὰ προσφιλῆ ἱμάτια. χλαίναν τ' ἠδὲ χιτῶνα.] τήνδε χλανίδα καὶ τὸν χιτῶνα. τάτ' αἰδῶ ἀμφικαλύπτει.] ἅτινά σοι τὰ αἰδοῖα περικαλύπτει. αὐτὸν δέ.] αὐτὶ τοῦ σὲ δέ.

ἀφήσω.] ἀπολύσω, ἀποπέμψω. πεπληγώς.] πλήξας. διὰ ποίαν αἰτίαν εἰπὼν εἰκέτισ' ἀφραίνοντα κιχήσομαι, καὶ τὰ ἑξῆς. οὐθὺς λέγει σκήπτρῳ δὲ μετάφρενον ἠδὲ καὶ ὤμω πλῆξε, λέγομεν δὲ ἡμεῖς ὅτι εἴπετο τηνικαῦτα ἀποδύειν καὶ οὕτως τύπτειν γυμνὸν, νῦν δὲ ἁπλῶς ἔπληξεν. ἀγορῆθεν.] ἀπὸ τοῦ ἀγορᾶς ὅ ἐστι τοῦ ἐκκλησίας. ἀφείσειν.] αἰκιστικαῖς. πληγῇσι.] πληγαῖς. ὣς ἀρ' ἔφη.] οὕτως δὴ ἔπε. μετάφρενον.] τὸν μεταξὺ τῶν ὤμων τόπον. ἠδὲ καὶ ὤμω.] καὶ τοὺς ὤμους, δυϊκῶς. ὅδ' ἰδνώθη.] οὗτος δὲ ἀπὸ τοῦ ὀδύνης συνεκάμφθη. θαλερόν.] θερμὸν, ἀκμαῖον. ἔκπεσεν.] ἐξέπεσε. σμῶδιξ.] ὁ ἐκ πληγῆς ὕφαιμος μώλωψ. αἱματόεσσα.] αἱματώδης. ἐξυπανέστη.] ἐξανέστη ἀπὸ τοῦ πληγῆς τοῦ χρυσῆς ῥάβδου. ὅδ' ἄρ' ἕζετο.] ὁ δὲ Θερσίτης φησὶν ἐκαθέσθη ἄκων. τάρβησέν τε.] καὶ ἐφοβήθη. ἀλγήσας.] ὀδυνηθεὶς. ἀχρεῖον ἰδῶν.] ἀπρεπὲς κατασήσας τὸ πρόσωπον. ἀπεμόρξατο.] ἀπεμάξατο, ἀπεψήσατο. οἱ δὲ καὶ αὐτοὶ.] οἱ δὲ Ἕλληνες. στικτέον δὲ μετὰ τὸ ἀχνυμενοίπερ. ἔπειτα ἀπὸ ἄλλης ἀρχῆς ἀναγνωστέον ἵν' ᾖ. οἱ δὲ Ἕλληνες καί τοι λυπούμενοι διὰ τὴν ἀναβολὴν τοῦ ὑπὸ τὸν οἶκον ἀνακομιδῆς, ἡδέως ἐγέλασαν, ὑπὸ τῇ ὄψει τοῦ Θερσίτου. ὧδε δέ.] οὕτως δέ. ἔπεσκεν.] ἔπεν. ἰδὼν ἐν πλησίον ἄλλον.] ἄλλον τινὰ τὸν ἐγγὺς παρεστῶτα βλέψας. ἠδή.] ἀληθῶς δή. μυρία.] πάμπολλα ἀγαθὰ. ἔοργεν.] ἔργασται. βουλάς.] συμβουλίας, γνώμας.

κορύσσων.] καθοπλίζων, παρασκευάζων, Αἰολικὸν ἀπὸ τοῦ κορύττω. ἔρεξεν.] ἔπραξε. λωβητῆρα.] ὑβριστὴν.

ἐπεσβόλον.] ἔπεσιν, ὅ ἐστι λόγοις βάλλοντα, λοίδορον. ἔσχεν.] ἐπέσχεν, ἐκώλυσεν. ἀγοράων.] δημηγοριῶν, φλυαριῶν. οὐ θήν μιν.] οὐκ ἂν δὴ ἐπιπολὺ αὐτόν. πάλιν αὖτις.] ἐκ δευτέρου πάλιν. ἀνήσει.] ἀναπείσει, παρορμήσει. θυμὸς.] ψυχή. νῦν δὲ ἄλογος προθυμία καὶ ὁρμή. ἀγήνωρ.] αὐθάδης, ὑβριστὴς, καὶ θρασύς. ἔστι δὲ ὅτε δηλοῖ

Ἔμμεναι, ὅσσοι ἅμ' Ἀτρείδῃς ὑπὸ Ἰλιον ἦλθον.
Τῷ, οὐκ ἂν βασιλῆας ἀνὰ στόμ' ἔχων ἀγορεύοις,
Καί σφιν ὀνείδεά τε προφέροις, νοστόντε φυλάσσοις.
Οὐ δέ τι πω σάφα ἴδμεν ὅπως ἔσται τάδε ἔργα,
Ἢ εὖ, ἠὲ κακῶς νοστήσομεν υἷες Ἀχαιῶν,
Τῷ, νῦν Ἀτρείδῃ Ἀγαμέμνονι ποιμένι λαῶν
Ἦσαι ὀνειδίζων, ὅτι οἱ μάλα πολλὰ διδοῦσιν
Ἥρωσι Δαναοί. σὺ δὲ κερτομέων, ἀγορεύεις,
Ἀλλ' ἔκτοι ἐρέω. τὸ δὲ καὶ τετελεσμένον ἔσται.
Εἰκέτι σ' ἀφραίνοντα κιχήσομαι ὡς νύπερ ὧδε
Μηκέτ' ἔπειτ' Ὀδυσσῆϊ κάρη ὤμοισιν ἐπείη,
Μὴ δ' ἔτι Τηλεμάχοιο πατὴρ κεκλημένος εἴην,
Εἰ μὴ ἐγώ σε λαβὼν, ἀπὸ μὲν φίλα εἵματα δύσω,
Χλαῖνάντ', ἠδὲ χιτῶνα, τά, τ' αἰδῶ ἀμφικαλύπτει,
Αὐτὸν δὲ κλαίοντα θοὰς ἐπὶ νῆας ἀφήσω,
Πεπληγὼς, ἀγορῆθεν, ἀεικέσσι πληγῇσιν.
Ὣς ἄρ' ἔφη, σκήπτρῳ δὲ μετάφρενον, ἠδὲ καὶ ὤμω
Πλῆξεν. ὅδ' ἰδνώθη. θαλερὸν δὲ οἱ ἔκπεσε δάκρυ.
Σμῶδιξ δ' αἱματόεσσα μεταφρένου ἐξυπανέστη,
Σκήπτρου ὑπὸ Χρυσέου, ὅδ' ἄρ' ἕζετο τάρβησέν τε,
Ἀλγήσας δ' ἀχρεῖον ἰδὼν ἀπεμόρξατο δάκρυ.
Οἱ δέ, καὶ ἀχνυμενοί περ, ἐπ' αὐτῷ ἡδὺ γέλασσαν.
Ὧδε δέ τις εἴπεσκεν ἰδὼν ἐν πλησίον ἄλλον,
Ὦ πόποι, ἦ δὴ μυρί' Ὀδυσσεὺ ἐσθλὰ ἔοργε,
Βουλάς τ' ἐξάρχων ἀγαθὰς, πολεμόν τε κορύσσων,
Νῦν δὲ τὸ δὴ μέγ' ἄριστον ἐν ἀργείοισιν ἔρεξεν.
Ὃς τὸν λωβητῆρα ἐπεσβόλον ἔσχ' ἀγοράων.
Οὐ θήν μιν πάλιν αὖθις ἀνήσει θυμὸς ἀγήνωρ,

Νεικείειν

δηλοῖ καὶ τὸν ἀνδρεῖον. νεικείειν.] κακολογεῖν, ὑβρίζειν. ὀνειδείοις.] ὀνειδιστικοῖς, ὑβριστικοῖς. ὣς φάσαν.] οὕτως εἶπον. ἡ πληθύς.] τὸ πλῆθος. ἀνὰ δ' ὁ πτολίπορθος Ὀδυσσεὺς ἔστη.] τὸ ἑξῆς, ἀνέστη δὲ ὁ τὰς πόλεις πορθῶν. ὁ πολεμικῶς διακείμενος Ὀδυσσεύς. ἵν' ᾖ ὑπερβατὸν ὁ τρόπος. προκατεσκεύασε δὲ αὐτῷ ὁ Ποιητὴς τὴν τοῦ Ἰλίου πόρθησιν. ὡς ὀψέποτε, τοῦ Ὀδυσσέως ἐπινοήσαντος τὴν τοῦ δουρείου ἵππου κατασκευὴν, οὗ εἰσαχθέντος ἐπορθήθη ἡ Ἰλιος ὡς καὶ ἀλλαχόθι τοῦ ποιησέως φησι. σῇ δ' ἥλω βουλῇ ἄστυ Πριάμοιο ἄνακτος. παρὰ δὲ.] παρ' αὐτὸν δέ. εἰδομένη.] ὁμοιωθεῖσα. ἀνώγει.] ἐκέλευεν. ὣς.] ὅπως. ἵνα. ἅμα.] ὁμοῦ. καὶ κατὰ τὸ αὐτό.

ἐπιφρασάιατο.] ἐπισκέψαιντο, ἐπινοήσωσιν. νῦν δή σε ἄναξ.] ἐπὶ τοῦ παρόντος δὴ βούλονται ὦ βασιλεῦ. ἐλέγχιστον.] ἐπονείδιστον, ἐφύβριστον. θέμεναι.] ποιῆσαι. μερόπεσσι βροτοῖσιν.] ἀνθρώποις τοῖς μεμερισμένην καὶ ἐναρθρον ἔχουσι τὴν φωνὴν, ὡς πρὸς σύγκρισιν τῶν ἄλλων ζώων. οὐδέ τοι.] οὐδαμῶς δέ σοι. ἐκτελέουσιν.] ἐκτελοῦσι, πληροῦσιν. ὑποσχέσιν.] σύνταξιν. ἣν περ ὑπέσταν.] ἣν τινα ὑπέσχοντό σοι. ἐνθάδε.] ἐνταῦθα. στείχοντες.] ἐν τάξει παραγενόμενοι.

ἱπποβότοιο.] ἱπποτρόφου. ἀπὸ δὲ Ἀγήνορος ἵππων, ὠνομάσθη τὸ Ἄργος ἱππόβοτον. εὐτείχεον.] καλῶς τετειχισμένην. νεαροί.] μικροί. χῆραί τε γυναῖκες.] ἔρημοι καὶ ἀνδρῶν μονωθεῖσαι.

ἀλλήλοισιν ὀδύρονται.] πρὸς ἀλλήλους θρηνοῦσιν. οἶκόν δὲ νέεσθαι.] εἰς τὸν οἶκον πορεύεσθαι. ἦ μὴν καὶ πόνος ἐστίν.] ἔστι δὲ ὄντος καὶ πόνος. ἀνικθέντα.] τῇ ψυχῇ ὀδυνηθέντα, λυπιθέντα. καὶ γάρ τις θ' ἕνα μῆνα μένων ἀπὸ ἧς ἀλόχοιο.] πόρρω φησὶ τοῦ ἰδίας γυναικός. στικτέον δὲ, εἰς τὸ ἀσχαλάα. ἔπειτα ἀπὸ ἄλλης ἀρχῆς ἀναγνωστέον.

ἧς.] ἰδίας. ἀλόχοιο.] γαμετοῦ.

ἀσχαλάα.] λυπεῖται, ἀσχάλλει. πολυζύγῳ.] πολυκαθέδρῳ. ζυγὰ γὰρ αἱ τῶν ἐρεσσόντων καθέδραι. ἀέλλαι.] αἱ τῶν ἀνέμων συστροφαί. χειμέριαι.] χειμερινὰι εἰλέωσιν.] συνειλῶσι, συγκλείωσιν. ὀρινομένη.] διεγειρομένη, ταρασσομένη. εἴνατος.] ἔνατος, περιτροπέων.] περιτρεπόμενος, ὅ ἐστι περιρχόμενος. πάλιν ἐπὶ τὴν ἀρχὴν μέλλον τελειοῦσθαι. μιμνόντεσσι.] μένουσιν. τῷ.] διὸ δύ. οὐ νεμεσίζομαι.] οὐ μέμφομαι εἰ οὕτω ῥαθυμοῦσιν. ἔμπης.] ὅμως. αἰσχρὸν.] ἐφύβριστον, ἀνδές. δηρὸν.] ἐπὶ πολὺν χρόνον. κενεὸν.] κενόν, ἄπρακτον. τλήτε.] καρτερήσατε καὶ ὑπομείνατε χρόνον ὀλίγον δήτινα. δαῶμεν.] μάθωμεν. εἰ ἐτέον.] εἰ ἀληθές. ἠὲ καὶ οὐκί.] ἢ καὶ οὐδαμῶς. ἴδμεν.] ἴσμεν, οἴδαμεν. μάρτυροι.] μάρτυρες. οὓς μὴ κῆρες ἔβαν θανάτοιο φέρουσαι.] ὅσους μὴ προκαθαρπάσας ὁ θάνατος ἀπῆλθε. κῆρες γὰρ αἱ θανατηφόροι μοῖραι. χθιζά τε καὶ πρώϊζα.] χθὲς καὶ πρώην. κατεσμίκρυνε δὲ τὸν ἐναετῆ χρόνον, ἵνα μὴ διὰ τοῦ ἀναμνήσεως πλέον ποιήσῃ ἀγωνιᾶσαι τοὺς Ἕλληνας. Αὐλίδα.] Αὐλὶς πόλις Βοιωτίας κεκλημένη ἀπὸ τοῦ αὐτόθι αὐλισθῆναι, ὅ ἐστιν ἀθρεισθῆναι τὸν Ἑλληνικὸν στρατόν. ἠγερέθοντο.] συνηθροίζοντο. ἀμφὶ δὲ κρήνην.] περὶ τὴν κρήνην. ἔρδομεν.] ἐπετελοῦμεν, ἐθύομεν. τελείεσσας ἑκατόμβας.] τελείας θυσίας. πλατανίστῳ.] ὑπὸ τῇ ἱερᾷ πλατάνῳ. τῇ μέντοι τάσει ἀναγνωστέον ὡς κυπαρύσσῳ. ῥέεν.] ἔρρει, ἐφέρετο. ἀγλαὸν.] καλόν. ἔνθ' ἐφανή.] ὅπου ἡμῖν ὤφθη ὁ δράκων, οὗ τινος

Νεικείειν βασιλῆας ὀνειδίοις ἐπέεσσιν.
Ὣς φάσαν ἡ πληθύς, ἀνὰ δ' ὁ πτολίπορθος Ὀδυσσεὺς
Ἔστη σκήπτρον ἔχων. περὶ δὲ γλαυκῶπις Ἀθήνη
Εἰδομένη κήρυκι, σιωπᾶν λαὸν ἀνώγει,
Ὡς ἅμα θ' οἱ πρῶτοί τε, καὶ ὕστατοι υἷες Ἀχαιῶν
Μῦθον ἀκούσειαν, καὶ πρὸ φρασαίατο βουλὴν
Ὅ σφιν εὐφρονέων ἀγορήσατο καὶ μετέειπεν.
Ἀτρείδη, νῦν δή σε ἄναξ, ἐθέλουσιν Ἀχαιοὶ,
Γᾶσιν ἐλέγχιστον θέμεναι μερόπεσσι βροτοῖσιν.
Οὐ δέ τοι ἐκτελέουσιν ὑπόσχεσιν, ἣν περ ὑπέσταν,
Ἐνθάδε τοι στείχοντες ἀπ' Ἄργεος ἱπποβότοιο,
Ἴλιον ἐκπερσαντ' εὐτείχεον ἀπονέεσθαι.
Ὣς τε γὰρ ἢ παῖδες νεαροὶ χῆραί τε γυναῖκες,
Ἀλλήλοισιν ὀδύρονται οἶκόν δὲ νέεσθαι.
Ἦ μὴν καὶ πόνος ἐστὶν ἀνικθέντα νέεσθαι.
Καὶ γὰρ τίς θ' ἕνα μῆνα μένων ἀπὸ ἧς ἀλόχοιο,
Ἀσχαλάα περὶ νηὶ πολυζύγῳ, ἣν περ ἄελλαι
Χειμερίαι εἰλέωσιν, ὀρινομένη τε θάλασσα.
Ἡμῖν δ' εἴνατός ἐστι περιτροπέων ἐνιαυτὸς
Ἐνθάδε μιμνόντεσσι, τῷ, οὐ νεμεσίζομ' Ἀχαιοὺς
Ἀσχαλάαν παρὰ νηυσὶ κορωνίσιν. ἀλλὰ καὶ ἔμπης
Αἰσχρόντοι δηρόν τε μένειν, κενεόν τε νέεσθαι.
Τλῆτε φίλοι καὶ μείνατ' ὐδὲ χρόνον ὄφρα δαῶμεν
Εἰ ἐτεὸν Κάλχας μαντεύεται, ἠὲ καὶ οὐκί.
Εὖ γὰρ δὴ τόγε ἴδμεν ἐνὶ φρεσίν. ἐστὲ δὲ πάντες
Μάρτυροι οὓς μὴ κῆρες ἔβαν θανάτοιο φέρουσαι.
Χθιζά τε, καὶ πρώϊζ' ὅτ' ἐν Αὐλίδα νῆες Ἀχαιῶν
Ἠγερέθοντο, κακὰ Πριάμῳ, καὶ Τρωσὶ φέρουσαι.
Ἡμεῖς δ' ἀμφὶ περὶ κρήνην, ἱερὸς κατὰ βωμοὺς,
Ἔρδομεν ἀθανάτοισι τελήεσσας ἑκατόμβας
Καλῇ ὑπὸ πλατανίστῳ, ὅθεν ῥέεν ἀγλαὸν ὕδωρ.

ἐνθ'

Ἐνθ᾽ ἐφάνη μέγα σῆμα, ϑοάκῳ ἐπὶ νώτῳ ἀφοινοῦ
Σμερδαλέοιο, τόν, ῥ᾽ αὐτὸς Ὀλύμπιος ἧκε φόωσδε,
Βωμοῦ ὑπαίξας, πρὸς ῥα πλατάνιστον ὄρουσεν.
Ἔνθα δ᾽ ἔσαν στρουθοῖο νεοσσοί, νήπια τέκνα,
ὀζῳ ἐπ᾽ ἀκροτάτῳ, πετάλοις ὑποπεπτηῶτες,
ὀκτὼ, ἀτὰρ μήτηρ ϝάτη ἣν, ἣ τέκε τέκνα.
Ἔνθ᾽ ὅγε τοὺς, ἐλεεινὰ κατὰ θρῖα τετριγῶτας,
Μήτηρ δ᾽ ἀμφεποτᾶτο ὀδυρομένη φίλα τέκνα.
Τὴν δ᾽ ἐλελιξάμενος, πτερυγος, λάβεν ἀμφιαχυῖαν.
Αὐτὰρ ἐπεὶ ἣ τέκνα ἔφαγε στρουθοῖο, καὶ αὐτήν,
Τὸν μὲν ἀρίζηλον θῆκεν θεὸς, ὅσπερ ἔφηνε.
Λάαν γάρ μιν ἔθηκε Κρόνου πάις ἀγκυλομήτεω.
Ἡμεῖς δ᾽ ἑστάοτες, θαυμάζομεν οἷον ἐτύχθη.
Ὡς δ᾽ ἂν δεινὰ πέλωρα θεῶν ἐσῆλθ᾽ ἑκατόμβας,
Κάλχας δ᾽ αὐτίκ᾽ ἔπειτα θεοπροπέων, ἀγόρευε.
Τίπτ᾽ ἄνεω ἐγρύεσθε καρηκομόωντες Ἀχαιοί;
Ἡμῖν μὲν πόλ᾽ ἔφηνε τόδε μέγα μυθίσασθαι Ζεύς,
Ὀψιμον, ὀψιτέλεστον. ὃν κλέος, οὔποτ᾽ ὀλεῖται.
Ὡς ὅτος ἣ τέκνα ἔφαγε στρουθοῖο, καὶ αὐτὸν
Ὀκτὼ, ἀτὰρ μήτηρ ϝάτη ἣν ἣ τέκε τέκνα,
Ὣς ἡμεῖς τοσσοῦτ᾽ ἔτεα πολεμίξομεν αὖθι.
Τῷ δεκάτῳ δὲ, πόλιν αἱρήσομεν εὐρυάγυιαν,
Κεῖνος δ᾽ ὡς ἀγόρευε, τὰ δὴ νῦν πάντα τελεῖται.
Ἀλλ᾽ ἄγε, μίμνετε πάντες ἐϋκνήμιδες Ἀχαιοὶ
Αὐτοῦ, εἰσόκεν ἄσυ μέγα Πριάμοιο ἕλωμεν.
Ὣς ἔφατ᾽, Ἀργεῖοι δὲ μέγ᾽ ἴαχον, ἀμφὶ δὲ νῆες
Σμερδαλέον κονάβησαν ἀϋσάντων ὑπὸ Ἀχαιῶν,
Μῦθον ἐπαινήσαντες Ὀδυσσῆος θείοιο,
Τοῖσι δὲ καὶ μετέειπε γερήνιος ἱππότα Νέστωρ,

Ὦ πόποι

ἀοικότερα.] ὁμοιωμένοι. ἀγοραάσθε.] ἐκκλησιάζετε, ἀγορεύετε. νηπιάχοις.] νηπίοις ἴσα φρονοῦτε. οἷς ἔπι.] οἷς ὀλίγ. μέλει.] διὰ φροντίδος ἔχει. πολεμήια ἔργα.] πολεμικὰ ἔργα. πού δή.] ἴστοι που δή. ἦ πῶς δή. συνθεσίαι.] αἱ συνθῆκαι. ὅρκια.] ὅροι. βήσεται.] αὐτὶ τοῦ ἔβησαν, ἐποροσύνησαν, ἢ αὐτὶ τοῦ, πῶς ἐκπληρώσομεν τοὺς ὅρκους, ὃς ἐποιησάμεθα πρὸς Ἕλενος. που δή συνθεσίαι τε.] που δὴ ἦσαν αἱ συνθῆκαι. τῶν ἐν τῇ Ἑλλάδι ἀρίστων ὧδε μνησόμεθα τῇ Ἑλένης παρόντων διὰ γένος ἦσαν ἄλλοι, Τυνδαρέως ὁ πατὴρ αὐτῇ, ὥς τινες φασί. φυλασσόμενοι μήποτε ἕνα αὐτῶν προκρίνας τοὺς ἄλλους ἐχθροὺς ποιήσηται, ἕκαστον μὲν αὐτῶν ὅρκον ἔλαβεν, ἢ μὲν τῷ κληρουμένῳ τὴν θυγατέρα ἀδικουμένῳ πρὸς αὐτῶν, σφόδρα ἐπαμυνεῖν. διὸ πρὸς Μενέλαόν αὐτὸν ἐκδίδωσι, καὶ μετ᾽ οὐ πολὺν χρόνον ἀρπαχθέσης ὑπὸ Ἀλεξάνδρου, ἐκοινώνησαν αἱ στρατεῖαι διὰ τοὺς γενομένους ὅρκους. ἡ ἱστορία παρὰ Στησιχόρῳ. βήσεται.] ἀποβήσεται. ἐν πυρὶ δὴ βουλάτε γενέσθαι μήδεά᾽ αὐτῶν.] ὑπὸ τῶν θεῶν ἀφανισθῆναι εἴ τε γνῶμαι ὑμῶν καὶ τὰ βουλεύματα. μὴ δῆα.] βουλεύματα, σκέψεις. γένοισθε.] γένοιντο. σπονδαί τ᾽ ἀπείριτοι.] καὶ αἱ διὰ ἀπράτου οἴνου γενόμεναι θυσίαι.

παῦρος.] ὀλίγος. εἵπετο.] ἠκολούθει. κράπαθόν τε κάσον τε.] κάρπαθος καὶ κάσος νῆσοι περὶ τὴν κῶν. κάρπαθον δὲ κατὰ μετάθεσιν. σύρυπύλοιο πόλιν.] τὴν κῶν λέγει. ἐπεὶ σύρυπυλος ἦν Ηρακλέους καὶ χαλκιόπης παῖς. ὃς ἐβασίλευε τῆς κῶ. τῶν αὖ.] τούτων δή. θεσσαλοῦ.] φίλιππος καὶ ἄντιφος. Ηρακλείδαο.] Ηρακλέους παιδὸς. τὸ πελασγικὸν ἄργος.] τὸ θεσσαλικόν. πελασγία γὰρ πρότερον ἡ θεσσαλία ἐκαλεῖτο. τρηχῖνα.] πόλις θεσσαλίας. ἔλλας.] ὄνομα πόλεως. καλλιγύναικα.] καλὰς γυναῖκας ἔχουσαν. ἐκαλοῦντο.] ἐκαλοῦντο δυσιχέος.] κακὸν ἦχον ἀποτελοῦντος.

Οἵδ' ἄρα βουπράσιόν τε, καὶ ἤλιδα δῖαν ἔναιον,
Ὅσσον ἐφ' ὑρμίνῃ, καὶ μύρσινος ἐσχατόωσα,
Πέτρη τ' ὠλενίη, καὶ ἀλείσιον ἐντὸς ἐέργει.
Τῶν αὖ τέσσαρες ἀρχοὶ ἔσαν, δέκα δ' ἀνδρὶ ἑκάστῳ
Νῆες ἕποντο θοαί. πολέες δ' ἔμβαινον ἐπειοί.
Τῶν, μὲν ἄρ' ἀμφίμαχος, καὶ Θάλπιος ἡγησάσθην.
Υἱες, ὁ μὲν, Κτεάτου, ὁ δ' Εὐρύτου ἀκτορίωνος,
Τῶν δ' ἀμαρυγκείδης, ἦρχε κρατερὸς Διώρης.
Τῶν δὲ τετάρτων, ἦρχε Πολύξεινος θεοειδὴς,
Υἱος ἀγασθένεος αὐγηϊάδαο ἄνακτος.
Οἵ δ' ἐκ δουλιχίοιο, ἐχινάων θ' ἱεράων
Νήσων αἱ ναίουσι πέρην ἁλὸς ἤλιδος ἄντα,
Τῶν, αὖθ' ἡγεμόνευε Μέγης ἀτάλαντος ἄρηϊ
Φυλείδης, ὃν τίκτε Διὶ φίλος ἱππότα φυλεύς.
Ὃς ποτε δουλίχιον δ' ἀπενάσσατο πατρὶ χολωθείς.
Τῷ δ' ἅμα τεσσαράκοντα μέλαιναι νῆες ἕποντο.
Αὐτὰρ ὀδυσσεὺς ἦγε κεφαλῆνας μεγαθύμους.
Οἵ ῥ' ἰθάκην εἶχον, καὶ νήριτον εἰνοσίφυλλον,
Καὶ κροκύλει ἐνέμοντο, καὶ αἰγίλιπα τρηχείαν.
Οἵ τε ζάκυνθον ἔχον, ἠδ' οἳ σάμον ἀμφενέμοντο,
Οἵτ' ἤπειρον ἔχον, ἠδ' ἀντιπέραι ἐνέμοντο,
Τῶν, μὲν Οδυσσεὺς ἦρχε Διὶ μῆτιν ἀτάλαντος.
Τῷ δ' ἅμα νῆες ἕποντο δυώδεκα μιλτοπάρηοι.
Αἰτωλῶν δ' ἡγεῖτο Θόας ἀνδραίμονος υἱός.
Οἱ πλευρῶν' ἐνέμοντο, καὶ ὤλενον, ἠδὲ πυλήνην.
Χαλκίδα τ' ἀγχίαλον, καλυδῶνά τε πετρήεσσαν.
Οὐ γὰρ ἔτ' οἰνῆος μεγαλήτορος υἱέες ἦσαν.
Οὐδ' ἄρ' ἔτ' αὐτὸς ἔην. θάνε δὲ ξανθὸς Μελέαγρος.
Τῷ δ' ὠδὶ πάντ' ἐτέταλτο ἀνασσέμεν αἰτωλοῖσι.
Τῷ δ' ἅμα τεσσαράκοντα μέλαιναι νῆες ἕποντο.
Κρητῶν δ' ἰδομενεὺς δουρικλυτὸς ἡγεμόνευεν.
Οἳ κνωσσόν τ' εἶχον, γόρτυνά τε τειχιόεσσαν.
Λύκτον, μίλητόν τε, καὶ ἀργινόεντα λύκαστον,
Φαιστόν τε, ῥυτίον τε, πόλεις εὖ ναιεταώσας,
Ἄλλοιθ', οἳ Κρήτην ἑκατόμπολιν ἀμφενέμοντο,

Τῶν,

Τῶν, μὲν ἄρ Ἰδομενεὺς δουρικλυτὸς ἡγεμόνευε,
Μηριόνης τ' ἀτάλαντος ἐνυαλλίῳ ἀνδρειφόντῃ.
Τοῖσι δ' ἅμ' ὀγδώκοντα μέλαιναι νῆες ἕποντο.
Τληπόλεμος δ' Ηρακλείδης ἠΰς τε, μέγας τε,
Ἐκ ῥόδου ἐννέα νῆας ἄγεν ῥοδίων ἀγερόχων.
Οἳ ῥόδον ἀμφενέμοντο διάτριχα κοσμηθέντες.
Λίνδον, ἰηλυσσόν τε, καὶ ἀργινόεντα κάμειρον.
Τῶν, μὲν τληπόλεμος δουρικλυτὸς ἡγεμόνευεν,
Ὃν τέκεν ἀστυόχεια, βίῃ Ηρακληείῃ,
Τὴν, ἄγετ' ἐξ ἐφύρης ποταμοῦ ἀπὸ σελλήεντος,
Πέρσας ἄστεα πολλὰ διοτρεφέων αἰζηῶν,
Τληπόλεμος δ' ἐπεὶ οὖν τράφ' ἐνὶ μεγάρῳ ἐϋπήκτῳ,
Αὐτίκα πατρὸς ἑοῖο φίλον μήτρωα κατέκτα.
Ἤδη γηράσκοντα Λικύμνιον ὄζον ἄρηος.
Αἶψα δὲ νῆας ἔπηξε πολὺν δ' ὅγε λαὸν ἀγείρας,
Βῆ φεύγων ὠδὶ πόντον ἀπείλησαν γάρ οἱ ἄλλοι
Υἱέες, ὑωνοί τε βίης Ηρακληείης.
Αὐτὰρ ὅγ' ἐς ῥόδον ἶξεν ἁλόμενος, ἄλγεα πάσχων.
Τριχθὰ δὲ ὤκηθεν κατὰ φυλαδόν, ἠδ' ἐφίληθεν
Ἐκ Διὸς, ὅστε θεοῖσι, καὶ ἀνθρώποισιν ἀνάσσει.
Καί σφισι θεσπέσιον πλοῦτον κατέχευε κρονίων.
Νιρεὺς δ' αὖ, σύμηθεν ἄγεν τρεῖς νῆας ἐΐσας
Νιρεὺς, ἀγλαΐης θ' υἱὸς, χαρόποιότ' ἄνακτος.
Νιρεὺς, ὃς κάλλιστος ἀνὴρ ὑπὸ Ἰλίον ἦλθε
Τῶν ἄλλων δαναῶν, μετ' ἀμύμονα πηλείωνα.
Ἀλλ' ἀλαπαδνὸς ἔην. παῦρος δὲ οἱ εἵπετο λαός.
Οἵδ' ἄρα νισυρόν δ' εἶχον, κράπαθόν τε, κάσον τε,
Καὶ κῶν εὐρυπύλοιο πόλιν, νήσους τε καλύδνας.
Τῶν δ' αὖ φείδιππός τε, καὶ ἄντιφος ἡγησάσθην,
Θεσσαλοῦ υἷε δύο Ηρακλείδαο ἄνακτος.
Τῶν δὲ τριήκοντα γλαφυραὶ νέες ἐστιχόωντο.
Νῦν δ' αὐσεῦ, ὅσσοι τὸ πελασγικὸν ἄργος ἔναιον,
Οἵτ' ἄλον, οἵτ' ἀλόπην, οἵ τε τρηχῖν' ἐνέμοντο
Οἵτ' εἶχον φθίην, ἠδ' ἑλλάδα καλλιγύναικα,
Μυρμιδόνες δὲ καλεῦντο, καὶ Ἕλληνες, καὶ Ἀχαιοί,
Τῶν, αὖ πεντήκοντα νεῶν ἦν ἀρχὸς Ἀχιλλεύς.
Ἀλλ' οἵγ' οὐ πολέμοιο δυσηχέος ἐμνώοντο.

Οὐ γὰρ

λοιῶτος. ἐμνώοντο.] μνείαν ἐποιοῦντο. ὅστις σφιν.] ὅστις αὐτοῖς. ἐπὶ στίχας.] ὠθὶ τὰς τάξεις. οὐκ ἦν γὰρ φησιν ὁ καθηγησόμενος. κεῖτο.] νῦν ἀργῶς διετέλει. ἡ μεταφορὰ ἀπὸ τῶν ὠθὶ πλίνης ὄντων καὶ ἀργῶς διατελούντων. πολάρκης.] ὁ τοῖς ποσὶ ταχύς. καὶ ἐπαρκεῖν δυνάμενος. ἐβέλετο.] ὡς ἐβαίρετον ἔλαβε. μογήσας.] κακοπαθήσας. λυρνησόν.] πόλις τῶν ὑποπλακίων θηβῶν. καδδὲ μύνητ' ἔβαλε.] κατέβαλε δὲ καὶ τὸν μύνητα, ὅ ἐστιν ἀπέκτεινεν. ὁ δὲ μύνης τοῦ βρισηΐδος ἦν ἀνήρ. ἔγχεσι μώρους.] τοὺς περὶ τὰ ἔγχεα μεμορηκότας καὶ ἠσχολημένους, πολεμικούς. εὐλωοῖο.] εὐλίνου.

Οὐ γὰρ ἔην ὅς τις σφιν ὠθὶ στίχας ἡγήσαιτο.
Κεῖτο γὰρ ἐν νήεσσι ποδάρκης δῖος Ἀχιλλεὺς
Κούρης χωόμενος Βρισηΐδος ἠϋκόμοιο,
Τὴν, ἐκ λυρνησσοῦ ἐβέλετο πολλὰ μογήσας.
Λυρνησσὸν διαπορθήσας, καὶ τείχεα θήβης.
Καδδὲ Μίνητ' ἔβαλεν, καὶ ἐπίστροφον ἔγχεσι μώρους
Υἱέας εὐηνοῖο σελεπιάδαο ἄνακτος.
Τῆς, ὅγε κεῖτ' ἀχέων. τάχα δ' ἀνστήσεσθαι ἔμελλεν.
Οἶδ' εἶχον φυλάκην, καὶ πύῤῥαθον ἀνθεμόεντα
Δήμητρος τέμενος, ἰτωνά τε μητέρα μήλων,
Ἀγχίαλοντ' ἄντρωνα, ἰδὲ πτελεὸν λεχεποίην,
Τῶν, αὖ πρωτεσίλαος ἀρήϊος ἡγεμόνευε
Ζωὸς ἐών. τό τε δ' ἤδη ἔχε κατὰ γαῖα μέλαινα.
Τοῦ δὲ, καὶ ἀμφιδρυφὴς ἄλοχος φυλάκη ἐλέλειπτο,
Καὶ δόμος ἡμιτελής. τόν δ' ἔκτανε δάρδανος ἀνὴρ
Νηὸς ἀπερθρώσκοντα πολὺ πρώτιστον Ἀχαιῶν.
Οὐ δὲ μὲν οὐδ' οἱ ἄναρχοι ἔσαν, πόθεόν γε μὲν ἀρχόν.
Ἀλλὰ σφέας κόσμησε ποδάρκης ὄζος ἄρηος.
Ἰφίκλου υἱὸς πολυμήλου φυλακίδαο,
Αὐτοκασίγνητος μεγαθύμου πρωτεσιλάου,
Ὁπλότερος γενεῇ. ὁδ' ἄρα πρότερος, καὶ ἀρείων.
Ἥρως πρωτεσίλαος ἀρήϊος. οὐδέ τι λαοὶ
Δεύονθ' ἡγεμόνος, πόθεον δέ μιν ἐσθλὸν ἐόντα.
Τῷ δ' ἅμα τεσσαράκοντα μέλαιναι νῆες ἕποντο.
Οἱ δὲ φερὰς ἐνέμοντο παρὰ Βοιβηΐδα λίμνην,
Βοίβην, καὶ γλαφυρὰς, καὶ ἐϋκτιμένην ἰαωλκόν,
Τῶν ἦρχ' ἀδμήτοιο φίλος παῖς ἕνδεκα νηῶν
Εὔμηλος. τὸν ὑπ' ἀδμήτῳ τέκε δῖα γυναικῶν
Ἄλκηστις, πελίαο θυγατρῶν εἶδος ἀρίστη.
Οἶδ' ἄρα μηθώνην, καὶ θαυμακίην ἐνέμοντο,
Καὶ μελίβοιαν ἔχον, καὶ ὀλιζῶνα τρηχεῖαν,

Τῶν

σελεπιάδαο.] σελεπίου παιδὸς. τοῦ ὅγε.] ταύτης οὗτος. ἀχέων.] λυπούμενος. τάχα.] ταχέως. ἀνστήσεσθαι.] ἀναστήσεσθαι. φυλάκην.] φυλάκη πόλις θεσσαλίας. ἀνθεμόεντα.] ἄνθη φέροντα, φυτοῖς θαλερόν. τέμενος.] ἱερὸν χωρίον ἀφωρισμένον θεῷ κατὰ τιμὴν, ἢ ἥρωϊ. μητέρα μήλων.] τροφὸν προβάτων. ἀγχίαλον τ' ἀνθρῶνα.] πόλιν θεσσαλίας. διάφοροι καὶ ἄριστοι ὄνοι ἐν αὐτρῶνι τοῦ θεσσαλίας γίγνονται. ὅθεν ἐς παροιμίαν μετῆλθε. λεχεποίην.] βαθείας βοτάνας ἔχουσαν, ἀφ' ὧν ἦν καὶ λέχος κατασῆσαι, τοῦτ' ἐστι κοίτην.

ἀρήϊος.] πολεμικὸς. ἔχε.] κατεῖχεν. ἀμφιδρυφής.] ἀμφοτέρας τὰς παρειὰς κατεξεσμένη, διὰ τὸν τοῦ ἀνδρὸς αὐτοῦ θάνατον. ἄλοχος.] γαμετή. γυνή. καὶ ἐστι κατ' ἐπίτασιν τὸ α. ἐνταῦθα. οἱονεὶ ὁμόλεχός τις οὖσα. ἐλέλειπτο.] κατελέλειπτο. δόμος.] ὁ οἶκος. ἡμιτελής.] ἤτοι ἄτεκνος. ἢ ἀφηρημένος τοῦ ἑτέρου τοῦ δεσποτῶν. ἢ ἀτελείωτος. ἔθος γὰρ ἦν τοῖς γήμασι θάλαμον οἰκοδομεῖσθαι. διὸ οἱ πολλοί φασιν οἰκοδομῶν θάλαμον ἑαυτῷ ὁ πρωτεσίλαος ἀπέπλευσεν ἠθὶ τὸν πόλεμον. βέλτιον δὲ εἰρῆσθαι ἡμιτελῆ, διὰ τὸ μὴ γεγεννηκότα παῖδας πλεῦσαι. οἱ δὲ ὅτι νεωστὶ καὶ οὐδέπω τελείως τὰ κατὰ τὸν γεγαμηκότα οἴκοι διεπράξατο. ἀλλὰ πρότερον ἐστράτευσε. δάρδανος ἀνήρ.] οἱ μὲν τὸν αἰνείαν ἀπέδοσαν, ὅτι βασιλεὺς ἦν δαρδανίων. οἱ δὲ τὸν εὔφορβον. ἕτεροι τὸν ἕκτορα. τινὲς δὲ ἀχάτην λέγουσιν ἑταῖρον τοῦ αἰνείου φονέα πρωτεσιλάου. δύναται δὲ καὶ ἀνωνύμως ἕνα τὸν δαρδανίων λέγειν. πολὺ πρώτιστον.] πάντων πρῶτον. οὐ δὲ μὲν οὐδ' οἱ.] οὐ μὴν οὐδὲ οὗτοι. ἄναρχοι ἔσαν.] ἄνευ ἡγεμόνων ἦσαν. πόθεον.] ἐπόθουν, ἐζήτουν. ἀλλὰ σφέας.] ἀλλ' αὐτούς. κόσμησε.] διέταξε, καθώπλισε. Ποδάρκης.] νῦν ὄνομα κύριον τοῦ ἀδελφοῦ τοῦ πρωτεσιλάου. ὄζος Ἄρηος.] ἀπόγονος ἄρεος, πολεμικὸς. πολυμήλου.] πολυπροβάτου, πλουσίου. φυλακίδαο.] φυλάκου παιδὸς ἰφίτου. αὐτοκασίγνητος.] ὁ ἀπ' ἀμφοτέρων τῶν γονέων ἀδελφός. κασίγνητος δὲ λέγεται ὁ καθ' ἕτερον τῶν γονέων ἀδελφός. μεγαθύμου.] μεγαλοψύχου, γενναίου. ὁπλότερος.] νεώτερος. γενεῇ δὲ.] τῇ ἡλικίᾳ τῷ γένει. δεύοντο.] ἐνδεεῖς ὑπῆρχον. ἐσθλὸν.] ἀγαθὸν, γενναῖον. φεραί.] πόλις θεσσαλίας. βοιβηΐς.] λίμνη ἐν θεσσαλίᾳ.

ἀδμήτοιο πάϊς.] ἀδμήτου υἱὸς εὔμηλος. ἀδμήτῳ.] συγγενομένη ἀδμήτῳ. δῖα γυναικῶν.] αὐτὶ τοῦ ὑπερθετικοῦ διοτάτη. ὅ ἐστι θαυμαστὴ καὶ διαφέρουσα παρὰ πάσας τὰς γυναῖκας. καλεῖται δῖα καὶ δι' εὐγένειαν καὶ σωφροσύνην. πελίας.] Ποσειδῶνος καὶ Τυροῦς υἱὸς τοῦ σαλμονέως, νηλέως ἀδελφὸς βασιλεὺς ἰωλκοῦ. ἡ δὲ ἰωλκὸς πόλις θεσσαλίας. θυγατρῶν.] θυγατέρων. εἶδος ἀρίστη.] τὴν μορφὴν εὐειδής. καὶ καλή. οἵδ' ἄρα.] οἵ τινες δή. μηθώνη καὶ θαυμάκια.] πόλεις θεσσαλίας.

σαλίας. ὅθεν ὁ φιλοκτήτης ὁποίαντος παῖς τόξων εὖ εἰδώς.] τοῦ τοξικῆς ἔμπειρος. ὀρέται.] κωπηλάται. ἐμβέβασαν.] ἐβεβήκεισαν. ἀλλ' ὁ μὲν, ἐν νήσῳ κεῖτο κρατέρ' ἄλγεα πάσχων.] ἱστόρηται ὅτι φιλοκτήτης ἐν λήμνῳ καθαίρων τὸν βωμὸν τοῦ χρυσῆς καλουμένης ἀθηνᾶς, ἐδήχθη ὑπὸ ὕδρου, καὶ ἀνιάτῳ τραύματι περιπεσὼν κατελείφθη αὐτόθι ὑπὸ τῶν Ἑλλήνων. ἤδεισαν γὰρ τοὺς ἠφαίστου ἱερεῖς θεραπεύειν τοὺς ὀφιοδήκτους, ἠγαθέῃ.] πάνυ θείᾳ. ὅτι ἱερὰ τοῦ ἡφαίστου ἦν ἡ λῆμνος. ὅθι.] ἔνθα, ὅπου. λίπον.] κατέλιπον. ἕλκεϊ.] τραύματι. μοχθίζοντα.] πονοῦντα, κάμνοντα. ὕδρου κακοῦ.] ὄφεως κακωτικοῦ. ὀλοόφρονος.] ὀλεθρίου. ἀχέων.] λυπούμενος.

Τῶν δὲ φιλοκτήτης ἦρχε τόξων εὖ εἰδώς,
Ἑπτὰ νεῶν. ἐρέται δ' ἐν ἑκάστῃ πεντήκοντα
Ἐμβέβασαν, τόξων εὖ εἰδότες ἶφι μάχεσθαι.
Ἀλλ' ὁ μὲν, ἐν νήσῳ κεῖτο κρατέρ' ἄλγεα πάσχων,
Λήμνῳ ἐν ἠγαθέῃ, ὅθι μιν λίπον υἷεσ Ἀχαιῶν
Ἕλκεϊ μοχθίζοντα κακῷ ὀλοόφρονος ὕδρου.
Ἔνθ' ὅγε κεῖτ' ἀχέων. τάχα δὲ μνήσεσθαι ἔμελλον
Ἀργεῖοι παρὰ νηυσὶ φιλοκτήταο ἄνακτος.
Οὐ δὲ μὲν οὐδ' οἱ ἄναρχοι ἔσαν, πόθεόν γε μὲν ἀρχόν.
Ἀλλὰ μέδων κόσμησεν ὀϊλῆος νόθος υἱός,
Τόν, ῥ' ἔτεκεν ῥήνη ὑπ' ὀϊλῆϊ πτολιπόρθῳ.
Οἵδ' εἶχον τρίκκην. καὶ ἰθώμην κλωμακόεσσαν,
Οἵτ' ἔχον οἰχαλίην πολιν εὐρύτου οἰχαλιῆος,
Τῶν, αὖθ' ἡγείσθην ἀσκληπιοῦ δύο παῖδε
Ἰητῆρ' ἀγαθὼ, ποδαλείριος, ἠδὲ μαχάων.
Τοῖς δὲ τρίκκοντα γλαφυραὶ νέες ἐστιχόωντο.
Οἵτ' ἔχον ὀρμένιον, οἵ τε κρήνην ὑπερείαν,
Οἵτ' ἔχον ἀστέριον, τιτάνοιό τε λευκὰ κάρηνα.
Τῶν ἦρχ' εὐρύπυλος εὐαίμονος ἀγλαὸς υἱός.
Τῷ δ' ἅμα τεσσαράκοντα μέλαιναι νῆες ἕποντο
Οἵδ' ἄργισαν ἔχον, καὶ γυρτώνην ἐνέμοντο,
Ὀρθὴν, ἠλώνην τε πόλιντ' ὀλοσσόνα λευκὴν,
Τῶν, αὖθ' ἡγεμόνευε μενεπτόλεμος πολυποίτης
Υἱὸς πειριθόοιο, τὸν, ἀθάνατος τέκετο Ζεύς.
Τόν, ῥ' ὑπὸ πειριθόῳ τέκετο κλυτὸς Ἱπποδάμεια
Ἤματι τῷ, ὅτε φῆρας ἐτίσατο λαχνήεντας.
Τούς δ' ἐκ πηλίου ὦσε, καὶ αἰθίκεσσι πέλασσεν.
Οὐκ οἶος, ἅμα τῷ γε λεοντεὺς ὄζος ἄρηος,
Υἱὸς ὑπερθύμοιο Κορώνου καινείδαο.
Τοῖς δ' ἅμα τεσσαράκοντα μέλαιναι νῆες ἕποντο.
Γουνεὺς δ' ἐκ κύφου ἦγε δύω, καὶ εἴκοσι νῆας.
Τῷ δ' ἐνιῆνες ἕποντο, μενεπτόλεμοί τε περαιβοί,
Οἱ περὶ δωδώνην δυσχείμερον οἰκὶ ἔθεντο,

Οἵτ'

τάχα δὲ μνήσεσθαι ἔμελλον.] ταχέως δὲ οἱ Ἕλληνες ἔμμελλον μνημονεύειν, καὶ χρήζειν τοῦ φιλοκτήτου. ἐπειδὴ εἵμαρτο χωρὶς τῶν ἡρακλέους τόξων μὴ ἁλῶναι τὴν ἴλιον. εἶχε δὲ ταῦτα ὁ φιλοκτήτης ἐαθέντα αὐτῷ ὑπὸ ἡρακλέους, καθ' ὃ, μηδενὸς θελήσαντος ἄλλου ὑφᾶψαι ἐν τῇ οἴτῃ τὴν ἡρακλέους πυρὰν ἐν τῇ τελευτῇ αὐτοῦ, ὑφῆψεν ὁ φιλοκτήτης. κόσμησε.] διέταξεν. ὀϊλῆος.] ὀϊλέος. νόθος υἱός.] ὁ μὴ ἐκ νομίμης γυναικὸς γεννηθεὶς ἀλλ' ἐκ παλλακίδος. τὸν ῥ' ἔτεκε ῥήνη ὑπ' ὀϊλῆϊ.] ἡ ῥήνη. τοῦτο δὲ ἦν ὄνομα τοῦ ὀϊλέως γυναικός. συγγενομένη φησὶ τῷ ὀϊλεῖ. πτολιπόρθῳ.] πόλεις πορθοῦντι, πολεμικῷ. τρίκκην καὶ ἰθώμην.] πόλεις θεσσαλίας. κλωμακόεσσαν.] τραχείαν, ὀρεινήν, ἢ ἀποκλίματα ἔχουσα. ἡγείσθην.] ἡγοῦντο. δυϊκῶς. ἰητῆρε ἀγαθώ.] ἰατροὶ ἀγαθοὶ, ἀνδρεῖοι.

τιτάνοιό τε λευκὰ κάρηνα.] αὐτὶ τοῦ λευκόγεων χωρίον. τίτανος γὰρ λευκή ἐστι γῆ. τιτάνοιό τε.] τιτάνου ὄρους θεσσαλίας. κάρηνα.] ἀκρωτήρια. ἄργισα καὶ Γύρτωνη.] πόλεις θεσσαλίας. ὄρθην.] βαρυτόνως ἀναγνωστέον, ἔστι γὰρ ὄνομα τόπου. λευκὴν.] λευκόγεων, ἢ διὰ τὸ τιτάνῳ κεχρίσθαι τὰς οἰκίας.

μενεπτόλεμος.] ὑπομονητικὸς ἐν τῷ πολέμῳ. ὁ δὲ πολυποίτης ἦν τοῦ πειρίθου παῖς. ὃν φασὶ πολυποίτην ὠνομάσθαι, ὑπὸ τοῦ πατρός. οἱονεὶ πολυποινήτην κατὰ συγκοπὴν, διὰ τὸ πολλοῖς τῶν κενταύρων ἐπιθεῖναι ποινὴν, ὅ ἐστι τιμωρίαν. ὁπό τε εἰς τοὺς γάμους τοῦ μητρὸς αὐτοῦ μελανίππης ὑβρίσαι ἐπεχείρησαν. υἱὸς πειριθόοιο.] πειρίθου υἱὸς πολυποίτης. τέκετο.] ἐγέννησε. κλυτὸς.] ἐν σχήματι πέφρακεν. αὐτὶ τοῦ κλυτή. ὅ ἐστιν ἐνδοξοτάτη. Ἱπποδάμεια.] πειρίθου γυνή. τὸ σχῆμα ἀττικόν. ἤματι τῷ.] ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. ὅτε φῆρας.] ὅτε τοὺς φῆρας. λέγει δὲ τοὺς κενταύρους. ἐτίσατο.] ἐτιμωρήσατο. λαχνήεντας.] βαθύτριχας, δασεῖς. πήλιον.] ὄρος θεσσαλίας ὅπου διῆγεν ὁ χείρων. ὦσεν.] ἐξέωσεν, ἐδίωξε. καὶ αἰθίκεσσι.] αἴθικες ἔθνος θετταλικὸν ὑπερκείμενον τοῦ ἠπείρου. ἢ ὥς τινες τοῦ μακεδονίας. ἄλλοι δὲ ἔπον περαιβίας, αὐτὶ τοῦ εἰς αἴθικας αὐτοὺς ἐδίωξε. πέλασσε.] προσήγαγεν. οὐκ οἶος.] οὐ μόνος. ἅμα τῷ γε.] ἅμα αὐτῷ. υἱὸς κορώνου.] λεοντεύς. ὑπερθύμοιο.] μεγαλοψύχου, γενναίου. καινείδαο.] καινέως παιδὸς κορώνου. κύφος.] πόλις περὶ τὴν περαιβίαν. ἐνιῆνες καὶ περαιβοί.] ἔθνη περὶ τὴν δωδώνην. δωδώνη.] χωρίον ἐν ὑπερβορέῳ τοῦ θεσπροτίας ἱερὸν διός. ἔνθα τὸ ἐκ τοῦ δρυὸς μαντεῖον τοῦ δωδωναίου διός. δυσχείμερον.] κακὸν χειμῶνα ἔχουσαν. οἰκὶ ἔθεντο.] τὴν οἴκησιν ἐποιήσαντο.

Οἵτ' ἀμφ' ἰμάρτην τιταρήσιον ὀρ' ὑγὲμοντο.
Ὅς ῥ' ὀΐ πλωείων πόδας καλλίῤῥοον ὕδωρ.
Οὐδ' ὅγε πνειῶ συμμίσγετε ἀργυροδίνη.
Ἀλλὰ τέ μιν καθύπερθε ὠθῆᾶει, πότ' ἔλασον,
Ὅρκος γὰρ δεινὸ συγὸς ὕδατός ἐστιν ἀρῤῥώξ.
Μαγνήτων δ' ἦρχε πρόβοος πυθμενίδου υἱός.
Οἱ πόδι πνειόν, καὶ πλίον εἰνοσίφυλλον
Ναίεσκον, πῶ, μὴ πρόβοος θοὸς ἡγεμόνδε.
Τῷδ' ἅμα τεσσαράκοντα μέλαιναι νῆες ἕποντο.
Οὗτοι ἄρ' ἡγεμόνδ' ἀνακῶ, καὶ κοίρανοι ἦσαν.
Τίστ' ἄρ' τῶ, ὄχ' ἄειστος ἦεν, σύ μοι γῦνεπε μῶσα,
Αὐτῶν, ἠδ' ἵππων, οἳ ἅμ' ἀτρείδῃσιν ἕποντο.
Ἵπποι μὲν μὴ ἄειστα ἔσαν φηρητιάδαο.
Τὰς, σύμηλος ἔλαυνε ποδώκεας, ὄρνιθας ὡς,
Ὄτριχας οἰέτας σαφύλῃ ὠδῖ νώτου ἐΐσας,
Τὰς, ὧν πιεζὴ θρέψ' ἀργυρότοξος Ἀπόλλων,
Ἀμφω θηλείας, φόβον ἄρνος φορεύσας,
Ἀνδρῶν δ' αὖ μὲν ἄειστος ἦεν τελαμώνιος Αἴας,
Ὄφρ' Ἀχιλεὺς μήνιεν, ὃ γὰρ πολὺ φέρτατος ἦεν,
Ἵπποιθ' οἵ φορέσκον ἀμύμονα πηλείωνα.
Ἀλλ' ὁ μὲν, ὧν νήεσι κορωνίσι πόντοπόροισι
Κεῖτ' ἀκμηνίσας Ἀγαμέμνονι ποιμένι λαῶν
Ἀτρεΐδῃ. λαοὶ δὲ παρὰ ῥηγμῖνι θαλάσσης
Δίσκοισίν τ' ὀρθοῖσι, καὶ ἀγχεμάχῃσιν ἰοῦσι
Τόξοισί θ', ἵπποι δὲ παρ' ἅρμασιν οἷσιν ἕκαστος
Λωτὸν ἐρεπτόμενοι, ἐλεοπρεπῆ τόν τε σέλινον
Ἑστάκασ', ἅρματα δ' ἐν πεπυκασμένα κεῖτο ἀνάκτων
Ἐν κλισίῃς. οἵδ' ἀρχὸν ἀρηΐφιλον πεθέοντες,
Φοίτων ᾗ θα καὶ ᾗ θα ἦ στρατὸν, ἠδ' ἐμάχοντο.
Οἱδ' ἄρ' ἔσαν, ὡσεί τε πυρὶ χθὼν πᾶσα νέμοιτο.
Γαῖα δ' ὑπεστονάχιζε Διὶ ὡς τορπικεράυνῳ
Χωομένῳ, ὅτε τ' ἀμφὶ τυφώεϊ γαῖαν ἰμάσσῃ
Εἰν ἀρίμοις. ὅθι φασὶ τυφωέος ἔμμεναι κεῦνάς.
Ὣς ἄρα τῶ, τῷ ποσὶ μέγα σοναχίζετο γαῖα
Ἐρχομένων, μάλα δ' ὦκα διέπρησσον πεδίοιο.
Τρωσὶν δ' ἄγγελος ἦλθε ποδήνεμος ὠκέα ἶρις
Παῤ Διὸς αἰγιόχοιο σὺν ἀγγελίῃ ἀλεγεινῇ,
Οἵδ' ἀγορὰς ἀγόρσυντο ἀθ' ἡλιάμοιο θύρῃσι
Πάντες ὁμηγερέες, ἠμὲν νέοι, ἠδὲ γεγῶντες,
Ἀγχοῦ δ' ἱσταμένη προσέφη πόδας ὠκέα ἶρις
Εἰδομένη υἱῇ φρονίου πολίτῃ,
Ὅς Τρώων σκοπὸς ἷζε ποδ' ὠκείῃσι πεποιθὼς,
Τύμβῳ ἐπ' ἀκροτάτῳ αἰσυήταο γόρτοιο,
Δέγμενος ὁππότε ναῦφιν ἀφορμηθεῖεν Ἀχαιοί,
Τῷ μὲν ἐεισαμένη μετέφη πόδας ὠκέα ἶρις.
Ὦ γέρον, ἀεί τοι μῦθοι φίλοι ἄκριτοί εἰσιν,
Ὡς ποτ' ἐπ' εἰρήνης, πόλεμος δ' ἀλίαστος ὄρωρεν,
Ἦ μὲν δὴ μάλα πολλὰ μάχας ἐσάλυθον ἀνδρῶν.
Ἀλλ' ὔπω τοιόνδε, τοσὸν δ' ἐτὸν λαὸν ὁπώπα.
Λίην γὰρ φύλλοισιν ἐοικότες, ἢ ψαμάθοισιν,
Ἔρχονται πεδίοιο μαχησόμενοι πρὸς ἄστυ.
Ἕκτορ, σοὶ δὲ μάλιστ' ὦδε τελέομαι, ὧδέ μ' ἔειπας,
Πολλοὶ γὰρ ἡμῖν ἄλλοι μεγάθυμοι ἐπίκουροι,
Ἄλλη δ' ἄλλων γλῶσσα πολυσπερέων ἀνθρώπων,
Τοῖσιν ἕκαστος ἀνὴρ σημαινέτω, οἷσίπορ ἄρχει,
Τῶν δ' ὀχηγεῖδω κοσμησάμενος πολίτας,
Ὣς ἔφαθ', ἕκτωρ δ' ὄπι θεᾶς ἔπος ἠνοίησεν,
Αἶψα δ' ἔλυσ' ἀγορὴν, ὦδι τύχεα δ' ἐσσύοντο.
Πᾶσαι δ' ὠΐγνωτο πύλαι, ἐκ δ' ἔσυτο λαὸς,
Πεζοίθ', ἱππῆές τε, πολὺς δ' ὀρυμαγδὸς ὀρώρει,
Ἔστι δέ τις προπάροιθε πόλιος ἀπήνη κολώνη,
Ἐν πεδίῳ ἀπάνευθε, τρίδρομος ᾗ θα καὶ ᾗ θα.
Τὴν, ἤτοι ἀνδρῶν βατίειαν κικλήσκουσιν,
Ἀθάνατοι δ' ἄρα τε σῆμα πολυσκάρθμοιο μυείνης,
Ἔνθα τότε Τρωΐς τε διέκριθεν, ἠδ' ἐπίκουροι.
Τρωσὶ μὲν ἡγεμόνευε μέγας κορυθαίολος Ἕκτωρ
Πειραμίδης, ἅμα τῷ γε πολὺ πλεῖστοι, καὶ ἄριστοι
Λαοὶ θωρήσσοντο μεμαότες ἐγχείῃσι.
Δαρδανίων

ἰμάρτην.] ἐπιθυμητὴν, καλὴν. τιταρήσιον.] ποταμὸς Θεσσαλίας, ὃς ἀπὸ Πηνειοῦ ῥεῖν λέγεται, ἢ ὑπέρου. ὄρκας.] νεῶ τὰ γεώργια, ἵν' ᾖ, ἐγεώργουν. πηνειόν.] πηνειὸς ποταμὸς Θεσσαλίας, πλησίον φίλης. ταύτας τὰς ἐν αὐτῇ διεχόμενος ποταμὸς, εἰς θάλασσαν ἐμβάλλει. πρόεσι.] πρόπεμποι, ἐκδίδωσι. καλλίῤῥοον.] καλῶς ῥέον. αἰγυροδίνη.] λαμπρὰ ἢ καλὰ ῥεύματα ἔχουσι. δίναι γὰρ αἱ τῶν ὑδάτων συστροφαί. καθύπερθεν.] αὖθις. ὄρκη γὰρ θεινὸ συγὸς ὕδατος.] ὅπερ ὅρκος θεῶν νομίζεται. θεινὸ.] φοβερὸν. σύς.] λιμὼν ἐν ᾅδου, ὅρκος θεῶν. μαγνήτων.] νεῶν τῶν τῆς Θεσσαλικῆς μαγνησίας οἰκούντων. πρόβοος βοός.] τοῦτο τὸ σχῆμα παρωνομασία καλεῖται. ποίρανοι.] βασιλῆς. ἴννεπε.] λέγε. ἵπποι μὲν ἄειστοι.] βόχως ἢ μεγάλως ἄριστοι, ὡς Θεσσαλικαί. ἢ ὁ χρησμὸς φησίν. Ἵππον Θεσσαλικὴν, λακεδαιμονίαν τε γυναῖκα, Ἀνδρὸς τ' οἳ πίνουσ' ἐρατὸν πηγὴν ὑπὸ Πειρήνης. φηρητιάδαο.] τοῦ φήρητος παιδὸς Ἀδμήτου. σὺν μηλῶν.] πᾶσι Ἀδμήτου. ἔλαυνεν.] ἤλαυνε. ποδώκεας.] ταχύποδας.

ὄρνιθας ὥς.] καθάπερ ὄρνιθας. ὕπερ χαρες.] ὁμόῤῥιχας. οἰέτιας.] ἰσοτιζε ἡμήλικας. σαφύλῃ ὠδῖ νώτου ἴσας.] οὕτως ἴσας ἢ ὡσαύτως τοῖς νώτοις ὥσπερ σάθμη. σαφύλη γὰρ ὁ τετανισμὸς διαζύγης. οἱ δὲ τὴν σάθμην λέγουσιν. ἔστι δὲ ὁ σάθμη σχοινίον λεπτὸν χριόμενον μίλτῳ ἢ μέλανι, ᾧ σημαινόμενοι ἀπορθοῦσι τὰ ξύλα. πίεζε.] πόλις Θεσσαλίας. ὀρέψ' ἀργυρότοξος ἀπόλλων.] τὰς ἀδμήτου ἵππους. ἐπὶ νόμοις ὁ θεὸς ὢν ἐκείνου ἀφ' οὗ ἠθέτησε τῷ ἀδμήτῳ, ἤτοι ὡς καλλίμαχος. ἠθέλησε ὑπ' ὄρκου μηκαμένος ἀδμήτου. ἢ ὡς εὐριπίδης ἐν ἀλκήστιδι, ὧν αὐάγνης τοῦ διὸς, διὰ τὸ πεφονευκέναι αὐτὸν τοὺς κύκλωπας. ἄμφω.] ἀμφοτέρους. φόβον ἄρνος φορεύσας.] ἐπισαμένας, ὅτε μὴ φούγειμ, ὅτε δὲ λιώπειμ πωλείμεν. αὐηλρῶν αὖ.] αὐηλρῶν δὲ δή. ὄφρα.] αὐτὶ τοῦ μέχρις οὗ. ἰμήνιεν.] ὠργίζετο. πολυφόρτατος.] καταπολὺ κράσωων. ἔκ.] ὧν, ὑπῆρχε. φορέσκον.] ἔφερον. ποντοπόρεσι.] θαλασσοπλόοις. ἀπομηνίσας.] ἐπιμόνως ὀργισθείς. παρὰ ῥηγμῖνι.] παρὰ τὸ αἰγιαλῶ. λίσκοισι.] λίσκος ὅτι βαρὺς λίθος ὃν ἐρρύηκεν οἱ γυμναζόμενοι. τὸν γὰρ σιδηροῦν, σόλον προσαγορεύουσι. τέρποντο.] ἐτέρποντο, ἐπαιζεν. αἰγανέῃσιν.] ἀκοντίοις. ἤτοι παρὰ τὸ ἄγαν ἵεναι. ἢ παρὰ τὸ σὺν θεῖναι αὐτὰς εἰς αἰγῶν ἄχραρ ἵεντες.] ἀφίεντες. πέμποντες. παρ' ἅρμασιν οἷσιν.] παρὰ τοῖς ἰδίοις ἅρμασι. λωτόν.] εἶδος βοτάνης. ἐρεπτόμενοι.] ἐσθίοντες. ἐλεόῤῥεπτον.] ἐν ἕλει τεθραμμένον, ὅ ἐστι φυόμενον. πεπυκασμένα.] ἐσκεπασμένα. ἀνάκτων.] νεῶν διεσπουδμένων. ἀγχιφίλων.] πολεμικῶν. πεθέοντες.] ἐπιῤῥέοντες. φοίτων.] περιῄρχοντο. οἵ δ' ἄρ'.] εἰ ἦ δὴ Ἕλληνες. ἔσαν.] ἀπῆσαν. ὡς ἤτε πυρὶ χθὼν πᾶσα νέμοιτο.] ὡς αὖ ἡ ἐπὶ πᾶσαν τὴν ; ὧν νέμοιτο ἢ κατεδίετο τὸ πῦρ. χθὼν γὰρ ἡ γῆ. νέμοιτο.] περιεβόσκετο. ὑπεστονάχιζ.] ὑπέστενε, ἤχει. ἀμφὶ τυφοεῖ.] περὶ τῷ τυφῶνι. τυφὼν δὲ ἐς τῶν γιγαντῶν, γῆς ὢν καὶ ταρτάρου, πολέμιος τοῖς θεοῖς ὡς φησιν ἡσίοδος. ἰμάσσῃ.] μαστίζῃ. ὅ ἐστι πόρρωθεν πλήττῃ. ἶμμεναι.] εἶναι. ὑπάρχειν. κεῦνάς.] κοίτας, ἐν οἷς διαῤῥιβάς. ἀρίμοις.] τὰ ἄγιμα ἢ ἔρημα ἢ ἡμιλικίας φασὶν οἱ δὲ λυδίας. ποδήνεμος.] διὰ τὸ ποδίου. ποδώκεϊ.] ταχεῖα. παῤ Διὸς.] παρὰ Διός. ἀγγελίῃ.] ὑδὶ ἀγγελίᾳ. ἀλεγεινῇ.] ἀλγινῇ, χαλεπῇ, ἡκεῖ φρουτίδι ἀξίᾳ ἀγοράς.] νεῶ αὐτὶ τῶν λόγων ἄκρους. ἀγόρευον.] ἐν ἐκκλησίαις ἐδημηγόρουν ἡκεῖ ἔλεγον. ὦδι.] νεῶ αὐτὶ τοῦ παρὰ δημηγέρεες.] ἐπὶ τὸ αὐτὸ συννεμένοι. ἀγχοῦ.] ἐγγύς. ἐσταμένη.] στᾶσα. ἕστατο.] ὁμοιώθη. φθογγλίῳ.] φωνῇ. σκοπὸς.] κατάσκοπος. ἷζε.] ἐκάθητο. ποδωκείῃσι.] τῇ τῶν ποδῶν ταχυτῆτι. πεποιθὼς.] πεπτευκὼς τιθαρρήκοϊ. τύμβῳ ἐπ' ἀκροτάτῳ.] ὦδι τῷ ἀκρωτάφῳ. αἰσυήταο.] αἰσυήτου. διζυμένω.] ἐκδιχόμενος, ἐπιτηρῶν. νεῶφιν.] ἀπὸ τῶν νεῶν. ἐφορμηθεῖεν.] ἐφορμήσειεν. τῷ.] ἐκείνῳ. ἐεισαμένη.] ὁμοιωθεῖσα. ὡς ποτ' ἐπ' ἐρήνης.] ὡς ἐν τῷ ἐκαιρῷ δὲ ἐρήνης. ἀκριτοι.] ἀδιάκριτοι, πολλοὶ. ἁλίαστος.] ἀϊδιακλιτος, πολύς. ὄρωρε.] διέγηρται. ἦ μὲν δή.] ὄντως μὲν δή. ὑπωπα.] ἑώρακα. λίην.] λίαν, πάνυ. ψαμάθοισι.] ψάμμοις. ἰοικότες.] ὁμοιώμενοι τῷ πλήθει. πεδίοιο.] διὰ τὸ πεδίον. πρὸς ἄστυ.] περὶ τὴν πόλιν. ἐπιτέλλομαι.] ἐπιτέλλω, προτάσσω. ῥέξαι.] πρᾶξαι. ἐπίκουροι.] οἱ τῶν πολεμουμένων βοηθοὶ, σύμμαχοι δὲ οἱ τῶν πολεμούντων. γλῶσσα.] διάλεκτος. φωνὴ. πολυσπερέων.] ἀδὶ πολλὰ μέρη δὲ γῆς διεσπαρμένων, πολυγενῶν, ἢ πολυεθνῶν. σημαινέτω.] προσαγαγέτω, πειθέτω. οἷσίπορ ἄρχει.] αὐτὶ τοῦ ὧν ἀρχῇ. τῶν.] τούτων. ὀχηγέσθω.] ἀφηγέσθω. κοσμησάμενος.] διατάξας. πολίτας.] πολίτας. ἠγνοίησεν.] ἀγνοηθῶναι ἐποίησεν. ὦδι τύχεα.] ὦδι τὰ ὅπλα. ἐσσύοντο.] ὥρμων. αἶψα.] ταχέως. πᾶσαι.] αὐτὶ τοῦ ὅλαι. μία γὰρ ὧν ἵππάλατος. ὠΐγνωτο.] αὐτὴ ἐγνώννυτο. ἐκ δ' ἔσυτο.] ὀξέως δὲ ὁρμαγδὸς ὀρώρει. βόρυβος. ὠρώρει.] διεγήγερτο. προπάροιθεν.] ἔμπροσθεν. ἀπήνη.] ὑψηλή. κολώνη.] τόπος ἐς ὕψος αἰήνως οὕτω καλούμενος. ἔστι γὰρ γεώλοφος ὀχθὴ ἀπανέυθεν.] ἔξω δὲ πόλεως. τρίδρομος.] τριχῇ ῥέουσα τροχοῦλος. πανταχόθεν περιέχεσθαι δυνάμενος. ἔνθα καὶ ἔνθα ἐς πλάτος καὶ ἐς μῆκος. βατίεια.] πόλις τρωϊκὴ. παρὰ τῶν περὶ αὐτὴν βάτων. κικλήσκουσιν.] καλοῦσι. σῆμα.] νεκρὸν τάφον. ἄλλοτε δὲ σημεῖον. πολυσκάρθμοιο.] πολυνιφέτου, ταχέως. διὰ τὸ πολλὰ αὐτὴν ἐνδρύεσθαι ἐν τῷ πολέμῳ. σκαρθμὸς γὰρ ὁ τῶν πολλῶν πήδησις. Μυρίνα.] ὄνομα κύριον ἀμαζόνος. Τρῶες.] νεῶν πάντες οἱ ἐν τῇ χώρᾳ Τρῶες. διέκριθεν.] διεχωρίσθησαν, διεταξήθησαν. ἠδ' ἐπίκουροι.] καὶ οἱ σύμμαχοι. Τρωσὶ μὲν ἡγεμόνευε.] αὐτὶ τοῦ τῶν Τρώων ἡγεῖτο. κορυθαίολος.] ὁ καλόλλων τὴν περικεφαλαίαν, ὅ ἐστι πίνθην. διὰ τὰς ἐν πολέμῳ συνεχεῖς καὶ σφοδρὰς ἐνδυγίας. ἢ ὁ καλὸν καὶ ποικίλλω ἔχων τὴν περικεφαλαίαν, ἢ ὁ σύνηκτος ἐν τοῖς πολέμοις. μεμαότες.] προθυμούμενοι. ἐγχείῃσι.] τοῖς δόρασι.

Δαρδανίων.] τῶν τὴν Δαρδανὸν πόλιν τροίαν οἰκούντων. ἐΰς.] πλατὺς, μέγας. ἀφ' οὗ ἰσχυρός. Αγχίσαο.] ἀγχίσου. δῖα.] θαυμαστή, θεία. Ιδης.] ὄρος Τροίας. ἐστι δὲ καὶ ἑτέρα ἴδη τῆς Κρήτης. κνημοῖσι.] ταῖς προβάσεσι τῶν ὀρῶν. Αντήνορος ὑε.] ἀρχίλοχος καὶ ἀκάμας. μάχης εὖ εἰδότε πάσης.] πάσης μάχης ἐπιστήμονες. βροτοί.] ἄνθρωποι. Ζέλεια.] πόλις ἐν μεθορίοις τῆς τροίας οὖσα ὑπὸ τῇ Ιδῃ, παρὶς πανδάρου. ὑπαὶ πόδα νείατον ἴδης.] ὑπὸ τὰ ἔσχατα μέρη τῆς ἴδης. πόδα γὰρ τὸ κατώτατον μέρος μεταφορικῶς. τουτέστιν ὃ καλοῦμεν ἡμεῖς ὑπόρειαν. ἔναιον.] ὤκουν. μέλαν.] βαθύ. αἰσήποιο.] ποταμὸς τῆς ὑπὸ τῇ ἴδῃ λυκίας. Τρῶες.] οἱ ἀπὸ λυκίας τῆς ἐν Τροίᾳ, οὗτοι Τρῶες ἐκαλοῦντο.

τόξον.] τὴν τοξικὴν ἐμπειρίαν. τὸ γὰρ τόξον αὐτὸς κατεσκεύασε. τόξων εὖ εἰδώς.] αὐτὶ τῆς τὴν τοξικὴν ἀκριβῶς ἐπιστάμενος. ἀδρήστειαν.] ἀδράστειαν. τηρείης ὄρος αἰπύ.] τήρεια ὄρος Τροίας.

Απαισοῦ.] ὄνομα βασιλέως. ἀφ' οὗ ἡ πόλις ὠνομάσθη ἀπαισός. λινοθώρηξ.] λινοῦν θώρακα ἔχων. πέρι πάντων.] ὑπερ πάντας. Περκωσίου τῆς ἀπὸ περκώτης πόλεως Τροίας. οἱ δὲ φησιν ἑλλήσποντον. ᾔδεε.] ᾔδει, ἠπίστατο.

μαντοσύνης.] μαντείας. ὃ δὲ ὅς.] οὐδὲ τοὺς ἰδίους. οὔτι.] οὐδέν. ἔασκεν.] εἴα, συναιχώρει. στέχειν.] πορεύεσθαι. φθισήνορα.] τὸν φθείροντα. τοὺς ἄνδρας. τὼ δὲ οἱ.] οὗτοι δὲ αὐτῷ.

πιθέσθην.] ἐπείθοντο. κῆρες ἤγον.] αὐάγκη γὰρ ἔφερον αὐτοὺς αἱ θανατηφόροι μοῖραι. Πράκτιον.] πόλις ἑλλησπόντου. σηστὸς καὶ Αβυδός.] πόλεις περὶ τὸν ἑλλήσποντον, καθ' ἃς Ξέρξης ἐπιστρατεύων τῇ ἑλλάδι, συνέδησε ναῦς καὶ ἐπλήρωσεν αὐτὰς γῆς, ὡς ποιῆσαι αὐτὸν τὸ στράτευμα ὅλον πεζὸν παρελθεῖν τὸν στενὸν ἐκεῖνον τῆς θαλάσσης πόρον. ἑλλήσποντος δὲ λέγεται ὁ διείργων τὴν θράκην καὶ τὴν Τρωάδα πορθμός.

ὑρτακίδης.] ὑρτάκου παῖς. ὄρχαμος.] ἡγεμὼν, ἔξαρχος. ἀρίσβηθεν.] ἀπὸ ἀρίσβης πόλεως ἑλλησπόντου. ἐγχεσιμώρων.] περὶ τὰ δόρατα μεμωρημένων.

ἐριβώλακα.] εὔγειον, λιπαράν. τευταμίδαο.] τευτάμου παιδὸς. λίθοιο.] λίθου. ὅσσος.] ὁπόσος. θρήϊκας.] θρᾷκας. Λαρίσσα.] πόλις θετταλίας.

πείροος.] πέρους. ἀγάρροος.] σφοδρῶς ῥέων. ἐντὸς.] ἔσωθεν αὐτοῦ.

ἐέργει.] περικλείϊ. αἰχμητάων.]

Δαρδανίων αὖτ' ἦρχεν ἐΰς παῖς ἀγχίσαο
Αἰνείας, τὸν ὑπ' ἀγχίσῃ τέκε δι' ἀφροδίτη,
Ἴδης ἐν κνημοῖσι θεὰ βροτῷ εὐνηθεῖσα.
Οὐκ οἶος, ἅμα τῷ γε δύω ἀντήνορος υἷε,
Ἀρχίλοχός τ', ἀκάμας τε, μάχης εὖ εἰδότε πάσης.
Οἱ δὲ ζέλειαν ἔναιον ὑπαὶ πόδα νείατον ἴδης,
Ἀφνειοὶ, πίνοντες ὕδωρ μέλαν αἰσήποιο
Τρῶες, τῶν, αὐτὰρ ἦρχε λυκάονος ἀγλαὸς υἱὸς
Πάνδαρος, ᾧ καὶ τόξον Απόλλων αὐτὸς ἔδωκεν,
Οἱ δ' ἀδρήστειαν τ' εἶχον, καὶ δῆμον Απαισοῦ,
Καὶ πιτύειαν ἔχον, καὶ τηρείης ὄρος αἰπύ.
Τῶν ἦρχ' ἄδρηστός τε, καὶ ἄμφιος λινοθώρηξ,
Υἱε δύω μέροπος περκωσίου, ὃς περὶ πάντων
Ἤιδεε μαντοσύνας, οὐδὲ οὓς παῖδας ἔασκε
Στείχειν ἐς πόλεμον φθισήνορα, τὼ δὲ οἱ οὔτι
Πειθέσθην. κῆρες γὰρ ἄγον μέλανος θανάτοιο,
Οἱ δ' ἄρα περκώτην, καὶ πράκτιον ἀμφενέμοντο,
Καὶ σηστὸν, καὶ ἄβυδον ἔχον, καὶ δῖαν ἀρίσβην,
Τῶν, αὖθ' ὑρτακίδης ἦρχ' ἄσιος ὄρχαμος ἀνδρῶν.
Ἄσιος ὑρτακίδης, ὃν ἀρίσβηθεν φερὸν ἵπποι
Αἴθωνες μεγάλοι, ποταμοῦ ἀπὸ σελλήεντος.
Ἱππόθοος δ' ἄγε φῦλα πελασγῶν ἐγχεσιμώρων,
Τῶν, οἳ λάρισσαν ἐριβώλακα ναιετάασκον,
Τῶν, ἦρχ' ἱππόθοός τε, πυλαιός τ' ὄζος ἄρηος.
Υἱε δύω Λίθοιο πελασγοῦ τευταμίδαο,
Αὐτὰρ θρήϊκας, ἦγ' ἀκάμας, καὶ πείροος ἥρως,
Ὅσσους ἑλλήσποντος ἀγάρροος ἐντὸς ἐέργει,
Εὔφημος δ' ἀρχὸς κικόνων ἦν αἰχμητάων,
Υἱὸς τροιζήνοιο διοτρεφέως κεάδαο,
Αὐτὰρ πυραίχμης ἄγε παίονας ἀγκυλοτόξους.
Τηλόθεν ἐξ ἀμυδῶνος, ἀπ' ἀξίου εὐρὺ ῥέοντος,
Ἀξίου, οὗ κάλλιστον ὕδωρ ὑπὲρ κίδναται αἶαν.
Παφλαγόνων δ' ἡγεῖτο πυλαιμένεος λάσιον κῆρ,
Ἐξ ἐνετῶν, ὅθεν ἡμιόνων γένος ἀγροτεράων.

Οἱ ῥα

κύτωρον.] χωρίον παφλαγονίας. Παρθένιον.] ποταμὸν. τῶν τον ἔνιοι λέγουσι διὰ τὴν πραότητα οὕτω προσαγορεύεσθαι. ἢ ἐπειδὴ παρθένος ἡ ἄρτεμις οὖσα ἐν αὐτῷ ἐλούσατο. αἰγιαλόν.] παντὰ τὸν παραθαλάσσιον τόπον τῆς Παφλαγονίας λέγει. ἐρυθίνους.] ὄρη παφλαγονίας ἢ Πόντου. ἀλιζώνων.] ἔθνους τῶν πόντου. εἰσὶ δὲ οὗτοι βοιωτοί. οὓς τινας οἰνοπὰς φασιν. οἱ δὲ ἔθνος αἴα. ὅθεν ἀργύρου ἐστὶ γενέθλη.] ὅπου κάλλιστος ἄργυρος γεννᾶται. γενέθλη γὰρ ἡ γέννησις. Αλύβης.] χωρίον βιθυνίας. οἰωνιστής.] οἰωνοσκόπος, ὁ δι' ὀρνίθων μαντευόμενος. ἀλλ' οὐκ οἰωνοῖσιν ἐρύσατο κῆρα μέλαιναν.] ἀλλ' οὐκ ἐξέφυγε τὸν θάνατον διὰ τὴν οἰνωσκοπίαν. ἐρύσατο.] ἐφυλάξατο.

ἐδάμη.] ἀνηρέθη ἐδαμάσθη. ποδώκεος.] ταχύποδος. Αἰακίδαο.] ἀπογόνου αἰακοῦ Αχιλλέως. ἐν ποταμῷ.] ἐν τῇ παρὰ τὸν ξάνθον ποταμὸν μάχῃ.

ὅθι.] ὅπου. κεράϊζε.] κατὰ κράτος ἠφανίζε καὶ ἀνήρη. ἔρηται δὲ ἀπὸ τῶν τοῖς κεράτοις μαχομένων ζώων. θεοειδής.] θεοῖς τὸ εἶδος ὅμοιος. τῆλε.] πόῤῥω, μακράν. Φόρκυς αὖ Φρύγας ἦγεν.] ὁ ποιητὴς διαστέλλει φρύγας καὶ Τρῶας. οἱ νεώτροι δὲ συγχέουσι τὴν Φρυγίαν καὶ τὴν Τρῳάδα. Ασκανίη.] πόλις φρυγίας καὶ λίμνη ὁμοίως. μέμασαν.] προεθυμοῦντο. ὑσμῖνι.] μάχῃ. μήοσι.] τῶν μηόνων. Πυλαιμένεος.] Πυλεμαίνους.

τώ.] οὓς τινας, δυϊκῶς. γυγαίη.] λίμνη λυδίας. ὅπου καὶ γυγαίης ἀθηνᾶς ἱερόν. μήονες.] λυδοί. Τμῶλος.] ὄρος λυδίας. ἀφ' οὗ καταφέρεται ὁ πακτωλὸς ποταμός. βαρβαροφώνων.] ἀγριοφώνων καὶ τὴν Ελλάδα φωνὴν ἠχρηστωκότων. ὅτι τὰ μὲν ἀῤῥενικὰ θηλυκῶς ἔλεγον, τὰ δὲ θηλυκὰ ἀῤῥενικῶς. φθειρῶν ὄρος.] τῆς καρίας περὶ μίλητον διὰ τὸ πολλὰς ἔχειν πίτυς. οἱ γὰρ τόποι τῶν πιτύων φθεῖραι προσαγορεύονται. οἱ δὲ ὅτι τὰ τῶν πιτύων μικρὰ στροβύλια, οὕτως λέγονται, ἃ καὶ πιτυοκάμπας φασίν. ἢ ἀπὸ φθείρωνος τῆς ἐνδυμίωνος. ἢ ὅτι τὰ ἐξανθήματα τῶν πιτύων ὅμοιά εἰσι φθειρσίν. ἀκριτόφυλλον.] πολύφυλλον, σύνδενδρον. Μαίανδρος.] ποταμὸς ἀρχόμενος ἀπὸ φρυγίας, ῥέων δὲ διὰ καρίας εἰς θάλασσαν πλησίον μιλήτου. ῥοάς.] ῥεύματα. Μυκάλη.] ὄρος περιήνης αὐτικρὺ σάμου τῆς νήσου. αἰπεινὰ κάρηνα.] ἰσθὶ τὰς ὑψηλὰς κορυφάς. χρυσὸν.] νῦν χρυσοῦν κόσμον. νήπιος.] αἰόητος καὶ ἄφρων. ἐπήρκεσεν.] ἐβοήθησε. λυγρόν.] χαλεπόν. ὄλεθρον.] λοιγόν. ἐκόμισεν.] ἐπορίσατο. ἀμύμων.] ἀμώμητος, ἀγαθὸς καὶ ἄψογος. δαΐφρων.] πολεμικὸν φρόνημα ἔχων. τηλόθεν ἐκ λυκίης.] τῆς πόῤῥω διεστηκείας τῆς κατὰ Σαρπηδόνα. ἔστι γὰρ καὶ ἐγγὺς Τροίας λυκία, ἧς ἦρχε πάνδαρος. Ξάνθος.] ποταμὸς λυκίας. δινήεντος.] δίνας καὶ συστροφὰς ποιοῦντος ἐν τῷ καταφέρεσθαι.

Οἱ ῥὰ κύτωρον ἔχον, καὶ σήσαμον ἀμφενέμοντο,
Ἀμφίτε παρθένιον ποταμὸν κλυτὰ δώματ' ἔναιον,
Κρῶμνάν τ', αἰγιαλόν τε, καὶ ὑψηλοὺς ἐρυθίνους,
Αὐτὰρ ἁλιζώνων ὁ Διός, καὶ ἐπίστροφος ἦρχον,
Τηλόθεν ἐξ ἀλύβης, ὅθεν ἀργύρου ἐστὶ γενέθλη,
Μυσῶν δὲ Χρόμις ἦρχε, καὶ ἔννομος οἰωνιστὴς,
Ἀλλ' οὐκ οἰωνοῖσιν ἐρύσατο κῆρα μέλαιναν,
Ἀλλ' ἐδάμη ὑπὸ χερσὶ ποδώκεως αἰακίδαο
Ἐν ποταμῷ, ὅθι περ Τρῶας κεράϊζε καὶ ἄλλους.
Φόρκυς αὖ φρύγας ἦγε, καὶ ἀσκάνιος θεοειδὴς
Τῆλ' ἐξ ἀσκανίης, μέμασαν δ' ὑσμῖνι μάχεσθαι,
Μήοσιν αὖ Μέσθλης τε, καὶ ἄντιφος ἡγησάσθην,
Υἱε πυλαιμένεος, τὼ, γυγαίη τέκε λίμνη,
Ὃ καὶ μήονας ἦγον ὑπὸ τμώλῳ γεγαῶτας.
Νάστης αὖ καρῶν ἡγήσατο βαρβαροφώνων,
Οἱ μίλητον ἔχον, φθειρῶν τ' ὄρος ἀκριτόφυλλον,
Μαίανδρου τε ῥοὰς, μυκάλης τ' αἰπεινὰ κάρηνα,
Τῶν, μὲν ἄρ' ἀμφίμαχος, καὶ Νάστης ἡγησάσθην,
Νάστης, ἀμφίμαχός τε Νομίονος ἀγλαὰ τέκνα.
Ὃς καὶ χρυσὸν ἔχων, πόλεμόν δ' ἴεν ἠΰτε κούρη
Νήπιος, οὐδέ τι οἱ τόγ' ἐπήρκεσε λυγρὸν ὄλεθρον,
Ἀλλ' ἐδάμη ὑπὸ χερσὶ ποδώκεως αἰακίδαο
Ἐν ποταμῷ, χρυσὸν δ' ἀχιλεὺς ἐκόμισε δαΐφρων.
Σαρπηδὼν δ' ἦρχεν λυκίων, καὶ γλαῦκος ἀμύμων,
Τηλόθεν ἐκ λυκίης ξάνθου ἀπὸ δινήεντος.

ΙΛΙΑΔΟΣ

ΥΠΟΘΕΣΙΣ

ΥΠΟΘΕΣΙΣ ΤΗΣ Γ ΤΟΥ
ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

ΑΛΕξανδρος προσκαλεσαμένου Μενέλαον ἀς μονομαχίαν, ὠδὶ διαλύσει τῶν ὅλων ὅροι γίγνονται, ἐφ' ᾧ τὸν νικήσαντα τὰ τῶν Ελένης λαβεῖν, καὶ τὰ χρήματα αὐτῆ. ἐπῆλθέ τε ἡ Αλέξανδρον Αφροδίτη αἰφνίδιος, καὶ ἀς τ' ἰδίων θάλαμον ἀπαγαγοῦσα, μετακαλῆται ἀπὸ τ' τείχους τῶν Ελένης. οἱ δ' συνομιλήσαντες, ἀς ὕπνον τρέπονται.

ΚΑΙ ΑΛΛΗ.

ΤΩΝ ὁρώντων δὲ ἰλίας μόνον ἐπάγει τὸ ἦθος, ἀλλὰ καὶ κοινῇ παρίστησιν ὑμῖν ὁ Ποιητὴς ἔντι τοῖς ἄλλοις πᾶσι, καὶ ὠδὶ ταύτης ἡ μάλιστα δὴ ραψῳδίας. ἀφίησι γὰρ τὰς μὲν Τρῶας, τοῖς θορυβωδεστάτοις ῥώοις γοδρομίοις, ἀπόσμον φύσει ἐς τ' πόλεμον αὐτ' προόδου ἀφηγέμενος, τὰς δ' Ελληνας μετὰ σιωπῆς τὰς προόδους ποιήσασθαι, ἀ λόγοις τίνι πρὸς ἀλλήλους δύνοιαν ἐπιδεικνυμένους. καὶ λύτικα μὲν προῆλθον ὠδὶ τ' πόλεμον, τ' Αλέξανδρον προαγέτα τ' Τρώων προμαχέντα, καὶ γαῦρον ὁρόμενον. ἐπειδὴ δ' ἐδὲ τ' πολέμιον ἀς τὸ τ' ἑταίρων πλῆθος αὐαχορδντα. ἀτιόμενον δ' αὐτ' Εκτορα καὶ ἐπικλύσαντα αὐτῷ. τ' δ' ὑπισχνέμενον μαχήσεσθαι τῷ Μενελάῳ, περὶ δὲ Ελένης καὶ τ' κτημάτων. ἐφ' ᾧ τ' πόλεμον ἐν τῇ τ' δύο σωμάτων μάχη τέλ@ λαβεῖν. διὸ λώσαντος δ' ταῦτα ἀμφοτέροις τὶς στρατεύμασιν Εκτορ@. ὑφίσταται καὶ ὁ Μενέλαος. μεταπεμψάμενοι δ' Πρίαμον, ὅρκια καὶ σύχὰς ποιῆσται. καὶ ἡ Ελένη Πριάμῳ, καὶ τοῖς περὶ Αντήνορα δημογέρασι περὶ ἐνδε ἐπάγει τ' παρὰ τοῖς Ελλησιν ἀρίστων δινυφῆ. μαχεσαμένων δ' αὐτ' κὴ ἡ ἥτηθέντα Αλέξανδρον ἁρπάσασα Αφροδίτη, ἀς τ' θάλαμον ἄγει, καὶ μικρὸν ὕστερον καὶ τὶν Ελένην. ἡ δ' αὐανδρίαν ἀνειδίζει τῷ Αλεξανδρῳ. καὶ οἱ μὲν ὠδὶ τὶν ποίτην πρέποτε, Αγαμέμνονα δ' κατεὰ τὸς ὅρκους ἀπαντᾷ τῶν Ελένην καὶ τὰ ἅμα αὐτῇ ἁρπαγέντα χρήματα. σὺν αὐτῇ δ' καὶ τὶν ὑπὲρ τ' ἀδικήματ@ τιμωρίαν.

ΣΧΟΛΙΑ ΕΙΣ ΤΗΝ Γ ΤΟΥ
ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΝ.

Υπερ' ἐπεὶ.] ἐπειδὴ δέ, ἀναστροφὴ ὁ τρόπ@, ὃ δ' αὐταρ' σώνδεσμ@ συμπλεκτικὸς, ἰσοδυναμῶν τῷ δὲ· ταύτη δ' διαφέρων αὐτ', ὅτι ὁ μὲν αὐταρ' προτάσσεται, ὁ δ' δὲ, ὑποτάσσεται. ῥητέται πρῶτον πῶς δὴ τ' αὐταρ' σώνδεσμον προφέρεσθαι, ὀξυτόνως γὰρ αὐγνώνασί τινες, ὡς Καλλίμαχ@· οἱ δ' βαρυτόνως λόγῳ τοιῷδε· πᾶσα λέξις ἀς· αρ. λύγουσα βαρύνεται. οἷον ἄφαρ, ἤδαρ· μάναρ, σταρ, δῆλαρ· ῥητέον δὲ ὅτι ὁ δὲ ἐς συμπλεκτικὸς ἢ περισπᾶται ἢ βαρύνεται. πάντες δὲ ὀξύνουσι. πόσμιθεν.] διετάχθησαν. ἐποσμήθησαν. ὁ τρόπ@ μεταφορὰ ἀπὸ τ' πόσμου, ὅθεν καὶ ἡ τ' πόσμα τάξις, πόσμ@ ὑπὸ Πυθαγόρου ἅρπται. ἢ διάλεκτος Δωρίεων. ἅμ' ὑγεμόνεσιν.] ὑπὸ τ' ὑγεμόνων, ἢ σὺν τοῖς ὑγεμόσιν, ἕκαστοι δὲ ἔντε τοῖς Ελλησι διπλασίᾳ καὶ βαρβάροις, κατὰ ἔθνη καὶ πόλεις. σύταξίᾳ δ' μάλιστα πόλεμ@ κατορθοῦται. κλαγγῇ.] βοῇ, ὄχῳ. προσλαμπτέον δ' τὸ σωὶ. ἵν' ᾖ σωὶ κλαγγῇ. γίγνεται δὲ ἐκ τοῦ κλῶ κλάξω κλαγή· καὶ κατὰ πλεονασμὸν τοῦ γ. κλαγγή. ἐνοπῇ.] κραυγῇ, φωνῇ. καὶ ἤρηται παρὰ τὸ ἐνέπειν, ὅ ἐστι λέγειν. ἴσαν.] ἐπορσύνοντο, ἀπήισαν.

ὄρνιθες ὣς.] ὡς ὄρνιθες. ὅθεν τρόπ@ ἀναστροφή. ἠύτε.] καθάπερ, ὃν τρόπον παραβολὴ τὸ σχῆμα. πέλει.] ὑπάρχει.

οὐρανόθι πρὸ.] πρὸ τοῦ οὐρανοῦ, ὅ ἐστιν ἐν τῷ ἀέρι. αἵ τ' ἐπὶ οὖν.] αἵ τινες ἐκεῖσε. χειμῶνα.] χειμερινὸν τόπον. λέγ@ δὲ τὴν Θρᾴκην χειμερίαν οὖσαν. φύγον.] ἔφυγον. ἀθέσφατον.] ὠολιόν. κλαγγῇ.] μετὰ βοῆς. ταί γε.] αὗται. ἐπ' ὠκεανοῖο ῥοάων.] αὐτὶ τοῦ ὠδὶ τὰς τοῦ ὠκεανοῦ ῥοὰς, καὶ τὰ Λιβύων πλίματα, οὐ γὰρ δὴ ἐν ὕδατι αἱ γέρανοι διάγουσι, 50
πυγμάχοισι.] πυγοὐνμάχοις, πυγμαίοις. ὅτοι ἀπὸ Πυγμαίης βασιλέως ὅτω πεπλημμένοις. ἢ ὡς πυγόνος μέτρον συνεσταλμένοις. πυγὼν δὲ καλεῖται ὁ πῆχυς. τὸ ἀπὸ ἀγκῶν@ ἕως δακτύλων. δὲ χειρὸς διάστημα. ἔστι δὲ ἔθν@ γεωργικὸν, καὶ θρώπων μικρῶν, διατοιηδντων ἐς τὰ ἀνωτάτω μέρη δὲ ἀκυπλοκήνης γῆς· πλησίον δ' ὠκεανοῦ, ὅπερ πολεμεῖ τοῖς γεράνοις φασὶ βλαπτούσας αὐτῶν τὰ σπέρματα. καὶ λιμὸν ποιούσας τῇ χώρᾳ. φόνον καὶ λῖτας φέρουσαι.] δαΰτας ἐπιφέρουσαι. ὑγείαν.] ἀφενὰς. ὄβριμα.] φιλονεικίαν. προφέροντ'.] ἐπιφέρουσιν. οἱ δ' ἀμ'.] οἱ δ' Ελληνες. ἴσαν.] ἀπήεσαν ἐπορσύνοντο. σιγῇ.] σιωπῇ. μένεα πνείοντες.] μετὰ πολλῆς δυνάμεως ἢ ὀργῆς. ἐν θυμῷ.] ἐν τῇ ψυχῇ. μεμαῶτες.] προθυμούμενοι, σπεύδοντες. ἀλεξέμεναι.] ἐπιβοηθῆσαι. ἠύτε.] καθάπερ. ὃν τρόπον. ὄρεος κορυφῆσιν.] ἐπ' ἄκρων ὀρέων. κατέχευεν.] κατέχει, κατέβαλεν. ὀμίχλην.] ὀμίχλη δ' πυκνὸς σκότος ἐκ ὑγρὸς αὐρ. ποιμέσιν ὅτι φίλιν ἡλίπτη δίτε νυκτὸς ἀμείνω.] τὸν ὀμίχλιν φησὶ τοῖς μὲν ποιμέσιν ἀσύμφορον εἶναι, τοῖς δ' κλέπταις ἐκ νυκτὸς ὠφελιμώτερον. ἐπεὶ δὲ μὲν νυκτὸς ὠεισμένοι ἐχέσης καιρόν. ἐν ἀσφαλίᾳ φυλάττηται τὰ βοσκήματα. δὲ δὲ ὁμέρας ὀβελισμένοις τοῖς δὲ κατὰ τὰς νομὰς, ὁπόταν ὀβάφνης ἐπέλθῃ ὀμίχλη σὺ κόλως αὐτὰ ἀφαιρῆται. οὔτι φιλῶ.] εὐδιαμῶς προσφιλῆ. τόσσον τίς τ' ἐπιδύσεται.] ὅπ' τοσοῦτον γάρ τις βλέπει. ὅσσον τ' ὅπ' λᾶαν ἵησιν.] ὅσον ὠδὶ λίθου βολῶ. λᾶας.] λίθος. ἵησιν.] ἀφίησιν. νεικείοντες@.] νεικεστός. ὦρυτο.] διηγέρτο. ἀλλήλων.] ἀλλώδως, νεικεστώδως. διέπρησσον.] διήνυσον, διεπέρων. ποιδνὸς.] διὰ δὲ πεδιάδ@. οἳ δ' ὅτε δὴ. οὗτοι δὲ ὁπότε. σχεδόν.] πλησίον, ἐγγύς. ἐπ' ἀλλήλοισιν ἰόντες.] ἀλλήλοις ἐπορχόμενοι.

Τρωσί μὲν.] αὐτὶ τ' τῶν Τρώων πλῆθος πὸν τὸ σχῆμα. τᾶις ὁστικᾶις αὐτὶ γενικῶν χρῶνται οἱ ποιηταί. ὅτι ἡ συγγένεια τ' πλήσιον ἡδὺ τὴν τοιαύτην ἐπιδέχεται σύνταξιν. οἷον Τρωσὶ μὲν προμάχιζεν, αὐτὶ τ' τῶν Τρώων. Μυρμιδόνεσσιν ἄνασσεν, αὐτὶ τ' τῶν Μυρμιδόνων. ἰωὰν τισι δ' ἀϋτάσειεν αὐτὶ τ' ἰωὰς τινας. προμάχιζε.] προεμάχετο. θεοειδής.] θεοῖς τὸ ἄλλος ὅμοι@ σύνηθες. παρθαλαίνην.] παρθαλαίνως δέρμα. καμπύλα τόξα.] αὐτὶ τ' ἐπικαμπῆ τόξον. λέρι δύω.] δέρατα δυϊκῶς. κεκορυθμένα.] ἐσταμένα, ἠκονημένα. χαλκῷ.] σιδήρῳ, ἀπὸ τ' ἀρχαίας μετάλλου. φασὶ γὰρ πρῶτον χαλκὸν σιδηρεῦσαι. πάλλων.] κινῶν, σείων. προκαλίζετο.] προεκαλεῖτο. ἀντίβιον.] ἐναντίας. αἰνῇ.] δεινῇ, χαλεπῇ. δηϊοτῆτι.] μάχῃ παρὰ τὸ δηϊδαΐζειν ἐν κύτῃ τὸς τιθρωσκομένους ὅ ἐστι διακόπτειν. τόν δ' ὡς δν.] ὡς ὃν τ' τον. ἐνόησεν.] ἐθεάσατο. ἀγχίφιλος.] πολεμικός. προπάροιθεν ὁμιλοῦ.] ἐμπροσθεν τ' πλήθους. ἐῢῤῥητέται δ' πῶς Αλέξανδρ@ προκαλεῖτο τὸς ἀρίστους τ' Ελλήνων, διὰ λὸς ὢν τὰ πάντα καὶ ἀ ὑπλίτης ἀλλὰ τοξότης. ἔνιοι μὲν φασίν ἀλοζονεύεσθαι αὐτ' τὰ ἀδύνατα. φοβήσειν δὲ τὰ τυχόντα. οἱ δὲ ὅτε συγκεκλημένοι ὑπὸ Αχιλλέως οἱ Τρῶες τὸς τ' Ελλήνων ἀρίστους ἂν ἤθελεσαν. καὶ ἐμοὶ μὲν δοκεῖ ὅτι κωμῳδεῖν ἐπαγόμενος ὁ Ποιητὴς, καὶ σχῆμα δὲ ὁπλίσεως καὶ θράσ@ ἀλλότριον τ' ὅπλων αὐτ' προστίθησιν. ἵν' ὡς τ' μέλλοντος φόβου μέζονα προσοφλήσῃ τὸν γέλωτα. ὥστε λέων.] καθάπερ λέων. μεγάλῳ ὠδὶ σώματι κύρσας.] μεγάλῳ ζώῳ ἐπιτυχών. νηρεῦ γάρ φασι σώματ@ μὴ ἄπτεσθαι λέοντας. ἕλαφον κράνον.] σύνδρομον, μεγάλα κέρατα ἔχοντα, ἄρρενα. αἱ γὰρ θήλειαι τ' ἐλάφων οὐ κβατοφυοῦσιν. ἔρηται δὲ παρὰ τὸ ἕλμ τὸς ὄφεις. οἱονεὶ ἕλοφίς τις ὤν. τότ@ γὰρ ἐσθίων, καθαίρεται φυσικῶς. εὖτως γοῦν ἔτε ἀφανεῖς ὦσιν οἱ ὄφεις. αὐτὸς τὸ κέρας αὐτοῦ προσρίβει ἐς πέτραν. ἐβρμαινόμενον δὲ πειᾷ τῶν ἀναθυμίασιν. ὃς μεταλαμβανόμενοι οἱ ὄφεις τῶν φωλεῶν βιᾶσιν. ἢ ἄγριον ἄγαν.] σώνδεσις γὰρ αὐτῷ ταύτας ἐυρεῖαν. πεινάων.] πρὸν. πατεσθίει.] κατατρώγ. ἕπρδ αὖ αὐτόν.] καὶ αὐτόν. σεύωνται.] διώκουσι. θαλλοί.] ἀναπαύει, παρὰ τὸ θάλλω, ὅ ἐστιν αὔξω τῇ ὑλικῇ. αἰζηοί.] νεανίαι. ὀφθαλμοῖσιν ἰδέσθαι.] περισσὸν τὸ ὄφθαλμοῖς. ὕρκι γὰρ τὸ ἰδεῖν. φάτο.] ἐλογίσατο. τίσασθαι.] τιμωρίσασθαι. ἀλήτην.] ἁμαρτωλὸν, ἐχθρὸν. αὐτίκα.] παραχρῆμα, σὺθέως. ἔβοχέων.] ἐθεάσατο. ἐν τ' ἀρμάτων. σὺν τοῖς ὅπλοις. ἄλτο.] καθύλατο. χαμάζε.] χαμαὶ, ἐς τὴν γῆν. ἐνόησεν.] ἐθεάσατο. ἐν προμάχοισιν.] ἐν τοῖς πρωταγωνισταῖς. φανέντα.] ὀφθέντα. κατεπλάγη.] ἐφοβήθη, ἐδειλίασε. φίλον ἦτορ.] τὴν προσφιλεστάτην αὐτ' ψυχήν. ἂψ δ'.] πάλιν δέ. ἐς τ' ὀπίσω. ἔθν@.] πλῆθος. ἐχάζετο.] ἀνεχώρει. κῦρ ἀλεύενον.] φυλασσόμεν@ καὶ ἐκ φεύγων τὴν θανατηφόρον μοῖραν. ἀραίκου ἔσαν.] μίγαν ὄφιν. παλίνορσ@.] ἐς τοὐπίσω πτὰς, ἐς τοὐπίσω ὁρμήσας. ἐπίστη.] ὑπεχώρησεν.

Ἐν θυμῷ μεμαῶτες ἀλεξέμεν ἀλλήλοισιν.
Εὖτ' ὄρεος κορυφῆσι νότος κατέχευεν ὀμίχλην,
Ποιμέσιν οὔτι φίλην, κλέπτῃ δέ κε νυκτὸς ἀμείνω,
Τόσσον τίς τ' ἴδεται, ὅσσον τ' ἴδ' λᾶαν ἵησιν,
Ὡς ἄρα τῶν, τοὶ πρὸς πόνον ὄρνυτ' ἀλλήλων
Ἐρχομένων, μάλα δ' ὦκα διέπρησσον πεδίοιο.
Οἳ δ' ὅτε δὴ ῥα σφεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες,
Τρωσὶν μὲν προμάχιζεν Αλέξανδρος θεοειδής,
Παρδαλέην ὤμοισιν ἔχων, καὶ καμπύλα τόξα,
Καὶ ξίφος, αὐτὰρ ὅ, δοιὰ δούρε σμερδαλέα χαλκῷ
Πάλλων, Αργείων προκαλίζετο πάντας ἀρίστους
Ἀντίβιον μαχέσασθαι ἐν αἰνῇ δηϊοτῆτι.
Τὸν δ' ὡς δὴν φόησεν ἀρηΐφιλος Μενέλαος
Ἐρχόμενον πρόπαροιθεν ὁμίλου μακρὰ βιβῶντα,
Ὡς τε λέων ἐχάρη μεγάλῳ ὠδὶ σώματι κύρσας,
Εὑρὼν ἠὲ ἔλαφον κραναόν, ἢ ἄγριον αἶγα
Πεινάων, μάλα γάρ τε κατεσθίει, εἴπερ ἂν αὐτὸν
Σεύωνται ταχέες τε κύνες, θαλεροί τ' ἀζηοί,
Ὡς ἐχάρη Μενέλαος Αλέξανδρον θεοειδέα
Ὀφθαλμοῖσιν ἰδὼν, φάτο γὰρ τίσεσθαι ἀλείτην
Αὐτίκα δ' ἐξ ὀχέων σὺν τεύχεσιν ἆλτο χαμάζε.
Τὸν δ' ὡς δὴν φόησεν Αλέξανδρος θεοειδὴς
Ἐν προμάχοισι φανέντα, κατεπλήγη φίλον ἦτορ.
Αψ δ' ἑτάρων εἰς ἔθνος ἐχάζετο κῆρ ἀλεείνων.
Ὡς δ' ὅτε τις δράκοντα ἰδὼν παλίνορσος ἀπέστη
Οὔρεος

ἤρε⟨φ⟩.] ἤγαγε. ἐν βήσσης.] τοῖς γονιμωτάτοις καὶ βασιμωτάτοις τόποις τῶν ὀρῶν. τρόμ⟨φ⟩.] φόβος. γῦα.] γόνατα, μέλη. ὠχρός τε μιν.] ὠχρίασις ἢ κύτος. ἕλαν.] ἔλαβε. ταφειάς.] σιαγόνας, ἀπὸ μέρους δ' ἔφη ὅλου τὸ πρόσωπον. ἐλυ.] ὑπεσήλυθε. μεταφορικῶς ἀπὸ τῶν ἐς τὰς φωλεὰς ἐισταλυνόντων ἑρπετῶν. ἀγορόωνται.] αὐθαδιῶνται, ὑβρίσωσιν. λέσας.] σὺλαβηθείς. ἄρδ⟨φ⟩ ὑφ'.] Μενέλαον. νέκυσσεν.] ὕβρισεν, ἐνεκελόγησεν. αἰσχροῖς.] ὀνειδισμοῖς. ὀύσπασεν.] ἕλκει κακῶς ὀνομαζόμενε πάρει, καὶ παρά. ἄδ⟨φ⟩ ἄρισε.] τὸ ἥδ⟨φ⟩ βέλτιστε γυναικῶν ἐς.] ὅτου ὠὴ γυναικὶ μανόμενε, ἢ γυναῖκας ἐς μανίαν φέρων διὰ τὸ κάλλ⟨φ⟩.] ὑποδραπευτά.] ἀπατεῶν, ψοῦσα. αἰθ' ὄφελες.] ἤθε ὤφελες. ἔστι δὲ ἐπίρρημα σύντακτον. ἄγαν⟨φ⟩ τ' ἐμμεναι.] μὴ γεγενῆσθαι. ἄγαμ⟨φ⟩ τ' ἀπολέσθαι.] ἢ γεγενῆσθαι πρὸ γάμου ἀπολέσθαι. κάκιον τὸ βιῶναι.] καὶ δεύτερον ἦθελον.

κάκιον τοὐλυκήρδιον ἦεν.] καὶ γὰρ ἧττον τοῦ βέλτιον ἦν ἡμῖν. ἦφι.] ἦν ὑπὲρ χεῖρ. λώβην.] ὕβριν. καὶ ἐπόψιον ἄλλων.] καὶ ἐμπροσθεν τῶν λοιπῶν ὑποβλεπόμενον διὰ μῖσος. ἦπυ.] ὄντως δή. παγχαλόωσι.] χαίρουσιν, ὅ ἐστιν ἐν χαλάμαται ποιοῦσι τὸν ψυχόν. παρημόωντες.] τὰς κεφαλὰς κομῶντες καὶ ἁβρέας χαίρειν. φαώτες.] ὑπολογισάμενοι. ὑπολαβόντες. ἀειρῦσα.] ἄρασα. πρόμον.] πρόμαχον. οὔνεκα.] διότι. κάλὸν.] χαρίεν, ἐνάλοξον. ἀλλος.] μορφή. ἐπι.] ἐπεστί σοι. βίη.] λιώαμις. φρεσί.] τῇ διανοίᾳ. τουτέστιν οὐκ ἂν ἐμψυχ⟨φ⟩. οὐδὲ πὶν τυχοῦσαν ἔχεις δίωαμιν. ἀλκή.] ἡ δ' σώματ⟨φ⟩ λιώαμις. ἤτοιδ ἢ ἰών.] ἢ τοι οὕτ⟨φ⟩ φησὶν ὧν ἐπονείδιστ⟨φ⟩ οἷόν σε ὁρῶμεν νῦν δειλὸν. ἰών.] ὢν, ὑπάρχων. ποντοπόρηισι.] τοῖς διὰ θαλάσσης πὶν πορείαν ποιεμένοις καὶ πλοῦσαις. πόντ⟨φ⟩ γὰρ ἡ θάλασσα. νέεσσι.] πλοίοις. ἐπιπλώσας.] ἐπιπλεύσας.

ἑταίρους ἠρίφους ἀγέρας.] ἄγαν συμπότους, ἢ ἐπράστους φίλους, τουτέστιν αὐτῷ ὁμοίους φίλους καὶ ἁρπαγὰς συναθροίσας. ἀγέρας.] συναθροίσας.

Οὔρεος ᾧ βόσας, ὥστε τρόμος ἔλλαβε γῦα.
Ἀψ τ' ἀνεχώρησεν, ὠχρός τέ μιν εἶλε παγείας,
Ὡς ἂν θὶς καθ' ὅμιλον ἕλυ Τρώων ἀγερώχων,
Δείσας Ἀτρέως υἱὸν Αλέξανδρος θεοειδής,
Τὸν δ' Εκτωρ νείκεσεν ἰδὼν ἀϊχροῖς ἐπέεσι,
Δύσπαρι, εἶδος ἄριστε, γυναιμανές, ἠπεροπευτά.
Αἰὼ ὄφελές τ' ἄγονός τ' ἔμμεναι, ἀγαμός τ' ἀπόλεσθαι.
Καίκε τὸ, βουλοίμην, καί κεν πολυκηδέστερον ἦεν,
Ἢ ὅτι ὧδε λώβην τ' ἔμμεναι, καὶ ἐπόψιον ἄλλων,
Ἦ τε μαγχαλόωσι κερηκομόωντες Αχαιοί,
Φάντες ἀριδῆκε πρόμον ἔμμεναι, οὕνεκα κάλὸν
Εἶδος ἔπ' ἀλλ' οὐκ ἔστι βίη φρεσίν, οἵη τις ἀλκή.
Ἦ τοίοσδε ἐὼν, ἐν ποντοπόροισι νέεσσι
Πόντον ὑδατπλώσας, ἑτάρους ἐρίηρας ἀγείρας,
Μιχθεὶς ἀλλοδαπῇσι, γυναῖκ' εὐειδέ' ἀνῆγες
Ἐξ ἀπίης γαίης νυὸν ἀνδρῶν ἀλκιμητάων,
Πατρίδι σῷ μέγα πῆμα πολιήτῃ, παντὶ δήμῳ,
Δυσμενέεσι μὲν χάρμα, κατηφείην δέ σοι αὐτῷ.
Οὐκ ἂν δὴ μείνας ἀρηΐφιλον Μενέλαον.
Γνοίης χ' οἷός φωτὸς ἔχεις θαλερὴν παράκοιτιν,
Οὐκ ἂν σε κιθάρη γε καὶ ὠρήων ἐπιτάων,
Οὐδὲ χάρις τά γ' ἔσται ἀρηρεμένα, ὅτε τις καὶ ἐρωήσῃ.
Ἀλλὰ μάλα τρῶες δειδήμονες· ἦ τέ κεν ἤδη
Λάϊνον ἕσσο χιτῶνα κακῶν ἕνεκ', ὅσσα ἔοργας.
Τὸν δ' αὖτε προσέειπε Αλέξανδρος θεοειδής.
Ἕκτορ, ἐπεί με κατ' αἶσαν ὀνείκεσας, οὐδ' ὑπὲρ αἶσαν,
Αἰεί τοι κραδίη τετληότι θυμὸν ἐνείκει,
Ὡς τ' ἄξινα δία δρυὸς τανυήκεος, ἥ τε κατ' ὄρκον
Ναύπηγος τέχνῃσι πελώρια νήια τεύχῃ.

ἀμπέσῃ δὲ τὸ καταφρόμενος. νήϊον.] ξύλον πρὸς νῆα κατασκευὴ ἐπιτήδειον. ἐκτάμνησιν.] ἐκκόψει. ἐφίλει δ' αὐδρὸς ὁρᾶν.] αὔξει δὲ τὴν τοῦ ἀνδρὸς δόκιμον ὁ τέλεσις ὀξὺς ὑπαρχῶν καὶ διοξυνόμενος ἑτοίμως. ὥσπερ ὁ ἀμβλὺς τοὐναντίον ποιεῖ. ὥς τοι.] οὕτως σοι. ἀτιμήτ⟨φ⟩.] ἀκατάπλητ⟨φ⟩, ἄφοβ⟨φ⟩. νόος.] νῶς, ψυχή. ὁρατά.] ἐπήρασα, καλά. πρόφρων.] ἀναδιπλ. χρυσῆς.] χρυσοφόρε, καλῆς. ἰσιάᾳ δὲ ἡ γραμματικὴ φησιν, ὅτι πλέον ὅτι χρυσῆν καλέμενον· ἐν ᾧ χρυσῷ Αφροδίτην τιμᾶσθαι, καὶ ἵνα ἦτοι χρυσῆς Αφροδίτης ἱερὸν· καὶ οἱ μὲν ἀπὸ τῆς Πάφου, οἱ δὲ τὸν παλαιόν. Κλεανθὴς δὲ καὶ ἐν Δέσβῳ οὕτω τιμᾶσθαι Αφροδίτην χρυσῆν. οὔ τοι.] ἀδάμως σοι. ἀπόβλητα.] ἀποβολῆς ἄξια, τὰ ὑπὸ τῶν φησι διελόμενα δῶρα οὐκ ἔστι δὲ ὑπόσασθαι ὅταν ᾖσί μὴ διελόμενα δὲ παρὰ τοῦ ἀλιάστορος τινὰ λαβεῖν οἰκέα σπουδῇ. ὄρινυδέα.] μεγάλα, ἐνάλοξα. δασκιον.] ὅσα αὖ. ἐκὼν ἐκ.] βαλόμεθ⟨φ⟩ δέ. οὐκ αὖ τις ἕλοιτο.] οὐκ αὖ τις λάβοι. νεῶν δ' αὖ.] νεῶν δὲ λῆ. λαθίσιμον.] καθίδρυσον. λαθεδαΐων πείσων. κύτα' ἐμά.] ἐμὰ δέ. ἀμφ' Ελένῃ καὶ κτήμασι.] περὶ δὲ Ελένης καὶ τῶν κτημάτων αὐτῆς. ὀπηδόσ⟨φ⟩ δ' ἕκην.] ἑτοῖ⟨φ⟩ δὲ. ὁ τρόπ⟨φ⟩ διπλασιασμός. ἡ διάλεκτ⟨φ⟩ Αἰολίς. πρέσσων τε γένηται.] ἰσχυρότερος, ἵνα πρατίστερος φανῇ. ἐλών.] λαβών. φιλότητα.] φιλίαν. καὶ ὅρκια πιστά.] καὶ ὅρκους πιστούς. ταμόντες.] ὅ ἐστι δὲ ἐντέμνω θυσίαν ποιήσαντες. νεάσιτε.] κατοικήτε. ἀριβώλακα.] μεγαλόπωλον, εὐγειον. τοί δέ.] οὔ τοι δέ. ἰ Ελλάνιος. νέ.ὕδωρ.] πορευθῶσαν. Αργος ὄβ.] ὃς τὸ Αργ⟨φ⟩.

ἱππόβοτον.] ἱππότροφον. Ιασὸς καὶ Πελασγὸς Τρίοπα παῖδες, τελευτήσαντες αὐτοῖς ὁ πατὴρ διέλοντο τὴν βασιλήαν, λαχὼν δὲ Πελασγὸς μὲν τὰ πρὸς Ερασῖνον ποταμὸν, ἔκτισε Λάρισαν, Ιασὸς δὲ τὰ πρὸς Ηλιν. τελευτησάντων δ' αὐτῶν, νεάτατ⟨φ⟩ ἀδελφὸς Αγήνωρ ἐπιστράτευε τῇ χώρᾳ πολλῷ ὕπερ ἐπαγόμεν⟨φ⟩. ὅθεν ἐπλήθυν Ιπποβοτον μὲν τὸ Αργος, ἀπὸ δὲ Αγήνορ⟨φ⟩ ἵππου, ἀπὸ δὲ Ιασοῦ Ιασον. καὶ τελασγικὸν ἀπὸ Πελάσγου. ἱστορεῖ Ελλάνικος ἐν Αργολικοῖς. Αχαιΐδα.] τὴν Πελοπόννησον λέγει Αχαΐαν. καλλιγύναικα.] καλὰς γυναῖκας ἔχουσαν. ὣς ἔφατο.] οὕτως ἔφη. Εκτωρ δ' αὖτ' ἰχάρι μέγα μῦθον ἀνούσας.] αὐτὶ δ⟨τ⟩ μεγάλως ἐχαρὴ τ⟨τ⟩ λόγον δ⟨τ⟩τον δ⟨τ⟩ Αλεξάνδρου ἀκούσας. ἰών.] πορευθείς. αὐθέργυε.] αὐθάργυε, ἐνώλιε δ⟨τ⟩ πολέμου. φάλαγγας.] τὰς στρατιωτικὰς τάξεις. ἐπιτοξάζοντο.] ἐπ' αὐτῷ τὰ τόξα ἐβάλλον. ἰοῖσι.] βέλεσι. τιτυσκόμενοι.] κατασκοπεύομενοι, σημαίνῃ καὶ τὸ ἑτοιμάζεσθαι ὡς ἐπεῖ· ὡς ἔφην ὑπ' ὀϊστοῦ τιτύσκετο. ἐνίοι δὲ καὶ ὧδε δ⟨τ⟩ ψυχικῶς σοχάσεσθαι. κιτυσκετο δὲ φρισὶν ἦσι. λάϊασι.] λίθοις. ἔβαλλον.] ἐπάντιζον. αὐτὰρ ὅ.] οὗτος δέ. μακρόν.] μέγα. ἄϋσεν.] ἐβόησεν. ἴσχεσθε.] παύεσθε. κοῦροι Αχαιῶν.] ὑβριφραστικῶς οἱ Ελλάνιοι. σθένος γὰρ τι ἔπος.] διασβεβαιοῦται γάρ, ὑπισχνήται λόγον. ῥῆξαι.] ῥῆξαι, λῦσαι. λοφυθάολος.] ὁ αὐόλλων καὶ λινῶν τὴν περικεφαλαίαν. ἐξ οὗ πολεμικός. ἴσχοντο.] ἐπαύσαντο. αὖτε αὖτ' ἐγένοντο.] ἤσυχοι αὖτε ἰωῆς, τετιγυῖαι φωνῆς καὶ θορύβου. ἐσυμένως.] σπουδαίως. Εκτωρ δὲ μεταμφοτέροισιν.] ἐν ἀμφοτέροις λέγω δὴ Τρωσὶ καὶ Ελλησιν. ἢ μετὰ, αὐτὶ δὲ ἐν προθέσεως. ἔειπεν.] ἔλεξε. κέκλυτέ μευ.] ἀκούσατέ μου. τ⟨τ⟩ εἵνεκα.] οὗτινος χάριν. νέκος.] φιλονεικία. ὄρωρε.] διεγήγερται. κέλεται.] κελεύει. τεύχεα.] ὅπλα. ὠδὶ χθονί.] ὠδὶ τῇ γῇ. πολυβοτείρῃ.] πολλοὺς βοσκούσῃ. ἐν μέσῳ.] τουτέστι μεταξὺ Τρώων καὶ Αχαιῶν.

οἷσι.] μᾶλλον. ἐπιστρ(ω) λέ.] ἔστι λέ πρόσδρος. φιλότητα.] φιλίαν. τάμωμεν.] πίσιν ποιώμεθα, ἤτοι λέ ἐντόμων σπονδῶν. ἀπὸ γὰρ ἐγίνοντο σιωπῆ.] ἐπ' ἄκρας ὑσυχίας ἐγένοντο. ἀκὴ γὰρ καλεῖται ἡ ὀξύτης. κέκλυτε νῦν ἠδὲ ἐξῆς.] ἀκούσατε νῦν ἠδὲ ἐμοῦ. μάλιστα γάρ.] βεβαιότατα δέ. ἄλλ(ω).] λύπη. ἰκανόει.] καταλαμβάνει. φρονέων.] φρονῶ βουλεύομαι. διαπρηνέϊ μάχωμαι.] διαχωμαδίῳ μάχωμαι. πεποδε..] πεποδέχτε. ἕνεκ' ἐμεῖο βρίσεος.] ἕνεκα τῆς ἐμῆς φιλονεικίας· ἠδὲ λέ ὑπὸ Ἀλεξάνδρου γενομένης ἁρπαγῆς, αὕτη γὰρ ἀρχὴ κακῶν. ὑμέων.] ὑμῶν. ὁπποτέρῳ] ὁπ ἵμ ᾧ τινι. θανέειν.] τεθνάναι. τεθνᾶσι.] ἀποθνήσκω. διαχησιμθᾶται.] διαχωσιαδίσει. τάχισθ.] διατάχους, συντόμως. οἵσετε.] κομίσετε, ἄγετε.

ἑτόρων λευκὸν ἐτίρλω λέ μέλαναν.] τὰ οἰκεῖα ἐκάτερα θεῶν ἐδουγούμθνα ἀσάφεια· τῷ μὲν γὰρ ἡλίῳ λαμπρῷ ὄντι καὶ ἀῤῥένι, φασὶ λευκὸν ἱσθρογγύλῳ καὶ ἄρνατι δὲ γῇ μέλαναν καὶ ἠλλαγμ. ἐπὶ τοιαύτη ἡ θεός. ἄρνυ.] χρῆναι, δύνασθαι.

Διὶ δ' ἡμεῖς οἴσομθν ἄλλον.] τῷ δὲ Διὶ ἡμεῖς ἄλλον ἀνοίσομθν, ὡς ξένοι. ἐπεὶ καὶ ξένι(ω) προσκυρσύνεται. ἄξετε.] ἀγάγετε. Περίαμιο βίῃφι.] περιφρασικῶς τὸν Πρίαμον. διατὶ Διὸς ὑποσχομένου τιμᾶν ἄλωσιν δὲ Ἰλίου συνθήκας ποιῆται πρὸς Τρῶας; ῥητέον οὖν ὅτι κατ' ἰνίους οὐ πιστεύει τῷ ἀνάρῳ. καὶ ἀλλ' ἑτέρους, οὐδὲν διέφερε καὶ διὶ ἀνδρομυομαχίαν ἢ πανταὶ τῷ στρατῷ νικῆσαι, ἄλλως δὲ καὶ προσετέτακτο κατῷ διαθεπλέσαι τοὺς πολίτας, οὐ μάχεσθαι.

ὄφρ' ὄρνιχ.] ὅπως τὸν ὄρνιν. ἐπεὶ οἱ πατρίς.] ἐπειδὴ οἱ ἡ πατρὶς αὐτοῦ. ὑποφρίαλοι.] ὑποζύφανοι ἄλλοι καὶ παραβάντες τοὺς ὄρνιν καὶ τὰς σπονδὰς τὰς διὰ φιλίαν γιγνομένας. ὑποβασίῃ.] παραβάσει, ἀλλ πίσ. Διὸς ὄρνια.] τὸν Διὸς ὄρνιν. ἀπλήσιται.] βλάψει τῷ παριλθεῖν αὐτὸν. ὁπλότερῳ.] νεωτέρῳ. ἠερίθουται.] ἀπατῶνται, πρέμαντα.] οἷον οὐκ ἰσίν ταῦτα ἀλλ' ἀβέβαια. οἷς δ' ὁ γέρων μετέηκιν.] ἐν οἷς δ' αὖ ὁ γέρων παρῇ. πρώτῳ κὴ ὀπίσω.] εἰς τὸ παρὸν καὶ εἰς τὸ μέλλον. λσύσει.] ὁρᾷ, βλέπει. ἔχ' ἀρίστα.] βέλτιστα ἄρισα. ἐλπόμενοι.] ἐλπίζοντες. οἰΐρυσ.] ἱπιμόνῳ, χαλινῷ. ὄρυξαν.] κατίσκαψαν. ἐπὶ σῖγας.] ἀδῆ τὰς τάξεις ἰφιξῆς. ἐν δ' ἔβαν αὐτοί.] ἐβήλθον δὲ καὶ αὐτοί. τσύχεα.] ὅπλα, παρὰ τὸ τεύχειν ὃ ὅτι κατασκευάζειν. ἐλύοντο.] ἀπελύοντο, ἀπετίθεντο. πλησίον.] ἐν τῷ σώμγγυος. ὀλίγη δ' ὧν ἀμφὶς ἄρουρα.] βραχὺ δ' ἦν τὸ μεταξὺ τῶν στρατευμάτων διέργον αὐτὸς χωρίον. ἄρουρα.] γῆ, παρὰ τὸ ἀρόσθαι. πρωτὶ ἄστυ.] πρὸς τὴν πόλιν. καρπαλίμως.] ταχέως. προΐει.] πρόπεμψεν. γλαφυρὰς.] κοίλας. ἴεναι.] παραγίνεσθαι. οἰσέμεναι.] οἴσειν, νομίσειν. ἕλαβε γ' ἀπαρίθμητον αὐτὶ προσηκτικῶς. Ἶρις δ' αὖτε.] ἡ ἢ Ἶρις ἡ τῶν θεῶν ἄγγελος. σημαίνει ἢ λύσ, αὐτὴν τὴν σωματοειδῆ θεάν· ἢ τὸ νεφελῶδες σύστημα. οἷον ἴριδι ἐοικῶτες, ἅς τε Κρονίων Ἐν νέφεσι στήρ ξε τέρας μ' ὀπὼν ἀνθρώπων. γαλόῳ.] γάλῳ. γάλως δέ ἐστιν αἰδοῖος ἀδελφοῦ. Ἀντηνορίδαο.] Ἀντήνορος παιδὸς, Ἐλικάονος. Λάοκοον.] γυναικί, παρὰ τὸ διελοῦσθαι καὶ ὑποτιτάχθαι τῷ κύριῳ. ἔδος ἀίγλω.] τὸν

Οἵ τε ἄμφ' Ἐλόην, καὶ Κτήμασι πᾶσι μάχεσθαι,
Ὁππότερος δ' ἐκ νικήσῃ, κρείσσων δὲ γένηται,
Κτήματ' ἐλὼν εὖ πάντα, γυναῖκά τε, οἶκαδ' ἀγέσθω
Οἱ δ' ἄλλοι, φιλότητα, καὶ ὅρκια πιστὰ τάμωμεν.
Ὡς ἔφαθ'. οἱδ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ.
Τοῖσι δὲ καὶ μετέειπε Βοὴν ἀγαθὸς Μενέλαος.
Κέκλυτε νῦν καὶ ἐμεῖο, μάλιστα γὰρ ἄλγος ἱκάνει
Θυμῷ ἐμῷ, φρονέω δ' διακεινθήμεναι ἠδ' ἤ
Ἀργείους, καὶ Τρῶας, ἐπεὶ πανὰ πολλὰ πέποδε,
Εἵνεκ' ἐμῆς ὁρίδος καὶ Ἀλεξάνδρου γ' ἕνεκ' ἀρχῆς,
Ἡμέων δ' ὁπποτέρῳ θάνατος, καὶ μοῖρα τέτυκται,
Τεθναίη, ἄλλοι δὲ διακρινθῆτε τάχιστα.
Οἴσετε δ' ἀρνε ἑτέρω λευκὸν, ἑτέρην δὲ μέλαιναν,
Γῇ τε, καὶ ἠελίῳ. Διΐ δ' ἡμεῖς οἴσομθν ἄλλον.
Ἄξετε δὲ Πριάμοιο βίην, ὄφρ' ὅρκια τάμνῃ
Αὐτὸς, ἐπεὶ οἱ παῖδες ὑποφρίαλοι, καὶ ἄπιστοι,
Μήτις ὑποβρήσσῃσι Διὸς ὅρκια δ' ἠλάσεται,
Αἰεὶ δ' ὁπλοτέρων ἀνδρῶν φρένας ἠερέθονται.
Οἷς δ' ὁ γέρων μετέησιν, ἅμα πρόσσω, καὶ ὀπίσσω
Λύσασθαι, ὅπως ὄχ' ἄεισα μετ' ἀμφοτέροισι γλήνηται.
Ὡς ἔφαθ'. οἱδ' ἐχάρησαν Ἀχαιοί τε, Τρῶές τε,
Ἐλπόμενοι παύσεσθαι ὀϊζυρὸ πολέμοιο.
Καὶ ῥ' ἵππους μὲν ἔρυξαν ἐπὶ σίχας, ἐκ δ' ἔβαν αὐτοί.
Τεύχεά τ' ἐξελύοντο, τὰ, μὲν κατέθεντ' ἀπὶ γαίῃ,
Πλησίον ἀλλήλων, ὀλίγη δ' ἦν ἀμφὶς ἄρουρα
Ἕκτωρ δὲ πρὸτὶ ἄστυ δύω κήρυκας ἔπεμπεν,
Καρπαλίμως ἄρνας τε φέρειν, Πριάμόν τε καλέσαι,
Αὐτάρ ὁ, Ταλθύβιον πόδας ἠκέα προέηκε Ἀγαμέμνων,
Νῆας ἐπὶ γλαφυρὰς ἰέναι. ἦδ' ἄρν' ἐκέλευεν
Οἰσέμεναι, ὅδ' ἄρ' ὃκ ἀπίθησε Ἀγαμέμνονι δίῳ,
Ἶρις δ' αὖθ' Ἑλένῃ λευκωλένῳ ἄγγελος ἦλθεν,
Εἰδομένη γαλόῳ Ἀντηνορίδαο δάμαρτι.
Τὴν, Ἀντήνορος εἶχε κρείων Ἑλικάων
Λαοδίκῃ πρεσβοτάτῃ θυγατρῶν εἶδος ἀρίστῃ,

Τὴν δ'

σημ.] τῷ μορφῇ καλῇ. ἔχαμ.] ἔχειν, ἐγεγαμήκει. κρείων.] βασιλεύς. τὴν δ' ὄβρι.] ταύτην δὲ ἐκατέλασε, λέσβῳ ἀπᾶν λιῖ, χόβρον προστακτικῶν αὐτὶ ὑποστατικοῦ. ἐν μεγάρῳ.] ἐν τῷ οἴκῳ. δίπλακα.] διπλοΐδα, διπλῆν ἱμάτιον. ἤτοι χλανίδα. μαρμαρέῃ.] λαμπρᾷ, λευκῇ. πολίεσσι λέ.] πολλοῖς δέ. ἐνέπασσεν.] ἐνεποίκιλεν. ἔθνῳ καὶ τὰ ποικίλα παραπετάσματα παστοὶ λεκλοῦται. ἀέθλους.] νικῶν τὸς κατὰ τὸν πόλεμον πόνους. ὃς ἐθέλεν ἕνεκα.] οὕς τινας ἕνεκα αὖθι. ἔπασχον.] ὑπέμενον. ὑπ' Ἀρη(ω) πάλαμάφιν.] ὑπὸ τῶν τοῦ πολέμου χειρῶν· ὅτι δὲ μηχανῶν ὡς ἐκῆ· ὡς δ' ὅτ' ἀνὴρ ἀπάλαμνο(ν). ἀγχοῦ.] πλησίον. ἐσαμένη.] σᾶσα. προσόψη.] πρασσέπι. πόλιας ὠκέας.] τοῖς ποσὶ ταχεῖα. νύμφα.] νύμφη, Ἰωνικῶς. θέσκελα.] θεῖα, θαυμαστά. ἴδηκαι.] θεάσῃ. ἱππολάμοιο.] ἱππικῶν, πολεμικῶν. χαλκοχιτώνων.] σιδηρωθωρᾴκων. οἱ πρίν.] οἵ τινες τὸ πρότερον. ἐπ' ἀλλήλοισι φέρεσθον.] ἐπίφορον ἀλλήλοις. πολύδακρυν.] πολλῶν δακρύων ἠδὲ στεναγμῶν αἴτιον, διὰ τὸς ἀναιρουμένους ὑπ' αὐτοῦ. ὀλοοῖο.] ὀλεθρίου. λιλαιόμενοι.] ἐπιθυμοῦντες. ἕαται.] ἀναβήσονται. σιγῇ.] σιωπῇ. ἀσπίσι κεκλιμένοι.] τοῖς ἀσπίσιν ἐπικείμενοι. παρὰ δ' ἔγχεα μακρὰ πέπηγε.] παρατέπηγε δὲ αὐτοῖς, ἤτοι παράκειται τὰ μακρὰ δόρατα. μακρῆς ἐγχέησι.] τοῖς μακροῖς δόρασι. τῷ δέκε νικήσαντι.] αὐτὶ τοῦ, τοῦ δὲ νικήσαντο(ν). κεκλύσῃ.] ἀκούσῃ. ἀκοιτις.] γυνή, γαμετή. γλυκιὺ ἵμερον.] γλυκὺ πόθον, ὀδὴ αν, ἐπιθυμίαν. ἐμβαλεῖν.] ἐνίβαλε.

δυμῷ τῇ ψυχῇ. αὐσηρός τε πρότερος.] τοῦ πρώτου αὐσηροῦ, ἤγουν τοῦ Μενελάου. ἠδὲ ἄστιος.] ἠδὲ δὴ πόλεως. λέγει δὲ δὴ Σπάρτης. ἠ ἢ τοκήων.] ἠδὲ τῶν γονέων. Τυνδαρίῳ λέγει ἠδὲ Λήδᾳ.

αὐτίκα.] παραχρῆμα, σὺθέως. ἀργεννῆσι.] λευκαῖς, λαμπραῖς. καλυψαμένη.] σκεπασαμένη. ὀθόνησιν.] ὀθόνας. λέγει ἢ ὑφάσμασι λινοῖς. ὥρμαι'.] ὥρμα, ὁρᾷ. ἐν δαλάμοιο.] ἐν τοῦ νοσ ὥρμα, ὁρᾷ.

Τήν δ' εὖρ' ἐν μεγάρῳ, ἡ δὲ μέγαν ἰστὸν ὕφαινε,
Δίπλακα, μαρμαρέῃσι, πολέας δ' ἐνέπασσεν ἀέθλους
Τρώων θ' ἱπποδάμων, καὶ Ἀχαιῶν χαλκοχιτώνων,
Οὓς ἔθεν εἵνεκ' ἔπαχον ὑπ' Ἄρηος παλαμάφιν,
Ἄγχοῦ δ' ἱσταμένη προσέφη πόδας ὠκέα Ἶρις,
Δεῦρ' ἴθι νύμφα φίλη, ἵνα θέσκελα ἔργα ἴδηαι,
Τρώων θ' ἱπποδάμων, καὶ Ἀχαιῶν χαλκοχιτώνων,
Οἵ πρίν γ' ἐπ' ἀλλήλοισι φόρον πολύδακρυν Ἄρηα
Ἐν πεδίῳ, ὀλοοῖο λιλαιόμενοι πολέμοιο,
Οἱ δὲ νῦν ἕαται σιγῇ, πόλεμος δὲ πέπαυται,
Ἀσπίσι κεκλιμένοι, παρὰ δ' ἔγχεα μακρὰ πέπηγε.
Αὐτὰρ Ἀλέξανδρος, καὶ Ἀρηΐφιλος Μενέλαος,
Μακρῇς ἐγχείῃσι μαχήσονται περὶ σεῖο.
Τῶ δ' ἐ κε νικήσαντε φίλῃ ἐνικλίνῃσι ἄκοιτις,
Ὡς ἐπέπιθε θεά, γλυκὺν ἵμερον ἐμβαλε θυμῷ,
Ἀνδρός τε πρότροπον, καὶ ἄστεος, ἠδὲ τοκήων,
Αὐτίκα δ' ἀργεννῇσι καλυψαμένη ὀθόνῃσιν,
Ὥρμαθ' ἐκ θαλάμοιο, τέρπν κατα δάκρυ χέουσα,
Οὐκ οἴη, ἅμα τῇγε καὶ ἀμφίπολοι δύ' ἕποντο,
Αἴθρη Πιτθῆος θυγάτηρ, Κλυμένή τε βοῶπις.
Αἶψα δ' ἐπειθ' ἵκανον ὅθι Σκαιαὶ πύλαι ἦσαν.
Οἱδ' ἀμφὶ Πρίαμον, καὶ Πάνθοον, ἠδὲ Θυμοίτην,
Λάμπον τε Κλυτίον θ', Ἱκετάονά τ' ὄζον Ἄρηος,
Οὐκαλέγων τε, καὶ Ἀντήνωρ πεπνυμένω ἄμφω,
Εἵατο δ' ἡμογέροντες ὑπὶ Σκαιῇσι πύλῃσι,
Γήραϊ δὴ πολέμοιο πεπαυμένοι, ἀλλ' ἀγορητύϊ
Ἐσθλοί, τεττίγεσσιν ἐοικότες, οἵτε κατ' ὕλλῃ

Δένδρεσιν

ἐκ τοῦ Ἀθηνᾶ. ἀκέων.] ἀντὶ τοῦ ἀκέουσα, ἥσυχος, ἡσυχῶς. κεῖται δὲ ἀντὶ μισότητος τῷ ἀκέουσα. τίθησι γὰρ αὐτὸ καὶ ἐπὶ πληθυντικοῦ, ἀλλ' ἀκέων δαίνυσθαι καθήμενοι. οὐδ' εἶπεν.] οὐδὲν ἐφθέγξατο. σκυζομένη.] ὀργιζομένη. ἄγριος.] χαλεπός, ἀπηνής. ᾕρει.] κατελάμβανεν. οὐκ ἔχαδε.] οὐκ ἐχώρησε, διὰ τὸ μέγεθος. χόλον.] ὀργήν. ἅλιον.] μάταιον, ἄπρακτον. θεῖναι.] ποιῆσαι. πόνον.] κάματον. ἠδ' ἀτέλεστον.] καὶ ἀπλήρωτον. ἱδρῶθ'.] τὸ τέλειον ἱδρῶτα. μόγῳ.] ταλαιπωρίᾳ, καμάτῳ. καμέτην.] ἐκοπίασαν, δυικῶς. ἀγειρούσῃ.] ἀθροιζούσῃ. τοῖό τε παισί.] καὶ τοῖς τούτου παισίν. ἔρδ'.] πρᾶττε. ἀτὰρ οὔ τοι πάντες ἐπαινέομεν θεοὶ ἄλλοι.] οὐ μὴν συναινοῦμέν σοι οἱ λοιποὶ θεοί. ὅ ἐστιν οὐκ ἐπαινοῦμέν σε τοῦτο ποιοῦσαν. † δὲ ὀχθήσας.] στενάξας. τί νύ σε.] τί δή σε. τόσσα.] τοσαῦτα. ῥέζουσι.] πράττουσιν. ὅτ' ἀσπερχές.] ὅτι ἀδιαλείπτως. μενεαίνεις.] προθυμῇ. ὠμὸν βεβρώθοις.] ὠμὸν φάγοις. τότε κεν.] τότε ἄν. ἐξακέσαιο.] ἰάσαιο. ἕρξον ὅπως ἐθέλεις.] πρᾶξον ὅπως ἂν βούλῃ. μὴ τοῦτό γε νεῖκος.] μὴ αὕτη ἡ φιλονεικία. ὀπίσσω.] ἐν τῷ μεταξὺ ταῦτα χρόνῳ. τὸ δὲ ὅλον, μὴ αὕτη φημὶ ἡ ἔρις μεγάλης ἔχθρας ἐν ὑστέρῳ ὑμῖν αἰτία γένηται. ὁππότε κεν.] ὁπότε ἄν. μεμαώς.] προθυμούμενος, θέλων. ἐξαλαπάξαι.] ἐκπορθῆσαι, καταστρέψαι. τὴν ἐθέλω.] ἣν ἂν βουληθῶ. ἔλαβε δὲ ἄρθρον προτακτικὸν ἀντὶ ὑποτακτικοῦ. ὅθι.] ἐνταῦθα, ὅπου. ἐγγεγάασιν.] ἐγγεγένηνται, κατοικοῦσι. μή τι.] μηδαμῶς. διατρίβειν.] παρέλκειν, ἀναβάλλεσθαι. ἀλλά μ' ἐᾶσαι.] ἀλλὰ συγχωρῆσαί με. δῶκα ἑκών.] ἔδωκα θέλων. δοκεῖ δέ πως ἐναντίον εἶναι τὸ ἑκὼν τῷ ἀέκοντί γε θυμῷ. διὸ καλῶς συναλείψας ἐν τῷ δῶκα συνάπτει τὸ ἀέκων, ἵν' ᾖ δῶκ' ἀέκων, ἀέκοντί γε θυμῷ. ἑκὼν ἐγώ σοι ἔδωκα, ἀκούσης μου τῆς διανοίας. ὅ ἐστι καὶ πρὸ μὴ βουλόμενος, καὶ γὰρ ἐγώ σοι δῶκα ἑκών, ἀέκοντί γε θυμῷ. ζητεῖται πῶς ὁ Ζεὺς ἅμα μὲν ἑκὼν λέγει τῇ Ἥρᾳ χαρίσασθαι, ἅμα δὲ ἀέκων. ἔστιν οὖν ἑκὼν μὲν ὅτι δίδωσιν, ὡς ἂν ἀδελφῇ καὶ γυναικί, ἀέκων δέ, ὅτι τοὺς φιλτάτους πρὸς ἀπώλειαν δίδωσι. καὶ γὰρ οἱ ἐν θαλάσσῃ πλέοντες ὁπότ' ἂν περιπέσωσι κινδύνῳ, ἐκβάλλουσι τὸν φόρτον εἰς τὴν θάλασσαν, ἑκόντες τε καὶ ἀέκοντες. ἑκόντες μὲν ἵνα σωθῆναι δυνηθῶσιν, ἀέκοντες δὲ ὅτι τὸν φόρτον ἀπολλύουσιν δι' ὃν πλέουσιν. αἳ γὰρ ὑπ' ἠελίῳ τε καὶ οὐρανῷ ἀστερόεντι.] ὅσαι γὰρ ὑπὸ τὸν ἥλιον καὶ τὸν τοὺς ἀστέρας ἔχοντα οὐρανόν. ναιετάουσι.] κατοικοῦνται, ἐνεργητικὸν ἅπερ ἀντὶ παθητικοῦ. τάων μοι.] τούτων μοι. περὶ κῆρι.] ἐν ψυχῇ. τιέσκετο.] ἐτιμᾶτο. ἱρή.] ἱερά, μεγάλη. ἐϋμμελίω.] τοῦ εὖ ποτε τῇ μελίᾳ χρησαμένου πολεμικοῦ. μελία δὲ εἶδος δένδρου οὗ τὰ δόρατα κατασκευάζουσιν. λοιβῆς.] σπονδῆς. κνίσης.] τῆς ἀναφερομένης ἐκ τῶν θυμάτων ἀναθυμιάσεως. τὸ γὰρ λάχομεν γέρας ἡμεῖς.] ταύτης γὰρ τῆς τιμῆς κατηξιώθημεν ὑπὸ τῶν ἀνθρώπων. βοῶπις.] μελανόφθαλμος, καλή. ἤτοι ἐμοί.] ἐμοὶ μὲν δή. πολὺ φίλταται.] προσφιλέσταται. πόληες.] πόλεις, τὸ διὰ τὸ μέτρον. τάς.] ταύτας. διαπέρσαι.] ἐκπόρθησον, ἀπαρέμφατον ἀντὶ προστακτικοῦ. ὅταν τοι.] ὅτ' ἄν σοι. ἀπέχθωνται.] μισηθῶσιν. πρόσθ' ἵσταμαι.] προΐσταμαι, ὑπερμαχῶ. οὐδὲ μεγαίρω.] οὐδὲ φθονῶ, ἢ ἀντιπράττω.

Σκυζομένη Διὶ πατρί, χόλος δέ μιν ἄγριος ᾕρει.
Ἥρῃ δ' οὐκ ἔχαδε στῆθος χόλον, ἀλλὰ προσηύδα.
Αἰνότατε Κρονίδη, ποῖον τὸν μῦθον ἔειπες;
πῶς ἐθέλεις ἅλιον θεῖναι πόνον, ἠδ' ἀτέλεστον
ἱδρῶθ', ὃν ἵδρωσα μόγῳ, καμέτην δέ † μοι ἵπποι
λαὸν ἀγειρούσῃ, Πριάμῳ κακά, τοῖό τε παισίν.
ἔρδ', ἀτὰρ οὔ τοι πάντες ἐπαινέομεν θεοὶ ἄλλοι.
Τὴν δὲ μέγ' ὀχθήσας, προσέφη νεφεληγερέτα Ζεύς.
Δαιμονίη, τί νύ σε Πρίαμος, Πριάμοιό τε παῖδες
τόσσα κακὰ ῥέζουσιν, ὅτ' ἀσπερχὲς μενεαίνεις
Ἰλίου ἐξαλαπάξαι ἐϋκτίμενον πτολίεθρον;
εἰ δὲ σύ γ' εἰσελθοῦσα πύλας, καὶ τείχεα μακρά,
ὠμὸν βεβρώθοις Πρίαμον, Πριάμοιό τε παῖδας,
ἄλλους τε Τρῶας, τότε κεν χόλον ἐξακέσαιο.
ἕρξον ὅπως ἐθέλεις, μὴ τοῦτό γε νεῖκος ὀπίσσω
σοὶ καὶ ἐμοὶ μέγ' ἔρισμα μετ' ἀμφοτέροισι γένηται.
ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν.
ὁππότε κεν καὶ ἐγὼ μεμαὼς πόλιν ἐξαλαπάξαι,
τὴν ἐθέλω ὅθι τοι φίλοι ἀνέρες ἐγγεγάασι,
μή τι διατρίβειν τὸν ἐμὸν χόλον, ἀλλά μ' ἐᾶσαι.
καὶ γὰρ ἐγώ σοι δῶκα ἑκὼν † ἀέκοντί γε θυμῷ. † δῶκ' ἀέκων.
αἳ γὰρ ὑπ' ἠελίῳ τε, καὶ οὐρανῷ ἀστερόεντι
ναιετάουσι πόληες ἐπιχθονίων ἀνθρώπων,
τάων μοι περὶ κῆρι τιέσκετο Ἴλιος ἱρή,
καὶ Πρίαμος, καὶ λαὸς ἐϋμμελίω Πριάμοιο.
οὐ γάρ μοί ποτε βωμὸς ἐδεύετο δαιτὸς ἐΐσης,
λοιβῆς τε κνίσης τε. τὸ γὰρ λάχομεν γέρας ἡμεῖς.
Τὸν δ' ἠμείβετ' ἔπειτα βοῶπις πότνια Ἥρη.
ἤτοι ἐμοὶ τρεῖς μὲν πολὺ φίλταταί εἰσι πόληες,
Ἄργος τε, Σπάρτη τε, καὶ εὐρυάγυια Μυκήνη,
τὰς διαπέρσαι, ὅταν τοι ἀπέχθωνται περὶ κῆρι.
τάων οὔ τοι ἐγὼ πρόσθ' ἵσταμαι, οὐδὲ μεγαίρω.
εἴπερ γὰρ φθονέω τε, καὶ οὐκ εἰῶ διαπέρσαι,

Οὐκ

οὐκ ἐῶ.] οὐκ ἐῶ, οὐ συγχωρῶ. οὐκ ἀνύω.] οὐδὲν ὠφελῶ, οὐδὲν σοι πράσσω. χρή.] προσῆκόν ἐστι. θέμεναι.] θεῖναι, ποιῆσαι. ἐπεί.] ἐπειδή. οὐκ ἀτέλεστον.] οὐκ ἀπλήρωτον. ἔνθεν.] ἐντεῦθεν. ὅθεν σοί.] τῶν αὐτῶν γονέων. πρεσβυτάτην.] ἐντιμοτάτην. τέκετο.] ἐγέννησεν. ἀγκυλομήτης.] ἀγκύλα καὶ σκολιὰ βουλευόμενος. ἢ ὁ περὶ τὴν δυσεύρετον καὶ σκολιὸν σύγχρονος δυνάμενος βουλεύσασθαι, συνετός. ἀμφότερον.] κατὰ ἀμφότερα, διὰ τὸ καὶ ἀδελφὴν εἶναί σε καὶ γυναῖκα. γενεῇ.] τῇ γενεᾷ. καὶ οὕνεκα.] καὶ ὅτι. παράκοιτις.] γαμετή. κέκλημαι.] εἰμί, ὑπάρχω. ἀλλ' ἤτοι.] ἀλλὰ γάρ. ὑποείξομεν.] εἴξομεν, συγχωρήσομεν. ἐπὶ δ' ἕψονται θεοὶ ἄλλοι.] ἐπακολουθήσουσι δὲ τῇ ἡμῶν γνώμῃ καὶ οἱ λοιποὶ θεοί. θᾶσσον.] τάχιον. ἐπιτεῖλαι.] ἀντὶ τοῦ ἐπίτειλον, ὅ ἐστι πρόσταξον. διὸ περισπωμένως δεῖ ἀναγινώσκειν. ἔστι γὰρ ἀπαρέμφατον ἀντὶ προστακτικοῦ, ἐπίτειλον καὶ πρόσταξον. τὸ δὲ παροξυνόμενον ἐπιτεῖλαι, συντικόν ἐστι, προσώπου τρίτου. πειρᾶν.] ἀπόπειραν λαβεῖν. ὥς κεν.] ὅπως ἄν. ὑπερκύδαντας.] ὑπερφανέντας τῇ δόξῃ, διὰ τὴν Μενελάου νίκην. ἄρξωσιν.] ἄρξωνται, προλάβωσι. δηλήσασθαι.] βλάψαι. πάρος μεμαυῖαν.] καὶ πρότερον προθυμουμένην. ἀΐξασα.] ὁρμήσασα. † θ' οἷον δ' ἀστέρα ἧκε.] λεγόμενον κομήτην. ἀστὴρ δὲ ἄστρου διαφέρει, ὅτι ὁ μὲν ἀστὴρ ἕν τι ἐστι, τὸ δὲ ἄστρον ἐκ πολλῶν συνέστηκεν ἀστέρων, ὥσπερ ὁ καὶ ἄστρον σύστημα καλεῖται. ἧκεν.] ἔπεμψε. τέρας.] σημεῖον. τοῦ δέ τε.] τότε δὲ τοῦ ἀστέρος. ἵενται.] ἀφίενται, ἀποπηδῶσιν. ἰκέλη.] ὁμοία. ἤϊξεν.] ὥρμησεν. κὰδ δ' ἔθορε.] κατεπήδησε. θάμβος.] † ἴκελη ἔκπληξις, φόβος. εἴπεσκεν.] εἶπεν. ἢ ῥ' αὖτις.] ἢ πάλιν. τίθησι.] ποιεῖ. ταμίης.] ταμίας, διατάκτωρ, ὅ ἐστι δεσπότης. τέτυκται.] κατεσκεύασται, ὑπάρχει. κατεδύσετο.] κατῆλθεν. Ἀντηνορίδῃ.] Ἀντήνορος παιδὶ Λαοδόκῳ. αἰχμητῇ.] πολεμιστῇ. διζημένη.] ζητοῦσα. ζητεῖν δὲ προσποιεῖται ἡ θεὸς τὸν Πάνδαρον, ἐπειδὴ μορφήν τε καὶ εἶδος ἀνθρώπου προσείληφεν. εἴ που ἐφεύροι.] ἐάν που εὕροι. οὐκ ἀσεβεῖ δέ φασιν ὁ Πάνδαρος, ἡ Ἀθηνᾶ συνεβούλευσε καὶ Ζεὺς ἀπέσταλκε. ῥητέον δὲ ὅτι ὁ μὲν Ζεὺς ἀδίκως οὐ καλῶς τοὺς ὅρκους γεγενημένους. οὐδὲ γὰρ πρότερον Τρῶες ἐπὶ τοῖς ἀλλοτρίοις ὤμοσαν, διὰ τοῦτο ἐσπούδασε λυθῆναι τὰς ἀδίκους συνθήκας, Ἀθηνᾶν δὲ νῦν ὑπολήπτειν τὸν λογισμὸν αὐτοῦ Πανδάρου. καὶ αὐτὸς πρὸς ἑαυτὸν ταῦτα διελογίζετο, ἄπιστοι γὰρ Λυκάονες, καὶ Ἀριστοτέλης μαρτυρεῖ. ἄλλοι δὲ καὶ τοῖς Ὁμήρου λύοντες, φασὶ προειρηκέναι τὸν Ποιητὴν πειρᾶν αἰνεῖ θέλουσιν, οὐχὶ πείθειν. εὗρε.] κατέλαβε. Λυκάονος υἱόν.] τὸν Πάνδαρον. ἀμύμονα.] ἀγαθὸν καὶ ἄψογον τῇ τοξικῇ. ἑσταότα.] ἑστηκότα. κρατεραί.] ἰσχυραί, γενναῖαι. ἀσπιστάων.] πεζῶν, ὁπλιτῶν. ἕποντο.] ἠκολούθουν. ἀπ' Αἰσήποιο ῥοάων.] ἀπὸ τῶν τοῦ Αἰσήπου ῥευμάτων καὶ ῥείθρων. ὁ δὲ Αἴσηπος ποταμὸς τῆς ὑπὸ Ἴδην Λυκίας.

Οὐκ ἀνύω φθονέουσ', ἐπεὶ ἦ πολὺ φέρτερός ἐσσι.
ἀλλὰ χρὴ καὶ ἐμὸν θέμεναι πόνον οὐκ ἀτέλεστον.
καὶ γὰρ ἐγὼ θεός εἰμι, γένος δέ μοι ἔνθεν ὅθεν σοί.
καί με πρεσβυτάτην τέκετο Κρόνος ἀγκυλομήτης,
ἀμφότερον γενεῇ τε, καὶ οὕνεκα σὴ παράκοιτις
κέκλημαι. σὺ δὲ πᾶσι μετ' ἀθανάτοισιν ἀνάσσεις.
ἀλλ' ἤτοι μὲν ταῦθ' ὑποείξομεν ἀλλήλοισι,
σοὶ μὲν ἐγώ, σὺ δ' ἐμοί. ἐπὶ δ' ἕψονται θεοὶ ἄλλοι
ἀθάνατοι. σὺ δὲ θᾶσσον Ἀθηναίῃ ἐπιτεῖλαι
ἐλθεῖν ἐς Τρώων καὶ Ἀχαιῶν φύλοπιν αἰνήν,
πειρᾶν δ' ὥς κεν Τρῶες ὑπερκύδαντας Ἀχαιοὺς
ἄρξωσι πρότεροι ὑπὲρ ὅρκια δηλήσασθαι.
Ὣς ἔφατ', οὐδ' ἀπίθησε πατὴρ ἀνδρῶν τε, θεῶν τε.
αὐτίκ' Ἀθηναίην ἔπεα πτερόεντα προσηύδα.
αἶψα μάλ' ἐς στρατὸν ἐλθὲ μετὰ Τρῶας, καὶ Ἀχαιούς,
πειρᾶν δ' † ὥς κεν Τρῶες ὑπερκύδαντας Ἀχαιοὺς
ἄρξωσι πρότεροι ὑπὲρ ὅρκια δηλήσασθαι.
Ὣς εἰπὼν ὤτρυνε πάρος μεμαυῖαν Ἀθήνην.
βῆ δὲ κατ' Οὐλύμποιο καρήνων ἀΐξασα.
οἷον δ' ἀστέρα ἧκε Κρόνου πάϊς ἀγκυλομήτεω,
ἢ ναύτῃσι τέρας, ἠὲ στρατῷ εὐρέϊ λαῶν,
λαμπρόν, τοῦ δέ τε πολλοὶ ἀπὸ σπινθῆρες ἵενται,
τῷ εἰκυῖ' † ἤϊξεν ἐπὶ χθόνα Παλλὰς Ἀθήνη,
κὰδ δ' ἔθορ' ἐς μέσσον, θάμβος δ' ἔχεν εἰσορόωντας
Τρῶάς θ' ἱπποδάμους, καὶ ἐϋκνήμιδας Ἀχαιούς.
ὧδε δέ τις εἴπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον.
ἢ ῥ' αὖτις πόλεμός τε κακὸς καὶ φύλοπις αἰνὴ
ἔσσεται, ἢ φιλότητα μετ' ἀμφοτέροισι τίθησι
Ζεύς, ὅς τ' ἀνθρώπων ταμίης πολέμοιο τέτυκται.
Ὣς ἄρα τις εἴπεσκεν Ἀχαιῶν τε Τρώων τε.
Ἡ δ' ἀνδρὶ ἰκέλη Τρώων κατεδύσεθ' ὅμιλον
Λαοδόκῳ Ἀντηνορίδῃ, κρατερῷ αἰχμητῇ,
Πάνδαρον ἀντίθεον διζημένη εἴ που ἐφεύροι.
εὗρε Λυκάονος υἱὸν ἀμύμονά τε, κρατερόν τε,
ἑσταότ', ἀμφὶ δέ μιν κρατεραὶ στίχες ἀσπιστάων
λαῶν, οἵ οἱ ἕποντο ἀπ' Αἰσήποιο ῥοάων.
ἀγχοῦ δ' ἱσταμένη ἔπεα πτερόεντα προσηύδα.

Ἦ ῥά

ἦ ῥὰ νύμοι.] ἆρα αὖ μοι ἐστὶ ἡ ἐπίῤῥημα διαπορητικόν. νύθοις.] νοιθέτης. Διατὶ ἡ ὁ Αθηνᾶ ἀεὶ σύγχυσιν τῶν
† αὖτις ὅρκων ἀπ' Τρώων τινὰ, ἀλλὰ † ἐπικήρυκα, κἄι τοι κεχαρισμένῳ αὐτὸς † ἐγίνετο Αλεξανδρῳ μᾶλλον ἢ † οἰκείῳ ὄν-
ηκεὶ διαπ' † ἐπικήρυκα † Παύσανιον ἐπελέξατο; ηκεὶ φησὶν ὁ Αριστοτέλης, ὅτι τῶν βῆ Τρώων ἐδίωκεν, διότι πάντες αὐ-
τὸν ἐμίσουν ὡς ὁ Ποιητὴς φησιν. ἴσον γὰρ σφιν πᾶσιν ἀπήχθετο ηκεῖ μελάνιν. † ἢ ἐπικήρυκα † Παύσανιον ἐπελέξατο ὡς
φιλοχρήματον σημαίνων † ἢ † ἵππων αὐτ' ἐπ' οἴκου κατάλειψιν, ἵνα μὴ δαπανᾷ κἢ ὅτι φύσει ἐπίορκον· τὸ γὰρ ἴδιον· ἐπι-
ηκεὶ νεῖν δοκεῖν ἕνεκα ἔθηκεν ἵν' ἐπίορκον.

Ἦ ῥὰ νύ μοί τι τύθοιο Λυκάονος ἢε Δαΐφρου,
Τλαίης κεν Μενελάῳ ἀδῖνα πόρσειν ταχὺ ἰόν
Πᾶσι δ' ἐκ τε Τρώεσσι χάρμ', ηκὲ κῦδ' ἀρέσθαι.
Ἐκ παύτων δὲ μάλιστα, Αλεξάνδροιο βασιλῆϊ.
Τοῦ, κεν δὴ πάμπρωτα πάρ' ἀγλαὸν Δῶρα φέροιο.
Αἶκεν ἰδὼν Μενέλαον Ἀρήϊον Ατρέος υἱὸν
Σῷ βελεῖ ἀμπεθάτα, πυρῆς ὕπαειτ' ἀλεγεινῆς.
Ἀλλά γ' ὄϊστευσον Μενελάου κυδαλίμοιο.
Εὔχεο δ' Απόλλωνι λυκηγενεῖ. κλυτοτόξῳ,
Ἀρνῶν πρωτογόνων ῥέξειν κλειτὼ ἑκατόμβην,
Οἰκαδε νοστήσαντι ἱερῆς εἰς ὄπα Ζελείης.

Ὡς φάτ' Αθηναίη. τοῦ δὲ φρένας ἄφρονι πειθεν·
Αὐτίκ' ἰοῦλα τόξον εὐξόου ἰφάλτο ἀγοῦ
Ἀγρίδ, ὃν ῥά ποτ' αὐτὸς ὑπὸ στέρνοιο τυχήσας
Πέτρης ἐκβαίνοντα δεδεγμένος ἠδ' ὑποδύντα,
Βεβλήκει πρὸς σῆθ'. ὃδ' ὑπτίος ἔμπεσε πέτρῃ.
Τοῦ κέρα ἐκ κεφαλῆς ἑκάτερθε κάρηατος ἐφύτευσε.
Καὶ τὰ μὲν, ἀσκήσας κεραοξόος ἄρσεν τέκτων.
Πᾶν δ' εὖ λείηνας, χρυσὸν ἐπέθηκε κορώνῃ.
Καὶ τὸ μὲν, εὖ κατέθηκε τανυσάμενος, ποτὶ γαίῃ
Ἀγκλίνας. πρόσθεν δὲ στάσεα χθόνα ἐσθλοὶ ἑταῖροι,
Μὴ πρὶν αὖ αἴξειαν Ἀρηΐοι υἷες Αχαιοῦ,
Πρὶν βλῆσθαι Μενέλαον Ἀρήϊον, ἀρχὸν Αχαιῶν.
Αὐτὰρ ὁ, σύλα τῶμα φαρετρηφόρου. ἐκ δ' ἕλετ' ἰὸν
Ἀβλῆτα, πτερόεντα, μελανεάων ἑρμὶ ὀδυνάων.

Αἶψά δ' ὦν νευρῇ κατενήσατο πικρὸν ὀϊστὸν,
Εὔχετο δ' Απόλλωνι λυκηγενεῖ, κλυτοτόξῳ,
Ἀρνῶν πρωτογόνων ῥέξειν κλειτὼ ἑκατόμβην,
Οἰκαδε νοστήσαντι ἱερῆς εἰς ὄπα Ζελείης.
Ἕλκε δ' ὁμοῦ γλυφίδας τε λαβὼν, ηκὲ νεῦρα βόειαν.
Νευρὴν μὲν μαζῷ τελάσσας, τόξῳ δὲ σίδηρον.
Αὐτὰρ ἐπειδὴ κύκλοτερὲς μέγα τόξον ἔτεινε,
Λίγξε βιός, νευρὴ δὲ μέγ' ἴαχε, ἆλτο δ' ὀϊστὸς
Ὀξυβελὴς, καθ' ὅμιλον ὠδῖ πεδάσαι μιηναίνων.
Οὐ δὲ σέθεν Μενέλαε θεοὶ μάκαρες λελάθοντο
Ἀθάνατοι, πρώτη δὲ Διὸς θυγάτηρ Αγελείη,
Ἣ τοι πρόσθ' ὧν σᾶσα, βέλος ἐχεπευκὲς ἄμυνε.
Ἣ δὲ τόν μὲν ἔειργε ἀπὸ χροὸς, ὡς ὅτε μήτηρ
Παῖδ' ὀΐεργει μάλα, ὅθ' ἥδ' εἰ λέξατο ὕπνῳ,
Αὐτὴ δ' αὖθ' ἴθυν' ὧν ὀϊστὸν ἐπὶ ζωστῆρος ὀχῆες
Χρύσειοι σάν ἔχον, καὶ δι' ἁπλόος ἦντετο θώρηξ,
Ἐν δ' ἕπεσε ζωστῆρι ἀραρότι πικρὸς ὀϊστὸς,
Διὰ μὲν ἄρ' ζωστῆρος ἐλήλατο δαιδαλέοιο,
Καὶ διὰ θώρηκος πολυδαιδάλου ἠρήρειστο,
Μίτρης θ', ἣν ἐφόρει ὄρυμα χροὸς, ἕρκος ἀκόντων,
Ἡ οἱ πλεῖστον ὄρυτο διὰ πρὸ δὲ εἵατο καὶ δή,
Ἀκρότατον δ' ἄρ' ὀϊστὸς ἐπέγραψε χρόα φωτός.
Αὐτίκα δ' ἐρρέων αἷμα μελανευφὲς ἐξ ὠτειλῆς,
Ὡς δ' ὅτε τίς τ' ἐλέφαντα γυνὴ φοίνικι μήνῃ
Μηονὶς, ἠὲ κάειρα, πάρος ἔμμεναι ἵππον,
Κεῖται δ' ἐν θαλάμῳ, πολέες τέ μιν ἠρήσαντο
Ἵππῆες φορέειν, βασιλῆϊ δὲ κεῖται ἄγαλμα,
Ἀμφότερον, κόσμος θ' ἵππῳ, ἐλατῆρί τε κῦδος,
Τοῖόν σοι Μενέλαε μιαίνετο αἵματι μηροὶ
Εὐφυέες, κνῆμαί τε, ἰδὲ σφυρὰ καλ' ὑπένερθε.
Ῥίγησεν δ' ἀρ' ἔπειτα ἄναξ ἀνδρῶν Αγαμέμνων,
Ὡς εἶδ' ὦν

φρόμενον. μελανεάων.] ἀπὸ βάθους διοικουσῶν *, ἀεινῶν. ἑρμὶ ὀδυνάων.] ὄρεσμα ἐνοφλοῦν τὰς ὀδύνας. * Αἰνουσῶν
κατενήσατο.] κατετέτατο, κατέστησε. ἵρμοσε τῇ νευρᾷ. πικρόν.] ὀδυνηρόν, χαλεπόν. γλυφίδας.] τὰς παρὰ
τοῖς τοξόταις ἐντομὰς † βέλους, τὴν χηλὴν ὅπου ἐντίθεται ἡ νευρά. μαζῷ.] τῷ μαστῷ. τελάσσας.] προσάγαγε.
σίδηρον.] τὸν ἀκμονὸν † βέλους. κυκλοτερές.] σύκυκλον. ὅτι τοσοῦτόν φησιν, ἐτεινε τὸ τόξον ὡς κυκλοτερὲς γενέσθαι.
λίγξε.] ποιοῦν τινα ἦχον ἀπετέλεσε. βιός.] ὀξυτόνως τὸ τόξον. ἴαχε.] ἦχον ἀπετέλεσεν. ἆλτο.] ἀφῆλατο.
ὀξυβελὴς.] ἤτοι ὁ ταχέως βάλλων, ἢ ὁ ταχέως βαλλόμενος. καθ' ὅμιλον.] κατὰ τὸ πλῆθος. ἐπιπτεδᾶσαι.]
ἐπιστεναδῆσαι, ἐφικέσθαι. μιηναίνων.] προθυμούμενος. ὁ δόσις μεταφορὰ ἀπὸ ἐμψύχων ὠδῖ ἄψυχα. ἀλλὰ
σέθεν Μενέλαε θεοὶ μάκαρες λελάθοντο.] σὲ δὲ ὦ Μενέλαε οἱ θεοὶ οἱ μακάριοι ἐσμὲν ἄξιοι ὄν ἐπιλάθοντο. παλαίτατα
ἢ ὁ τρόπος ὁτοῦ ἀποστροφή. ἀγελείη.] ἡ Αθηνᾶ, ἡ ἄγουσα λέαν ἀπὸ † τῶν λεμίων. ὅ ἐστι λαφυραγωγός. ἢ τοι.] ἤτοι
σει. πρόσθεν σᾶσα.] προσαθέσασά σοι καὶ ὑπόβρασίσασα, ἵνα ἧσσον ῥυσαμένη.
τόσσον.] τοσοῦτον. ἔσχεν.] ἀπῆγεν, ἐκώλυεν. ἀπὸ χροός.] ἀπὸ † χρωτὸς, ἀπὸ † σώματος. ὡς ὅτε μήτηρ.] ἅπλουν
μητρός. ἔεργει.] ἀπέργει, κωλύει. ὅτε.] ὁπότε. ἑδέσθη λέξεται ὕπνῳ.] ὁπότε ἂν τῷ ἡδυτάτῳ ὕπνῳ κρατηθῇ ἀποκοιμηθῇ. αὐτὴ δ' αὖτε.] αὐτὴ δὲ
ὁ δαίμων. ἴθυνεν.] ἐπ' εὐθείας ἐνεχθῆναι ἐποίησε. ζωστῆρος ὀχῆες.] οἱ συνέχοντες τὸν ζωστῆρα ἱμάντες. χρύσειοι.] χρυσοῖ. σάωσεν.] συνέχεν, ἐσφιγγον. διπλόος.] διπλοῦς. ἦντετο.] ἀπήντα. ὑπέκειτο. ἐνδ' ἐπέσεν.] ἐνέπεσε δέ. ἀρηρότι.] σὺν ὁρμοσμένῳ, ἐληλατο.] διειληλύθει, ἐπέπηκτο. δαιδαλέοιο.] πολυπατοργάστου, ποικίλου. ὄρυτο.] ὥρμητο, ἐνεπάγη.
μίτρης.] ῥώνης, μίτρα ἢ ἐλέγετο τὸ ὀβιώτερον τῆ λαγόνι ἅλμα ὄρυδεν, χαλκῷ ἐξωθεν περιειλιμένον. ὄρυμα χροός.] φύλαγμα καὶ ἀσφάλεια † σώματος. ἕρκος ἀκόντων.] τειχίον καὶ περίφραγμα † ἀκοντίων. ἢ οἱ.] ἤτοι αὐτῷ. πλεῖστον ὄρυτο.] πολὺ ἐβούθησε. διὰ πρὸ ἢ ἵστατο καὶ δή.] διῆλθε δὲ καὶ διὰ ταύτης. ἀκροτάτην χρόα.] τὴν ἐπιφανείαν † σώματος. ἐπέγραψεν.] ἐπέξεσεν. ὄρεσε.] ἔῤῥεε, ἐφέρετο. μελανεφὲς.] μέλαν ὡς νέφος. ἐξ ὠτειλῆς.] ἐκ † βραύματος. ἀπὸ † ὀπὸς ἐλαύνεται ἢ γίνεται, ὅ ἐστι τετρῶσθαι. διαφέρει ὠτειλὴς, ὀλὴ, ὠτειλὴ μὴ λέγεται αὐτὸ τὸ τραῦμα, ὀλὴ ἢ ὁ τύπος † βραπευθέντος βραύματος. ἐλέφαντα.] ἐλέφαντίνην ὀστοῦν. φοίνικι.] φοινικῷ χρώματι, ὅ ἐστιν ὀρυθρῷ. Μιήνῃ.] χρίσῃ βάψῃ. μηονὶς.] Λυδή. κάειρα.] παρὰ ἀπὸ Καρίας· ὡς † χωρίων τέτων τὸ παλαιὸν παλαῖς βαφαῖς χρωμένων. ναρῆϊον.] ναραγναΐδιον, τὸν νῦν καλινδούμενον παλέμενεν. ἐν θαλάμῳ.] ἐν τῷ οἴκῳ. πολέες τέ μιν.] πολλοὶ ἢ αὐτόν. ἠρήσαντο.] ἤυξαντο. ἄγαλμα.] καλώπισμα πᾶμ· ἐφ' ᾧ τις ἀγάλλεται καὶ χάιρει. οἱ δὲ μεθ' Ὅμηρον ποιηταὶ ἄγαλμα ἅπαν τὸ ξοανόν. ἐλατῆρι.] τῷ ἡνιόχῳ. τοιοί τοι.] ὅτως σοι. μιάνθω.] ἐμιάνθησαν, ἐμιλύνθησαν. σὺφυέες.] σὺφυεῖς, παλοί. σφυρά.] τὰ ἀπολήγοντα μέρη πρὸς τῷ ἀστραγάλῳ, καὶ ἐκ πλαγίων ὀξέκοντα δὲ κνήμης καὶ δὲ πτέρνης. ἔρηται δὲ μεταφορικῶς ἀπὸ τῶν χαλκευτικῶν σφυρῶν. ὑπένερθε.] ὑποκάτωθεν. ῥίγησεν.] ἐφοβήθη, ἐφρόξεν.

ὡς δ' ἅλιον.] ὡς ἐθεάσατο Ἀλ. νοῦρον τε ἠδὲ ὄγκον.] νοῦρον βλ. ἐν ᾧ Ἀριστ. τὸ σίλφιον ἢ βύλβα πρὸς τὸν κάλαμον. ὄγκος Ἀλ τὰς ἀπίλας, ἠδὲ βοχὰς ἢ βύλβα. ἐντὸς ἑόντας.] ἐξοθεν ἢ βύλβα ὁρωμένας. ἀψορρόον οἱ θυμός.] ὡς τὸ πίσω φαλιν αυτῷ ὁ ψυχός. ἀγήρων.] τυτίσιμ ἐπισυνηβοίδα, ἐπισυνήχθη. βαρυσγώχων.] μεγάλως στενάζων. ἔχων.] ἱμερτῶν. κασίγνητε.] ἀλλιλφέ. θανάτου νύ τοι.] τὸν θανάτον λήσοι. ὄρνι ἑταμνον.] αὐτὶ ἢ ἐπὶ τῷ σῷ θανάτῳ τὰς ὄρνιθας ἐποίησα. οἷον.] μόνον σε ὑπὸ τῶν Ἑλλήνων μαχεσθαι πρόσησα. ὡς ἴδαλον Τρῶες.] αὐτὶ ἢ ὃν τρόπον σε οἱ Τρῶες ἔτρωσαν ἀκαταφρονήσαντός τῶν ὄρνιθων. ἀ μὲν πως.] ἀθαμῶς μέν. ἅλιον.] μάταιον. πίλει.] γενήσεται. ἀκρηγοί.] ἀτέλεστοι, ἀπλήρωτοι. ἢ ἀλ δι' ἀκράτε οἷνος γιγνόμενα.

λιξιάδε.] λιξιώσας, πίσεως. ἧς ἐπέπιθμην.] ἅς ἐπεπιστεύκειμεν. ὀκ ἐτέλεσατε.] ὀκ ἧς τέλος ἐπήγαγεν, ὀκ ἐπλήρωσεν. ὀψὲ.] μεταπολύ, βραδέως. τελεῖ.] τελειώσει. σύν τε μεγάλῳ ἀπέτισαν.] ἀπώλωλαν. λέπει ἢ τὸ χάλῳ ἵν' ἢ σὺ μεγάλῳ χόλῳ. ἢ τόπῳ ἤτοι ποινῇ προσίμῳ. σφῆσιν.] ἰδίαις. γυναιξί τε ἠ τεκέεσσιν.] αὐτὶ ἢ μετὰ γυναικῶν ἠδὲ τέκνων. ἦμαρ.] ἡμέρα. σφῖν.] κύτοις. ὑψίζυγος.] ὁ ἐπὶ ὑψηλῶ βρόνῳ ἱκαθεζόμενος. ὁ τῶν αὐτάτῳ ἔχων ἱκαθέδραν. ἡ μεταφορὰ ἀπὸ ἢ ἐν ναυσὶ ζυγῶν, ἐφ' ὧν ἱκαθίζονται οἱ ὁρίσαντες. ἢ ὁ ἐν ὕψει ζυγοστῶν ἠδὲ ἀπονέμων ἑκάστῳ τὸ πεπρωμένον. αἰθέρι ναίων.] ἐν τῷ αἰθέρι κατοικῶν. ἐπισκέησι.] ἐπισκήψει. ὀρσεμηλῶ.] σποτεινῶ, φοβοδρανῶ. μετὰ νυμπῶς. Ἀλ δ' ἀπαλ.] ὑπὸ τούτης Ἀλ τελεύτης. ποτέων.] ὀργιζόμενος, ὀκ ἀτέλεστα.] ὀκ ἀπλήρωτα.

αἰνὸν ἀχος.] λυπηρὸν λύπη. αἶπος θάνης.] ἰσχὺν ἀποθανέντος. μοῖραν.] τὸν πεπρωμένην. αὐταπλήσεις.] ὠφελήσεις. βιότοιο.] ἢ βίᾳ, Ἀλ χωρὶς πόνου. ἢ βίᾳ, Ἀλ χωρὶς.

† τώσει

Ὡς ἔφατ' ἴδαλον μέλαν ἅιμα καταῤῥέον ἀζ ὠτειλῆς,
Ῥίγησεν δὲ καὶ αὐτὸς ἀρηΐφιλος Μενέλαος.
Ὡς δ' ἴδεν οὐδὸν ἔνερθε τε, καὶ ὄγκος ἐντὸς ἐόντας,
Ἄψορρόον οἱ θυμὸς ἐνὶ στήθεσιν ἀγέρθη,
Τοῖσι δὲ βαρυσγώχοιο μετέφη κρείων Ἀγαμέμνων,
Χειρὸς ἔχων Μενέλαον, ἑπέσπετο δ' ἔκποθεν ἄλλοι,
Φίλε κασίγνητε, θάνατον νύ τοι ὄρνι ἔταμνον,
Οἷον πωλήσας πὸ Ἀχαιῶν Τρωσὶ μάχεσθαι,
Ὡς σ' ἔβαλον Τρῶες, ἠζ δ' ὅρκια πιστὰ πάτησαν
Οὐ μὲν πως ἅλιον τέλεσ' ὅρκιον, ἅιμά τε ἀρνῶν,
Σπονδαί τ' ἄκρητοι, καὶ δεξιαί, ἧς ἐπέπιθμεν,
Εἴπερ γάρ τε καὶ αὐτὶς ὀλύμπιος ὀκ ἐτέλεσσεν,
Ἕκ τε καὶ ὀψὲ τελεῖ, σφίσι μεγάλως ἀπέτισαν †
Σὺν σφῆσιν κεφαλῆσι, γυναιξί τε, καὶ τεκέεσσιν,
Εὖ γὰρ ἐγὼ τόδε οἶδα ἠζ φρένα, καὶ ἠζ θυμόν.
Ἔσσεται ἦμαρ, ὅταν ποτ' ὀλώλῃ Ἴλιος ἱρή,
Καὶ Πρίαμος, καὶ λαὸς ἐϋμμελίω Πριάμοιο,
Ζεὺς δ' ἐς σφιν Κρονίδης, ὑψίζυγος, αἰθέρι ναίων,
Αὐτὸς ὑπαΐσσειν ἐρεμνὴν αἰγίδα πᾶσι,
Τῆς δ' ἀπαφλ ποτέων, τὰ μὲν, ἔσσεται ὀκ ἀτέλεστα,
Ἀλλά μοι αἰνὸν ἄχος σέθεν ἔσσεται ὦ Μενέλαε,
Αἶπος θάνης, καὶ μοῖραν ἀναπλήσῃς βιότοιο.
Καί κεν ἐλεγχιστος πολυδίψιον Ἄργος ἱκοίμην,
Αὐτίκα γὰρ μνήσονται Ἀχαιοὶ πατρίδος ἄνης,
Καδδ' ἐκὼν εὐχωλὴν Πριάμῳ, καὶ Τρωσὶ λίποιμι
Ἀργείην Ἑλένην. σέο δ' ὀστέα πύσει † ἄρουρα,
Κειμένου γ' ἐν Τροίη, ἀτελευτήτῳ ὧν ὄργῳ,
Καί κέ τις ὧδ' ἐρέει Τρώων ὑπερηνορεόντων,
Τύμβῳ ἀδιθρώσκων Μενελάου λυδαλίμοιο,
Αἶψ' ὅτως ὧν πᾶσι χόλον τελέσει Ἀγαμέμνων,
Ὡς φ

δαπέτιζαν

δὴ Ἀργείην μὲν ἀπάγειν οἶκόνδε νέεσθαι,
Ἄπρηκτον Τροίην ἁλόντ' ἐπὶ πείρατα γαίης.
Ὧδε κεν εἴποι πολλὸς Ἀχαιῶν χαλκοχιτώνων,
Ἀσκηθὴς μὲν δὴ ἀνὴρ ἐξίκετο πατρίδα γαῖαν,
Σὺν νηυσὶν κοίλῃσι, λιπὼν ἀγαθὸν Μενέλαον,
Ὥς ποτέ τις ἐρέει, τότε μοι χάνοι εὐρέα χθών.
Τὸν δ' ὠθαρσαίωσι προσέφη ξανθὸς Μενέλαος,
Θάρσει, μή δέ τι πω δεδίσθω λαὸν Ἀχαιῶν.
Οὐκ ὀλοὸς κεῖται ὀϊστὸς ἀπὸ νεκύεσσιν ἐρύσσας,
Εἰρύσατο ζωστῆρα τε ποικίλον, ἠδ' ὑπένερθεν
Ζωμά τε, καὶ μίτρην, τὴν, χαλκῆες κάμον ἄνδρες.
Τὸν δ' ἀπαμειβόμενος προσέφη κρείων Ἀγαμέμνων,
Εἰ γὰρ δὴ ὅτως εἴη φίλος ὦ Μενέλαε,
Ἑλκὸς δ' ἰητὴρ ὠδὶ μάσσεται, ἠδ' ὠδὶ θήσει
Φάρμακ', ἅπερ πάσσουσι μελαινάων ὀδυνάων,
Ἥ, καὶ Ταλθύβιον θεὸν κήρυκα προσίνδα,
Ταλθύβι', ὄφρα τάχιστα Μαχάονα δῦρο κάλεσσον
Φῶτ', Ἀσκληπιδ ἠΰν ἀμύμονα ἰητῆρα,
Ὄφρα ἴδῃ Μενέλαον ἀρηΐφιλον, ἀρχὸν Ἀχαιῶν,
Ὄν τις ὀϊστεύσας ἔβαλεν τόξων εὖ εἰδώς,
Τρώων, ἢ Λυκίων, ζφ δὲ μὴν κλέος, ἄμμι δὲ πένθος.
Ὡς φάτο, ζφ δ' ἀρα θυμὸν ἐνὶ στήθεσιν ὄρινε
Βὰν δ' ἰέναι καθ' ὅμιλον ἀνὰ κρατερὸν εὑρὼ Ἀχαιῶν.
Ἀλλ' ὅτε δὴ ῥ' ἵκανον ὅθι ξανθὸς Μενέλαος
Βλήμενος ἷξ, πολλοὶ δ' αὐτὸν ἀγηγέραθ' ὅσσοι ἄριστοι
Κυκλόσ', ὅδι φ' μέσοισι πρὸς αἰόθεος φόως
Αὐτίκα δ' ἐκ ζωστῆρος ἀρηρότος εἵλκεν ὀϊστόν,
Τὸδ' ἀζελκομένοιο, πάλιν ἄγκεα ὀξέες ὄγκοι
Λῦσε δὲ οἱ ζωστῆρα ποικίλον, ἠδ' ὑπένερθε
Ζωμά τε, καὶ μίτρην, τὴν, χαλκῆες κάμον ἄνδρες.
Αὐτὰρ ἐπεὶ εἶδεν ἑλκος ὅθ' ἐμπεσε πικρὸς ὀϊστός,

Αἶμ' ἐκμυ

ἅλιον.] μάταιον. νεινῆσι νωσί.] σκώληκας νωσίν. κάνοθ' Ἀλ ἤτε διότι Μενέλαος ἀποθανόν, οὐκ ἐμελλε πλήν ἐν αὐταῖς. ὄρνεις.] λέξει. τότε μοι χάνοι εὐρέα χθών.] τότε μεγὴ χάσματι διεχθέη. οὐ γαρ ἐπιθετικῶς λέγει αὐτὴν εὐρεῖαν, ἀλλὰ τὴν εὐρὺ τῇ διαστάσει χάσμα ποιοῦσαν. ἐπιθαρσώσων.] σὺθαρσέστερον ποιῶν σύψυχον. μή δέ τι πω.] μηδέπω. δεδίσθω.] ἐς δέος ἠκέ φόβον ἄγε. οὐκ ἐν πιειρίῃ.] οὐκ ἐν τῷ πρὸς εὐαίρεσιν τόπῳ ἢ σώματος, ὅ ἐστιν ὀκ ἐν ἐπιτηδείῳ. πυρσόθη.] ἐμπροσθεν. ἀρύσατο.] ἐφύλαξε. παναόλῳ.] παμποίκιλῳ. ζῶμα.] ὁ ζωστὴς χιτών.

μίτρην.] χαλκῆ λεπίς, ἣν ζώννυντο πρὸ τῆ περινεῶνα χαρίν πλέονος ἀσφαλείας. κάμον.] ἐκαμον, κατεσκεύασαν. ἀλ γαρ.] ἔδε γαρ. φίλος.] ὡς τι ἢ προσφιλέστατε. ἴλκος.] βραῦμα. ἰητήρ.] ἰατρός. ἐπιμάσσετ'.] ἐφάψεται, ψηλαφήσει. φάρμακα.] ἰάματα. φάρμακα γαρ ἡυρίως ἐκάλουν λέγοντες τὰ οἰονεὶ ἐπιφέροντα ἄκος, ἃ ἐστιν ἴασιν. ἄσχ.] ἄποροι δή. παύσωσι.] παύσῃ. θρασπαύσῳ. ἦ.] ἦφι, ἤτε θεόν.] ἤτοι ἐν θεῶν τὸ γένος ἔχοντα ἢ θαυμασόν. ἢ ἢ ἢ ἠκούκων ἱστορία προσφυῶς ἐν τῇ α'. ὅτι τάχιστα.] ὡς τάχιστα.

Μαχάονα.] ἠδὲ Ἀσκληπιδ ἠδὲ Ἀρσινόης. ἢ Κορωνίδος. κατὰ δέ τινας Ἡσιόδους Ἀλ Μάψακος, κατὰ ἢ Ἡσίοδον Ξανθίνης. ὀλοὸν.] ἐνταῦθα, ἀντὶ ἢ τόπου. Ἀσκληπιοῦ ὑόν.] Ἀσκληπιοῦ παῖδα. ἔρυτο ἢ ἀπὸ ἢ ἀσκεῖν ἢ ὕπατα τὰ μέλη ποιεῖν. ἀμύμονα.] ἀγαθόν, ἀψόγου. ἰητῆρα.] ἰατρὸν ἀπὸ τοῦ ἰᾶσθαι τὰ παθη. ποδαπάνων.] πορεύεσθαι. ἐνόησεν.] ἐθεάσατο, ἐδόκει. ἐσαόταν.] ἐσῶτα. ἀμφὶ ἢ μιν.] πορεύεται αὐτὸν Ἀλ. πρατόμαι.] ἰσχυράς. στίχες.] τάξεις. οἵ, οἵ ἑπεντο.] οἵτινες αὐτῷ ἠκολούθουν. Τρίκης ἢ.] ἀπὸ Τρίκης πόλεως Θεσσαλίας. ἴφθιμα ἰδίαις.] ὅπως θεάσῃ. ὄρσεο.] διεγέρου, κίνησαι. Ἀσκληπιάδῃσιν.] Ἀσκληπιοῦ παῖσι, Μαχάονι. καλέσει.] καλῇ, ὁ ῥῆσις διαίρεσις. δίεσύσας.] τοξεύσας. ἔβαλεν.] ἔβρωσε. τόξων εὖ εἰδώς.] Ἀλ τοξικῆς ἐμπειρος. ἄμμι ἢ πένθος.] ἡμῖν ἢ λύπη. δίεπε.] διεταράξε, διήγειρεν. ὁ ῥῆσις μεταφορὰ ἀπὸ ἐμψύχων ἐπὶ ἄψυχα. τὸ ο μικρὸν διὰ τὸ μίτρον. βαῶν δ' ἴεναι.] ἐπορεύθησαν δέ. ἴναον.] παρειγένοντο. βλήμενος.] βεβλημένος. ἀγηγέραθ'.] συνηθροισμένοι ἦσαν. κυκλόσε.] ἐν κύκλῳ, πέριξ. αἰπρότος.] σὺν ἡμισομένου. τοῦ δ' ἀζελκομένοιο.] τούτου δὲ ὀπίσω ἑλκομένου. ἄγκυ.] κατάγκωσαν, συνετρίβησαν αἱ γονίαι. ὀξέες.] ὀξεῖς. ὄγκοι.] αἱ γονίαι καὶ ἐχοχὶ τῶν ἀκίδων τοῦ βέλους.

ἕλκος.

Αἷμ' ἐκμυζήσας, ἐπ' ἄρ' ἤπια φάρμακα εἰδὼς
Πάσσε, τά οἵ ποτε πατρὶ φίλα φρονέων πόρε Χείρων.
Ὄφρα τοὶ ἀμφεπένοντο βοὴν ἀγαθὸν Μενέλαον,
Τόφρα δ' ἐπὶ Τρώων στίχες ἤλυθον ἀσπιστάων,
Οἱ δ' αὖτις κατὰ τεύχε' ἔδυν, μνήσαντο δὲ χάρμης.
Ἔνθ' οὐκ ἂν βρίζοντα ἴδοις Ἀγαμέμνονα δῖον,
Οὐδὲ καταπτώσσοντ', οὐδ' οὐκ ἐθέλοντα μάχεσθαι,
Ἀλλὰ μάλα σπεύδοντα μάχην ἐς κυδιάνειραν.
Ἵππους μὲν γὰρ ἔασε, καὶ ἅρματα ποικίλα χαλκῷ.
Καὶ τοὺς μὲν θεράπων ἀπάνευθ' ἔχε φυσιόωντας
Εὐρυμέδων, υἱὸς Πτολεμαίου Πειραΐδαο,
Τῷ μάλα πόλλ' ἐπέτελλε παρισχέμεν, ὁππότε κέν μιν
Γυῖα λάβῃ κάματος πολέας διακοιρανέοντα,
Αὐτὰρ ὁ πεζὸς ἐὼν ἐπεπωλεῖτο στίχας ἀνδρῶν,
Καί ῥ' οὓς μὲν σπεύδοντας ἴδοι Δαναῶν ταχυπώλων,
Τοὺς μάλα θαρσύνεσκε παριστάμενος ἐπέεσσιν,
Ἀργεῖοι, μήπω τι μεθίετε θούριδος ἀλκῆς,
Οὐ γὰρ ἐπὶ ψευδέσσι πατὴρ Ζεὺς ἔσσετ' ἀρωγός,
Ἀλλ' οἵπερ πρότεροι ὑπὲρ ὅρκια δηλήσαντο,
Τῶν ἤτοι αὐτῶν τέρενα χρόα γῦπες ἔδονται.
Ἡμεῖς δ' αὖτ' ἀλόχους τε φίλας, καὶ νήπια τέκνα,
Ἄξομεν ἐν νήεσσιν, ἐπὴν πτολίεθρον ἕλωμεν.
Οὕστινας αὖ μεθιέντας ἴδοι στυγεροῦ πολέμοιο,
Τοὺς μάλα νεικείεσκε χολωτοῖσιν ἐπέεσσιν,
Ἀργεῖοι ἰόμωροι, ἐλεγχέες, οὔνυ σέβεσθε;
Τίφθ' οὕτως ἔστητε τεθηπότες, ἠΰτε νεβροί;
Αἵτ' ἐπεὶ οὖν ἔκαμον πολέος πεδίοιο θέουσαι,
Ἑστᾶσ', οὐδ' ἄρα τίς σφι μετὰ φρεσὶ † γίνεται ἀλκή. † γίγνεται
Ὣς ὑμεῖς ἔστητε τεθηπότες, οὐδὲ μάχεσθε.
Ἦ μένετε Τρῶας σχεδὸν ἐλθέμεν, ἔνθα τε νῆες
Εἰρύατ' εὔπρυμνοι πολιῆς ἐπὶ θινὶ θαλάσσης,
Ὄφρα ἴδητ' αἴ κ' ὔμμιν ὑπέρσχῃ χεῖρα Κρονίων;
Ὣς ὅ γε κοιρανέων ἐπεπωλεῖτο στίχας ἀνδρῶν.
Ἦλθε δ' ἐπὶ Κρήτεσσι κιὼν ἀνὰ οὐλαμὸν ἀνδρῶν.
Οἱ δ' ἀμφ' Ἰδομενῆα δαΐφρονα θωρήσσοντο.
Ἰδομενεὺς μὲν ἐνὶ προμάχοις συῒ εἴκελος ἀλκήν.
Μηριόνης δ' ἄρα οἱ πυμάτας ὤτρυνε φάλαγγας,

Τοὺς δὲ

ἕλκειν.] ἔξω ἕλκειν. ἐκμυζήσας.] ἐκπιέσας, ἐκθλίψας. ἤπια.] τὸ ἑξῆς ἐπέπασεν αὐτῷ πρᾶα καὶ προσηνῆ φάρμακα παυστικὰ τῶν ὀδυνῶν. τά οἱ.] ἅπερ αὐτῷ. πόρε.] παρέσχεν, ἐδωρήσατο. Χείρων. εἷς τῶν Κενταύρων εὑρετὴς ἰατρικῆς καὶ λυρικῆς, υἱὸς Κρόνου καὶ Φιλύρας, ἢ ὥς τινες Ποσειδῶνος. ὄφρα τοί.] ἕως οὗτοι. ἀμφεπένοντο.] περὶ τὸν Μενέλαον ἐνήργουν, καὶ ἠσχολοῦντο. τόφρα δέ.] ἐπὶ τοσούτῳ δέ. καὶ ἔστιν ἀνταποδοτικὸν τοῦ ὄφρα. ἐπὶ Τρώων στίχες.] τὸ ἑξῆς ἐπῆλθον. ἔδυν.] ἐνεδύσαντο. μνήσαντο.] μνήμην ἐποιοῦντο. χάρμης.] τοῦ πολέμου. χάρμη γὰρ ἡ μάχη, ἤτοι κατὰ ἐναντιότητα, ἢ ἡ χαρὰν ἐμποιοῦσα τοῖς νικῶσιν. ἔνθα.] τότε. βρίζοντα.] νυστάζοντα καὶ ἠρεμοῦντα, ἤγουν ἀμελοῦντα. βρίξαι γὰρ κυρίως ἐστὶ μετὰ βάρους τροφῆς ἀπονυστάξαι. καταπτώσσοντα.] ἀποδειλιῶντα, φεύγοντα. ἔασε.] κατέλειψε. φυσιόωντας.] πνευστιῶντας. ἀσθμαίνοντας. παρασχέμεν.] παρασχεῖν. γυῖα.] μέλη. διακοιρανέοντα.] διατάσσοντα, ἐπερχόμενον. ἐπεπωλεῖτο.] ἐπήρχετο. ἴδοι.] θεάσοιτο. ταχυπώλων.] ἱππικῶν, πολεμικῶν. θαρσύνεσκεν.] εὐθαρσεστέρους ἐποίει, προέτρεπε. μεθίετε.] ἀμελεῖτε. θούριδος.] ὁρμητικῆς, πολεμικῆς. ἀλκῆς.] δυνάμεως. ἀρωγός.] βοηθός, ὁ δὲ νοῦς. οὐδὲ γὰρ ἐπιβοηθήσει ὁ Ζεὺς τοῖς ψεύσταις. ἔδονται.] φάγωσι. μεθιέντας.] ἀμελοῦντας. στυγεροῦ.] μισητοῦ, φοβεροῦ. νεικείεσκεν.] ἐκακολόγει. χολωτοῖσιν.] ὀργιστικοῖς. ἰόμωροι.] οἱ περὶ ἰοὺς καὶ τόξα μεμωρημένοι, ὅ ἐστι κάμνοντες. ἐλεγχέες.] ἐπονείδιστοι. οὔ νυ σέβεσθε.] οὐκ ἐντρέπεσθε. τίφθ' οὕτως.] τί δήποτε οὕτως ἀργοί. τεθηπότες.] ἐκπεπληγμένοι, δειλωθέντες. νεβροί.] ἐλάφων βρέφη. θέουσαι.] τρέχουσαι. οὐδ' ἄρα τίς σφι μετὰ φρεσὶ γίγνεται ἀλκή.] οὐδὲ μίαν ἔννοιαν ἀλκῆς καὶ σωτηρίας ποιοῦνται, δειλιῶσι. ἀλκή.] δύναμις, ἀνδρεία. μένετε.] προσμένετε. εἰρύαται.] εἱλκυσμέναι εἰσίν. εὔπρυμνοι.] καλὰς πρύμνας ἔχουσαι. πρύμναι δὲ καλοῦνται τὰ ὄπισθεν μέρη τῶν νεῶν. ἐπὶ θινί.] ἐπὶ τῷ αἰγιαλῷ. κιών.] παραγενόμενος. ἀνὰ οὐλαμόν.] ἀνὰ τὸν θόρυβον, κατὰ τὴν συνέλευσιν καὶ ἄθροισιν τῶν ἀνδρῶν. οὐλαμὸς δὲ τάξις συνεστηκυῖα ἐκ τεσσαράκοντα ἀνδρῶν, ὡς δὲ φάλαγξ τάξις ἀπὸ ἑκατὸν εἴκοσιν ἀνδρῶν. ἀμφ' Ἰδομενῆα.] περὶ τὸν Ἰδομενέα. πυμάτας.] ἐσχάτας. ὤτρυνεν.] ἐσπούδαζε, παρώρμα. φάλαγγας.] τάξεις στρατιωτῶν εἶπεν ὁ Ποιητής, ἐπειδὴ τὸ παλαιὸν ξύλοις ἐμάχοντο. φάλαγγας δὲ ξύλα ἐκάλουν οἱ ἀρχαῖοι. ἔτι γοῦν καὶ ἡμεῖς τὰ ἐκ τῶν ξύλων οἰκοδομήματα φάλαγγας καλοῦμεν. μειλιχίοισι.] προσηνέσι, πράοις. περὶ μέν σε τίω.] περισσῶς μέν σε τιμῶ, ὅ ἐστιν ὑπὲρ πάντας. ἀλλοίῳ.]

ἀλλὰ καὶ

Τοὺς δὲ ἰδὼν γήθησεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων,
Αὐτίκα δ' Ἰδομενῆα προσηύδα μειλιχίοισιν,
Ἰδομενεῦ περὶ μέν σε τίω Δαναῶν ταχυπώλων,
Ἠμὲν ἐνὶ πτολέμῳ, ἠδ' ἀλλοίῳ ἐπὶ ἔργῳ,
Ἠδ' ἐν δαιθ', ὅτε πέρ τε γερούσιον αἴθοπα οἶνον
Ἀργείων οἱ ἄριστοι ἐνὶ κρητῆρσι κέρωνται.
Εἴπερ γάρ τ' ἄλλοι γε καρηκομόωντες Ἀχαιοὶ
Δαιτρὸν πίνωσιν, σὸν δὲ πλεῖον δέπας αἰεί
Ἕστηχ' ὥσπερ ἐμοὶ πιέειν ὅτε θυμὸς ἀνώγοι.
Ἀλλ' ὄρσευ πόλεμόνδ', οἷος πάρος εὔχεαι εἶναι.
Τὸν δ' αὖτ' Ἰδομενεὺς Κρητῶν ἀγὸς ἀντίον ηὔδα,
Ἀτρείδη, μάλα μέν τοι ἐγὼν ἐρίηρος ἑταῖρος
Ἔσσομαι, ὡς τὸ πρῶτον ὑπέστην, καὶ κατένευσα,
Ἀλλ' ἄλλους ὄτρυνε καρηκομόωντας Ἀχαιούς,
Ὄφρα τάχιστα μαχώμεθ', ἐπεὶ σύν γ' ὅρκι' ἔχευαν
Τρῶες, τοῖσιν δ' αὖ θάνατος, καὶ κήδε' ὀπίσσω
Ἔσσετ', ἐπεὶ πρότεροι ὑπὲρ ὅρκια δηλήσαντο.
Ὣς ἔφατ', Ἀτρείδης δὲ παρῴχετο γηθόσυνος κῆρ.
Ἦλθε δ' ἐπ' Αἰάντεσσι κιὼν ἀνὰ οὐλαμὸν ἀνδρῶν.
Τὼ δὲ κορυσσέσθην, ἅμα δὲ νέφος εἵπετο πεζῶν,
Ὡς δ' ὅτ' ἀπὸ σκοπιῆς εἶδε νέφος αἰπόλος ἀνὴρ,
Ἐρχόμενον κατὰ πόντον ὑπὸ Ζεφύροιο ἰωῆς
Τῷ δέ τ' ἄνευθεν ἐόντι μελάντερον ἠΰτε πίσσα
Φαίνετ' ἰὸν κατὰ πόντον, ἄγει δέ τε λαίλαπα πολλήν,
Ῥίγησέν τε ἰδών, ὑπό τε σπέος ἤλασε μῆλα,
Τοῖαι ἅμ' Αἰάντεσσι ἀρηϊθόων αἰζηῶν
Δήϊον ἐς πόλεμον πυκιναὶ κίνυντο φάλαγγες
Κυάνεαι, σάκεσίν τε, καὶ ἔγχεσι πεφρικυῖαι.
Καὶ τοὺς μὲν γήθησεν ἰδὼν κρείων Ἀγαμέμνων,
Καί σφεας φωνήσας, ἔπεα πτερόεντα προσηύδα.
Αἴαντ' Ἀργείων ἡγήτορε χαλκοχιτώνων,
Σφῶϊ μὲν, οὐ γὰρ ἔοικ', ὀτρυνέμεν οὔτι κελεύω,
Αὐτὼ γὰρ μάλα λαὸν ἀνώγετον ἶφι μάχεσθαι.
Αἲ γὰρ Ζεῦ τε πάτερ, καὶ Ἀθηναίη, καὶ Ἄπολλον,
Τοῖος πᾶσιν θυμὸς ἐνὶ στήθεσσι γένοιτο,
Τῷ κε τάχ' ἠμύσειε πόλις Πριάμοιο ἄνακτος
Χερσὶν ὑφ' ἡμετέρῃσιν ἁλοῦσά τε, περθομένη τε.
Ὣς εἰπὼν,

ἀλλὰ καὶ ἐν ἄλλῳ τῷ οἱῳδήποτε. ἔργῳ.] πράξει, λέγει δὲ τῇ ἕδρᾳ. γερούσιον.] ἔντιμον, κατὰ τιμὴν διδόμενον γέρας. αἴθοπα.] μέλανα. κέρωνται.] κιρνῶσι. δαιτρόν.] μεμερισμένον, διαιρετόν. πλεῖον.] πλῆρες. ἀνώγοι.] κελεύοι. ὄρσευ.] διεγείρου. πάρος.] πρότερον. εὔχεο εἶναι.] ἀντὶ τοῦ καυχᾶσαι ὑπάρχειν. ἀγός.] ἡγεμών. παρὰ τὸ ἄγω ῥῆμα. ἐρίηρος.] ἄγαν εὐάρμοστος, ἐπιτήδειος. ἔσσομαι.] γενήσομαι ἢ εἰμί. πρῶτα.] πρότερον ἐξ ἀρχῆς. ὑπέστην.] ὑπεσχόμην. ὄτρυνε.] προτρέπου, παρώρμα. ἐπεὶ σὺν ὅρκι' ἔχευαν.] ἐπειδὴ συνέχεαν τοὺς ὅρκους ἐπιορκήσαντες. κήδεα.] κακά, λῦπαι. ὀπίσσω.] μετὰ ταῦτα. παρῴχετο.] παρῆλθεν. γηθόσυνος κῆρ.] χαίρων τῇ ψυχῇ. οὐλαμόν.] τὸ πλῆθος. τὼ δέ.] οὗτοι δέ. κορυσσέσθην.] καθωπλίζοντο. νέφος.] πύκνωμα, πλῆθος. ὁ τρόπος μεταφορὰ ἀπὸ τοῦ ἀθροίσματος τῶν νεφῶν. εἵπετο.] ἠκολούθει. ἀπὸ σκοπιῆς.] ἀπὸ ὑψηλοῦ τόπου, ἀφ' οὗ ἔστι περισκοπῆσαι καὶ ἰδεῖν. νέφος.] ἀχλύν. αἰπόλος.] αἰγονόμος. κατὰ πόντον.] διὰ τῆς θαλάσσης. ὑπὸ Ζεφύροιο ἰωῆς.] ὑπὸ τῆς τοῦ Ζεφύρου πνοῆς. εἴρηται δὲ Ζέφυρος ὅτι ἀπὸ ζόφου πνεῖ. ζόφον δὲ τὴν δύσιν ἔλεγον οἱ ἀρχαῖοι. τῷ δέ τ' ἄνευθεν ἰόντι μελάντερον ἠΰτε πίσσα φαίνετ' ἰόν.] στικτέον μετὰ τὸ μελάντερον. ἔπειτα ἀπὸ ἄλλης ἀρχῆς ἀναγνωστέον. ἠΰτε πίσσα. ἵν' ᾖ τῷ πόρρω διατελοῦντι, μελάντερον αὐτῷ καταφαίνεται τὸ νέφος καὶ ὅμοιον πίσσῃ. ἄνευθεν ἰόντι.] πόρρωθεν ἐρχομένῳ, ἢ πορευομένῳ. μελάντερον.] ἀντὶ τοῦ μέλαν. συγκριτικὸν ἀντὶ ὑπερθετικοῦ. λαίλαπα.] συστροφὴν ἀνέμου, κατὰ φορὰν μετὰ ὄμβρου. ῥίγησεν.] ἐφοβήθη. ὑπό τε σπέος.] ὑπὸ τὸ σπήλαιον. ἤλασεν.] εἰσήλασεν, ἤγαγε. μῆλα.] τὰ πρόβατα. τοῖαι.] τοσαῦται καὶ τοιαῦται. ἅμ' Αἰάντεσσιν.] ὁμοῦ τοῖς Αἴασιν. αἰζηῶν.] νεανιῶν. πυκιναί.] πυκναί, πολλαί. κίνυντο.] ἐκινοῦντο. κυάνεαι.] μέλαιναι. κυανέῳ χρώματι παραπλήσιαι, ἢ πυκναί. σάκεσι.] ταῖς ἀσπίσι. ἔγχεσι.] δόρασι. πεφρικυῖαι.] τῇ ἀνατάσει τῶν δοράτων πεπυκνωμέναι. τοὺς μέν.] τούτους μέν. καὶ σφέας.] καὶ αὐτούς. ἡγήτορε.] ἡγεμόνες, διατάκται. σφῶϊν.] ὑμᾶς. οὐ γὰρ ἔοικεν.] οὐ πρέπει γάρ. ὀτρυνέμεν.] παρορμᾶν. ὁ δὲ νοῦς, ὑμᾶς μὲν οὐ παρορμῶ, οὐ γὰρ προσήκει. ἀνώγετον.] κελεύετε. αἲ γὰρ Ζεῦ τε πάτερ.] εἴθε γὰρ ὦ Ζεῦ πάτερ. ἔστι δὲ ἐπίρρημα εὐχῆς σημαντικόν. τοῖος πᾶσι θυμός.] τοιαύτη πᾶσι προθυμία. τῷ κε.] οὕτως ἂν ταχέως. ἠμύσειε.] κλιθείη, πορθηθείη. ἁλοῦσα.] ληφθεῖσα.

λίπεν,

λίπεν.] κατέλιπεν. μετ' ἄλλους.] πρὸς τοὺς ἄλλους. ἔτετμεν.] κατέλαβε. λιγύν.] ἡδὺν, τὸν συμβουλεύειν προσηνῆ. ὅς.] τοὺς ἰδίους. στέλλοντα.] ἑτοιμάζοντα, διατάσσοντα. ἀμφὶ μέγαν Πελάγοντα Ἐλάστορά τε Χρόμιόν τε.] οὗτοι ταξίαρχοι ὑπῆρχον. βασιλεὺς δὲ παύτων τῶν Πυλίων Νέστωρ. ἱππῆας μὲν πρῶτα.] τοὺς μὲν ἱππέας ἠδὲ τοῦ δεξιοῦ μέρους. πεζοὺς δ' ἐξόπισθεν.] τοὺς δὲ πεζοὺς ἐξ εὐωνύμων. ἱππῆας μὲν πρῶτα σὺν ἵπποισι καὶ ὄχεσφι.] πρώτως ἐκεῖς εἰρῆσθαι τοὺς ἠδὲ τοῦ δεξιοῦ μέρους ἑστῶτας. ὄπισθε δὲ τοὺς ἠδὲ τοῦ ἀριστεροῦ ὡς εἰκὸς μεταξὺ τετάχθαι τοὺς δειλούς. οὐ γὰρ λόγον ἕξει τὸ ὄφρα καὶ οὐκ ἐθέλων τίς ἀναγκαίῃ πολεμίζοι. ἐσθλοὺς.] ἀγαθοὺς, γενναίους. κακοὺς δ' ἐν μέσον ἔλασσε.] τοὺς δὲ ἀσθενεῖς καὶ δειλοὺς κατὰ τὸ μέσον συνέκλεισεν. ἐπὶ γὰρ μετώπου τάσσει τὴν φάλαγγα οὐ καταβάθους, τουτέστι μεταξὺ δύο ἀνδρείων, ἕνα κακὸν ἔβαλλεν. ἔλασσε.] συνέλασσε, συνέκλεισεν. ὄφρα καὶ οὐκ ἐθέλων τίς ἀναγκαίῃ πολεμίζοι.] ὅπως καὶ μὴ βουλόμενος τίς τῇ ἀνάγκῃ προσέχων πολεμῇ. ἐπετέλλετο.] προσέτασσεν. ἀνώγει.] ἐκέλευε. σφοὺς.] τοὺς ἰδίους.

ἐχέμεν.] κατέχειν. κλονέεσθαι.] ταράσσεσθαι. ἱπποσύνῃ.] τῇ ἱππικῇ ἀνδρείᾳ. ἠνορέῃφι.] τῇ ἑαυτοῦ ἀνδρείᾳ.

πεποιθὼς.] πεπιστευκὼς, τεθαρρηκώς. πρόσθ' ἄλλων.] ἔμπροσθεν τῶν ἄλλων. μεμάτω.] προθυμείτω. ἀλαπαδνότεροι γὰρ ἔσεσθε.] ἀσθενέστεροι γὰρ καὶ σὺ χέρωτοι ἔσεσθε. ἀπὸ ὧν ὀχέων.] ἀπὸ τῶν ἰδίων ἁρμάτων. ἕτρ' ἅρμαθ' ἵκηται.] ἐς ἑτέρου ἅρμα παραγένηται. ἔγχει ὀρεξάσθω.] τῷ δόρατι ἐκτεινάτω, πολεμησάτω. ἐπειή.] ἐπειδή. πολὺ φέρτερον.] κατὰ πολὺ κρεῖττον. ὀρεξάσθω.] ἔτο τὸ ῥῆμα κατὰ τὴν ἑρμηνείαν αὐτὴν ζητεῖται. καὶ οἱ μὲν φασὶ παραγγέλλειν αὐτὸν, ἵνα ὃς ἂν πολεμίου ἅρματος ἐπιβῇ, μάχητο. καὶ μὴ ἐξελαύνειν σπουδάζῃ. οἱ δὲ οὕτως. ὅστις δ' ἂν φησὶ ἀποπέσῃ τοῦ ἰδίου ἅρματος, καὶ ἠδὲ τοῦ πλησίον παραγένηται μὴ ἡνιοχείτω διὰ τὸ εἶναι αὐτὸν ἐν ἀγνοίᾳ τοῦ ἤθους τῶν ἵππων. δόρατι δὲ μᾶλλον ἀμυνάσθω τοὺς πολεμίους, ὅ ἐστι πολεμείτω. ὧδε.] οὕτως. καὶ οἱ πρώτεροι.] καὶ οἱ προγενέστεροι οἱ πρὸ ἡμῶν. πόλιας.] πόλεις. ἐπόρθουν.] κατέστρεφον. τόν δὲ νόον.] ταύτῃ τῇ διανοίᾳ χρώμενοι. πάλαι πολέμων εὖ εἰδώς.] ἐκ πολλοῦ χρόνου ἀσκηθεὶς τὸ πολεμεῖν. τουτέστι πολλάκις πολεμήσας, καὶ τούτου πέραν ἱκανὴν ἔχων. καὶ τὸν μὲν.] καὶ τοῦτον μέν. ἔθ' ὡς θυμὸς.] εἴθε σε τῇ τῶν ψυχῆς προθυμίᾳ ἐπήρκει ἡ τοῦ σώματος δύναμις.

ἔποιτο.] ἀκολουθείη. βίη.] δύναμις. ἔμπεδος.] ἑδραία, ἀσφαλής. εἴη.] ὑπάρχει. τέρφ.] δαπανᾷ, καταπονεῖ. ὁμοίιον.] τὸ ὁμοίως πᾶσι χαλεπόν. ἰστέον δὲ ὅτι ὁ Ποιητὴς πανταχοῦ τὸ ὁμοίιον ἐπὶ τοῦ φαύλου λαμβάνει. οἷον ὡς ἐνταῦθα. ἀλλά σε γῆρας τείρει ὁμοίιον. καὶ, ἀλλ' ἤτοι θαύατον μὲν ὁμοίιον οὐδὲ θεοίπερ καὶ φίλῳ ἀνδρὶ δύνανται ἀλαλκέμεν, ἢ καὶ τέλος ἔλθῃ ὁμοίιον πτολέμοιο. κουρατέροισι.] νεωτέροις. μετέναι.] συναναστρέφεσθαι. ὡς ἔμεν.] οὕτως εἶναι. οὕτως ἀκμάζειν. ὡς ὅτε δῖον Ἐρευθαλίωνα κατέκταν.] ἀπέκτεινα, ἐφόνευσα. Πύλιοι καὶ Ἀρκάδες περὶ γῆς ὅρων ἐπολέμουν περὶ τὸ καλούμενον ὄρος ἀγκαῖον. Νέστωρ δὲ μονομαχήσας ἐκ προκλήσεως Ἐρευθαλίωνα τὸν Ἱππομέδοντος, ἢ ὡς ἔνιοι Ἀφείδαντος αὐξάνει. καὶ ὑπὸ χαρᾶς τὸ περιεργισθὲν χωρίον παρεξῆλθεν. οἱ δὲ Ἀρκάδες ἔτι σκαρίζοντος τοῦ Ἐρευθαλίωνος ἐφορμήσαντες τοῖς Πυλίοις συνέβαλον. καὶ οὕτως ἐνίκησαν. θάψαντες δὲ τοὺς νεκροὺς καὶ τὸν Ἐρευθαλίωνα, ἐπέγραψαν, Ἐνθάδ' Ἐρευθαλίωνα φίλους τ' ἐπὶ τύμβον ἔθηκαν Ἀρκαδίους βασιλεῖς γένος ἔξοχον Ἱππομέδοντος, οἵ ποτε Νέστορα καὶ λαοὺς πολέμῳ δαμάσαντο.

ἀλλ' ὄπως

Ὣς εἰπὼν, τοὺς μὲν λίπεν αὐτοῦ. βῆ δὲ μετ' ἄλλους,
Ἔνθ' ὅγε Νέστορ' ἔτετμε λιγὺν Πυλίων ἀγορητὴν,
Οὓς ἑτάρους στέλλοντα, καὶ ὀτρύνοντα μάχεσθαι.
Ἀμφὶ μέγαν Πελάγοντα, Ἀλάστορά τε, Χρόμιόν τε,
Αἱμονά τε κρείοντα, Βίαντά τε ποιμένα λαῶν,
Ἱππῆας μὲν πρῶτα σὺν ἵπποισιν, καὶ ὄχεσφι,
Πεζοὺς δ' ἐξόπιθεν στῆσεν πολέας τε, καὶ ἐσθλοὺς,
Ἕρκος ἔμεν πολέμοιο. κακοὺς δ' ἐν μέσσον ἔλασσεν,
Ὄφρα καὶ οὐκ ἐθέλων τις, ἀνάγκαιῃ πολεμίζῃ.
Ἱππεῦσιν μὲν πρῶτ' ἐπετέλλετο. τοὺς γὰρ ἀνώγει
Σφοὺς ἵππους ἐχέμεν. μὴ δὲ κλονέεσθαι ὁμίλῳ,
Μὴ δέ τις ἱπποσύνῃ τε, καὶ ἠνορέῃφι πεποιθὼς,
Οἷος πρόσθ' ἄλλων μεμάτω Τρώεσσι μάχεσθαι,
Μὴ δ' ἀναχωρείτω. ἀλαπαδνότεροι γὰρ ἔσεσθαι.
Ὃς δέ κ' ἀνὴρ ἀπὸ ὧν ὀχέων ἕτερ' ἅρμαθ' ἵκηται,
Ἔγχει ὀρεξάσθω, ἐπειὴ πολὺ φέρτερον οὕτως.
Ὣ δὲ καὶ οἱ πρότεροι πόλιας, καὶ τείχε' ἐπόρθουν,
Τόνδε νόον, καὶ θυμὸν ἐνὶ στήθεσσιν ἔχοντες.
Ὣς ὁ γέρων ὤτρυνε πάλαι πολέμων εὖ εἰδώς.
Καὶ τὸν μὲν γήθησεν ἰδὼν κρείων Ἀγαμέμνων.
Καί μιν φωνήσας, ἔπεα πτερόεντα προσηύδα.
Ὦ γέρον, εἴθ' ὡς θυμὸς ἐνὶ στήθεσσι φίλοισιν,
Ὣς τοι γοῦναθ' ἕποιτο, βίη δέ τοι ἔμπεδος εἴη.
Ἀλλά σε γῆρας τείρει ὁμοίιον. ὡς ὤφελέν τις
Ἀνδρῶν ἄλλος ἔχειν, σὺ δὲ κουρατέροισι μετεῖναι.
Τὸν δ' ἠμείβετ' ἔπειτα γερήνοις ἱππότα Νέστωρ,
Ἀτρείδη, μάλα μέν κεν ἐγὼν ἐθέλοιμι καὶ αὐτὸς
Ὣς ἔμεν, ὡς ὅτε δῖον Ἐρευθαλίωνα κατέκταν.

Ἀλλ' ὄπως

ἀλλ' ὄπως.] ἀλλ' ὀδαμῶς. ἅμα πάντα.] πάντα ὁμοῦ. δόσαν.] ἔδωκαν. παρέσχον. κοῦρος.] νέος ἔα.] ἀντὶ τοῦ ἦν ἐγώ. ἔλαβε δὲ ὑπερσυντέλικον ἀντὶ παρατατικοῦ. ἀλλὰ καὶ ὥς.] ἀλλὰ καὶ οὕτως. ἱππεῦσι μετέσσομαι.] ἅμα τοῖς ἱππεῦσιν ἔσομαι. ἠδὲ κελεύσω.] καὶ προστάξω, ὅ ἐστιν ἀφηγήσομαι τὸ γὰρ γέρας ἐστὶ γερόντων. αὕτη γάρ ἐστιν ἡ τῶν πρεσβυτῶν γνώμη καὶ τιμὴ, τὸ καλῶς συμβουλεύειν. αἰχμάς.] ἀπὸ μέρους τὰ δόρατα. αἰχμάσσουσιν.] ἀνακινήσουσιν. ὅ ἐστι πολεμήσουσιν. οἵ περ ἐμοῖο.] οἵ τινες ἐμοῦ ὁπλότεροι.] νεώτεροι ὅπλα φέρειν δυνάμενοι. γεγάασι.] γεγένηνται. παρώχετο.] παρῆλθεν.

εὖρ υἱὸν Πετεῶο.] ἰστέον ὅτι τούτου τοῦ ὀνόματος ἡ ἀνάλογος εὐθεία ἐστὶν ὁ Πετεὸς τοῦ Πετεοῦ ὡς ἐννεός, ἐννεοῦ καὶ ἀττικῶς κατ' ἐπέκτασιν τοῦ ο εἰς τὸ ω γέγονε Πετεώς, ὡς ἀπὸ τοῦ Μενέλαος, Μενέλεος Μενέλεω γίνεται κατὰ Ἀττικούς. καὶ ἀπὸ τοῦ λάος, λεώς. οὕτως καὶ ἀπὸ τοῦ Πετεὸς Πετεώς. εἶτα ἡγενικὴ τοῦ Πετεῶ, καὶ κατὰ πλεονασμὸν τοῦ ο γεγονε Πετεῶο. ἐξ οὗ καὶ τὸ, ε ὗρ υἱὸν Πετεῶο.

μήστορες αὐτῆς.] δυνάμενοι κατὰ μάχην μήσασται ὅ ἐστι βουλεύσασται. ἐξ οὗ ἐπιστήμονες μάχης. ἀλαπαδναί. ἀσθενεῖς. ὁ γάρ πω σφιν ἀκούετο.] οὐδέ πω γὰρ ἤκουον τοῦ κατὰ τὸν πόλεμον κραυγῆς. τοῦτ' ἔστιν οὐδὲ πω ἤδεισαν διὰ τὸ ὁ πόρρω εἶναι εἰ πόλεμος κεκίνηται. ἀκούετο.] ἀντὶ τοῦ ἤκουον. νέον.] νεωστί συνορυνόμεναι.] συνταρασσόμεναι. κίνυντο.] ἐκινοῦντο. πύργος.] τάξις, μεταφορά. Τρώων ὁρμήσειε.] προσληπτέον τὸ κατά. ἵν' ἦ κατὰ Τρώων. νείκεσσεν.] ἐλοιδόρησεν. ἐπέπληξε. κεκασμένε.] κεκοσμημένε. κερδαλεόφρον.] πανοῦργε. καὶ φιλοκερδέστατε. ἀφέστατε.] ἄποθεν καὶ χωρὶς ἐστήκατε. κίμνετε.] περιμένετε. σφῶιν. ὑμῖν. μετὰ πρώτοισιν ἐόντας.] ἐν πρώτοις ὄντας. καυστειρῆς.] δεινῆς. καυστικῆς, διαπύρου. αντιβολῆσαι.] ἀπαντῆσαι μετασχεῖν. πρώτω.] πρῶτοι δυικῶς. καὶ δαιτὸς ἀκουάζεσθον ἐμεῖο. καὶ ἐπὶ δαῖτα καλεῖσθε ἀπὸ τοῦ παρεπομένου. ὁ τρόπος συνεκδοχὴ, ὁ δὲ λόγος. πρῶτοι γὰρ καὶ ἐπὶ εὐωχίαν καλεῖσθε ὑπ' ἐμοῦ. γέρουσι.] τοῖς ἐντίμοις. ἐφωπλίζοιμεν.] παρασκευάζοιμεν. φίλα.] προσφιλῶς. ἡδέως. ὀπτάλεω.] ὀπτά. μελικδέος. ἡδέος. καλοῦ. ὄφρ' ἐθέλητον. ἕως οὗ θέλητε. νῦν δὲ φίλως χ' ὁρόωτε.] νῦν δὲ ἡδέως ἂν ἴδοιτε. μαχοίατο. μάχοιντο.

Ἀλλ' ὄπως ἅμα πάντα θεοὶ δόσαν ἀνθρώποισιν,
Εἰ τότε κοῦρος ἔα, νῦν αὖτέ με γῆρας ἱκάνει.
Ἀλλὰ καὶ ὥς, ἱππεῦσι μετέσσομαι, ἠδὲ κελεύσω
Βουλῇ, καὶ μύθοισι. τὸ γὰρ γέρας ἐστὶ γερόντων.
Αἰχμὰς δ' αἰχμάσσουσι νεώτεροι, οἵπερ ἐμεῖο
Ὁπλότεροι γεγάασι, πεποίθασίν τε βίηφι
Ὡς ἔφατ', Ἀτρείδης δὲ πρῴχεν γηθόσυνος κῆρ.
Εὗρ υἱὸν Πετεῶο Μενεσθῆα πλήξιππον
Ἑστάοτ', ἀμφὶ δ' Ἀθηναῖοι, μήστορες αὐτῆς,
Αὐτὰρ ὁ, πλησίον εἱστήκει πολύμητις Ὀδυσσεύς,
Γὰρ δὲ, Κεφαλλήνων ἀμφὶ στίχες οὐκ ἀλαπαδναὶ
Ἔστασαν. οὐ γάρ πω σφὶν ἀκούετο λαὸς ἀυτῆς,
Ἀλλὰ νέον συνορινόμεναι κίνυντο φάλαγγες
Τρώων θ' ἱπποδάμων καὶ Ἀχαιῶν. οἱ δὲ μένοντες,
Ἔστασαν, ὁππότε πύργος Ἀχαιῶν ἄλλος ἐπελθών.
Τρώων ὁρμήσειε, καὶ ἀρξείαν πολέμοιο,
Τοὺς δὲ ἰδὼν νείκεσσεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων,
Καὶ σφεας φωνήσας, ἔπεα πτερόεντα προσηύδα.
Ὦ υἱὲ Πετεῶο διοτρεφέος βασιλῆος,
Καὶ σὺ κακοῖσι δόλοισι κεκασμένε κερδαλεόφρον.
Τίπτε κατα πτώσσοντες, ἀφέστατε, μίμνετε δ' ἄλλους.
Σφῶιν μέν τ' ἐπέοικε μετὰ πρώτοισιν ἐόντας.
Ἑστάμεν, ἠδὲ μάχης καυστειρῆς ἀντιβολῆσαι,
Πρώτω γὰρ καὶ δαιτὸς ἀκουάζεσθον ἐμεῖο,
Ὁππότε δαῖτα γέρουσιν ἐφωπλίζοιμεν Ἀχαιοί.
Ἔνθα φίλ' ὀπταλέα κρέα ἔδμεναι, ἠδὲ κύπελλα
Οἴνου πινέμεναι μελικδέος, ὄφρ' ἐθέλητον,
Νῦν δὲ φίλως χ' ὁρόωτε, εἰ δέκα πύργοι Ἀχαιῶν,
Ὑμείων προπάροιθε μαχοίατο νηλεῖ χαλκῷ. (σεύς,
Τὸν δ' ἄρ ὑπόδρα ἰδὼν, προσέφη πολύμητις Ὀδυσ-
Ἀτρείδη, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων;
Πῶς δὴ φῄς πολέμοιο μεθιέμεν, ὁππότ' Ἀχαιοί,
Τρωσὶν ἐφ' ἱπποδάμοισιν ἐγείρομεν ὀξὺν ἄρηα;
Ὄψεαι ἢν ἐθέλησθα, καὶ αἰκέν τοι τὰ, μεμήλῃ,
Τηλεμάχοιο φίλον πατέρα προμάχοισι μιγέντα,

Τρώων

τι. ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων.] ὁποῖον τοῦτον τὸν λόγον ἐτόλμησας τῷ στόματί σου εἰπεῖν. ἕρκος γάρ φησι τὸ περίφραγμα τῶν ὀδόντων, τὰ χείλη περιφραστικῶς. πῶς δὴ φῄς.] πῶς δὴ λέγεις τοιαῦτα. μεθιέμεν.] ἀμελεῖν. ὀξύν. τὸν ταχὺν ἔχοντα τὴν ἐν τοῖς φόνοις κρίσιν. ἄρηα.] νῦν τὸν πόλεμον. ὄψεαι. ἴδῃς θεάσῃ. ἢν ἐθέλησθα.] ἐὰν βούλῃ. καὶ, αἰκέν τοι τὰ μεμήλη.] καὶ ἐὰν. ἐῶσι σε οἱ πολέμιοι περὶ τούτου ἀσχολεῖναι. μεμήλῃ.] διὰ φροντίδος ᾖ. προμάχοισι μιγέντα.] ἐν τοῖς. πρωταγωνισταῖς γενόμενον. ἀνεμώλια.]

ἀνεμόφθορα. μάταια. ἀνέμοις ἐοικότα, ἷς οὔ ἀφανῆ. βάζεις.] λέγεις ἐπιμεμφόμενος. ἐπιμεμφιάσας. γιλάσας. ὡς γῶν χωομένοιο.] ὡς ἐπέγνω αὐτὸν ὀργιζόμενον. πάλιν δ' ὄγε λάζετο μύθου.] αὖτις δὲ τὸ ἐναντίον ἐτράπετο τὸν λόγον. μύθου γὰρ ἐπῶν, νῦν ἐπαινον λέγει. πάλιν.] ἐμπαλιν. ἐναντιώτερον. λάζετο.] ἐπελάβετο. μετέστρεφε. νεικέω.] κακολογῶ. προϊόντος. προϊσκῶς, παρὰ τὸ προσῆκον. ὕπια.] πρᾶα, προσηνῆ. λήνεα.] βουλεύματα. ἅτ' ἐγὼ περ.] ἅπερ κἀγώ. ὀπίσσω.] ἐν τῷ μεταταῦτα χρόνῳ. ἀρεσσόμεθα.] βελτιωσόμεθα, θεραπεύσομεν. μεταμώλια.] μάταια. θεᾶν.] ποιήσεσιν. μετ' ἄλλας.] ἐπὶ τοῖς ἄλλοις. ὑπόθυμον μεγαλόψυχον. ἀνδρεῖον. πολλὰ τοῖ σι.] καλῶς συνηρμοσμένοις. εὐσυμπήκτοις. ὦμοι.] φεῦ μοι. ἐπίρρημα λύπης δηλωτικόν. τί] ἐπίρρημα ἀποῤῥηματικόν. πῶς ὥσεις.] κατέπτηχας. ἀποδειλιᾷς. ἐπιτρέπεις. ἐπιτρεῖς ποῤῥιζικοπῶς. πολέμιος γιφυρᾶς.] τὰς διεξόδους ἢ πολεμ. μεταφορὰ ὁ τρόπος. ὦδε.] οὕτως. πτωκάζομεν.] καταπτώσσειν. λειλιᾶν. πολύ.] ἐπίρρημα μεσότητος. δηλωτικόν. πρόφλων.] ἐμπροσθεν τῶν προσφιλῶν ἑταίρων. δηΐοισι. πολεμίοις. οἳ μὲν ἴδοντο.] οἵτινες αὐτὸν ἴδοιμ. πονεύμενον.] ἐπιπονοῦντα. μαχόμενον. ὕντησα,] συνέτυχον. πέρι δ' ἄλλων.] ἀντὶ τοῦ ὑπὲρ ἢ τοὺς ἄλλους λέγασιν αὐτὸν γεγονέναι ἀνδρεῖον. ἄτορ πολέμ. χωρὶς πολεμικῆς παρατάξεως. Οἰδίπους ἀποβαλὼν Ι. κάσην ἐπώνυμον Ασυμίδαχον. ἤ τις δίβαλε τοὺς προγόνους ὡς πειράσαντας αὐτόν. ἀγανακτήσας ὁ ἐκεῖνος ἐπιράσατο αὐτὸ διὶ αἵματος παραλαβὼν τὴν χώραν. ἢ παρέλωκε τὴν βασιλέαν τῷ Ετεοκλεῖ. ὃς ἐξέβαλε Πολυνείκην τὸν ἀδελφὸν αὐτοῦ ὡς πρεσβύτερος, παραγενόμενος δὲ ἔτος εἰς Αργος εὗρε Τυδέα φυγάδα. βοηθῶν γὰρ ἐκείνῳ τῷ πατρὶ ἢ τὸν ἐναντιόμενον ἀποκτείνας ἀνεψιὸν ἔφυγεν. Αδραστος ὑθιασάμενος αὐτὸς ἐμφισμένους θηρῶν λοιπᾶς, Τυδέα μὲ συός, Πολυνείκην δ' λέοντος, συνέβαλε τὸν

Τρώων ἱπποδάμων σύδ' ταῦτ' ἀωτμώλια βάζεις,
Τόν δ' ὠϊμειδήσας προσέφη κρείων Αγαμέμνων,
Ὡς γνῶ χωομένοιο, πάλιν δ' ὄγε λάζετο μῦθον.
Διογενὲς Λαερτιάδη πολυμήχαν' Οδυσεῦ,
Οὐτέ σε νεικείω περιώσιον, οὔτε κελεύω,
Οἶδα γὰρ ὡς περ θυμὸς ἐνὶ στήθεσι φίλοισιν
Ἥπια δ' νέας οἶδε, τὰ γὰρ φρονέεις, ἅτ' ἐγὼ περ.
Ἀλλ' ἴθι. ταῦτα δ' ὀπίσσω ἀρεσσόμεθ' εἴ περ κακὸν νῶϊ
Εἰρηται. τὰ δ' ἢ πάντα θεοὶ μεταμώλια θεῖεν.
Ὡς ἐπών, σὺν μὲν λίπεν αὐτοῦ Βᾶ δὲ μετ' ἄλλους
Εὗρε δὲ Τυδεΐδην υἱὸν ὑπερθύμου Διομήδεος,
Ἑσπόμενον γὼβ ἵπποισι, καὶ ἄρμασι κολλητοῖσι.
Πὰρ δὲ οἱ, ἑστήκει Σθένελος Καπανήϊος υἱός.
Καὶ μὲν τὸν νείκεσεν ἰδὼν κρείων Αγαμέμνων.
Καὶ μιν φωνήσας, ἔπεα πτερόεντα προσηύδα.
Ὤμοι Τυδεΐδην υἱὲ Δαΐφρονος ἱπποδάμοιο
Τί πτώσεις; τίδ' ὀπιπεύεις πολεμίοις ἐφύρασσ
Οὐ μὲν Τυδείγ' ὧδε φίλους πτωκάζεμεν ἦεν,
Ἀλλὰ πολὺ πρὸ φίλων ἑτάρων δηΐοισι μάχεσθαι.
Ὡς φάσαν, οἱ μιν ἴσαν τὸ πονεύμενον. ἀ γὰρ ἔγωγε
Ἤντησ', ὁ δὲ ἴσαν, τῶεν δ' ἄλλων φασὶ γνήσασθαι.
Ἦ τοι μὲν γὰρ ἄτερ πολέμου εἰσῆλθε Μυκήνας
Ξεῖνος, ἅμ' αὐτιθέῳ πολυποίκιλε λαὸν ἀγείρων,
Οἵ ῥα τότ' ἐστρατόωνθ' ἱερὰ πρὸς τείχεα Θήβης.
Καί ῥα μάλα λίσσοντο δόμεν κλειτὼ ὠϊκύπορε.
Οἷσ' ἔθελον δ' ὄμνυε, σὺ δ' ἐπήνεον ὡς ἐκέλευον.
Ἀλλὰ Ζεὺς ἔτρεψε, παραίσια σήματα φαίνων.
Οἵ δ' ἐπεὶ δὴ ὦχοντο, ἰδὲ πρὸς ὁδὸν ἐγρόοντο,
Ασωπὸν δ' ἵκοντο βαθύχοινον λεχεποίην,
Ἔνθ' αὖτ' ἀγγελίην ὦϊ Τυδεῖ σείλαν Αχαιοί,

Αὐτὰρ

χρισμὸν. ἦμ γὰρ αὐτῷ δεδομένῳ, κάπρον ἢ λέοντι βύῃσι τὰς θυγατέρας. ἢ δίδωσι Τυδεῖ μὲ Διῖπύλην, Αργείαν δ' Πολυνείκει. πέμψας δ' ἐς Μυκήνας συμμαχίαν ἤτει ὅτι Θηβαίους. Οὐτέσης μὲ οὖν ἑτοίμως ἐδίδου, σημεῖα δ' αὐτὸν ἐκώλυσε φαῦλα. ἐπελθόντες οὖν ἐς τὰς Θήβας Αργεῖοι πέμπτοι πρισβευτὴν Τυδέα. ὃς καταβαλὼν γυμνικὸν ἀγῶνα ἠξίωσε συμμαχούσης Αθηνᾶς νικᾶ τὰ πάντα. ὑποσχέσφορ δ' πεντήκοντα νεανίας ἐνεδρεύοντας συλλαβεῖν αὐτὸν, ἀναιρεῖ. ἀντιβίῳ.] ἰσοθέῳ. Τότε.] ἐπίῤῥημα χρόνου δηλωτικόν. στρατόωντο.] ἐστρατοπεδεύοντο. ἱδρὰ πρὸς τείχεα Θήβης. πῤῥιζικῶς τὰς Θήβας. Θηβ...] ἐσὶν αἱ πᾶσαι τρεῖς ὧν μέμνηται ὁ ποιητής. μία δὲ νῦν ποιεῖται λόγον. ἠδὲ αἱ Ὑποπλάκιοι. ὧν μέμνηται ἐν τῇ α ἠδὲ αἱ Αἰγύπτιαι, πῤῥὶ ὤνφησιν ἐν τῇ ι. κλειτούς.] ἐνδοξους. ἐπικούρους.] βοηθούς. συμμάχους. δάμεναι. δοῦναι. ἐπήνεον.] συγκατετίθεντο. συνήνουν. ἐτρεψεν. ἐκώλυσε. παράσια.] ἐναντία παρηκτὸς ἢ αἰσία, ὅ ἐσιν ἅπασι καλεπά. σήματα φαίνων.] σημεῖα φανερὰ ποιῶν. δεικνύς. ὦχοντο.] ἐπορεύοντο. ἢ ἦρ ὁδοῦ ἐγένοντο.] ἠδὲ πρόῤῥηθεν δ' ὅτι Θήβας ὁδοῦ. Ασωπόν.] ποταμὸς Βοιωτίας. βαθύχοινον.μ.] βαθεῖαν σχοῖνον ἔχοντα. λεχεποίην.] βαθεῖαν πόαν ἔχοντα. ἢ ὡς ὅτι ἠδὲ λέχος ποῶσα ἤ ἐσι κοίτην. ἀγγελίην ὅτι Τυδῆ σείλαν.] ἀντὶ τοῦ τότε δὴ τὸν Τυδέα ἄγγελον ὅ ἐσι πρόσταγμα ἐπεμψαν οἱ Ελληνες.

λήνεσ. γελάων.] ἀπέσκωπτεν. κιχήσατο.] κατέλαβε. Καδμείωνας. τοὺς Θηβαίους, ἀπὸ Κάδμου τοῦ κτίσαντος τὰς Θήβας δαννυμένους.] ἰωχουμένους, ἐσιωμένους. κατὰ δῶμα.] κατὰ τὴν οἰκίαν. βίης Ετεοκλέης.] ἢ Ετεοκλείους πῤῥιφρασικῶς. ξεινὸς πὲρ ἐὼν. πολεμίῳ ὑπάρχων. ὑππηλάτας.] ἀντὶ ἢ ἱππηλάτης τάρβει.] ἐφοβεῖτο. εὐλαβεῖτο. ἀεθλεύειν.] ἀγωνίζεσθαι. προκαλίζετο.] προεκαλεῖτο. πάντα δ' ἐνίκα.] ἀντὶ ἢ ἐν πάντι ἀγωνίσματι. ῥηϊδίῳ.] εὐκόλως, ῥᾳδίως. τοιῆτοι.] τοιαύτη αὐτῷ. ἐπίῤῥοθος.] βοηθός. χολωσσάμενοι.] ὀργισθέντες. κέντορες ἵππων. ἵππους κεντοῦντες. ἱππικοί. ἅψ ἀνδρομέων.] ὡς πρόπισω ἐρχομένῳ. πύκινόν.] πυκνὸν. λόχον.] ἐνέδραν. ἔασαν.] ἐκάθησαν. λελιημένοι. ἄγοντες.] ἀγαγόντες. ἔλαβε ἢ χρόνον ἀντὶ χρόνου. Μάιον.] τὸν Μάιονα.] ἵνες σοφάζονται κήρυκα γεγονέναι, διὰ τὸ μόνον αὐτὸν σωθῆναι. ἰσόθεον γὰρ ἦν τὸ γένος τῶν κηρύκων. διὸ φοτικὸν ἦν ὑβρίζειν αὐτούς. ὅθεν καὶ παροιμία ἐλήλυθε. τὸ, πρόσθεν ἐ τύπ]ετο, οὐδὲ ὑβρίζεται. Αἱμονίδης.] Αἵμονος παῖς. ἐπιέκελον.] ὅμοιον. Μενεπτόλεμον.] ὑπομονητικὸν ἐν τῷ πολέμῳ γεννᾶον. ἀεικέα.] αἰσχρὸν. χαλεπόν. πότμον.] μόρον. θάνατον. ἐφῆκεν.] ἐπέβαλεν. ἐπέφνεν.] ἀνεῖλεν. ἐφόνευσεν. ἕες.] ἐφίει. ἀπέλυσε. θεῶν τρῳάσι πιθήσας.] τοῖς ἢ θεῶν σημείοις πειθάς. τοῖ ἔκυ.] τοιοῦτος ἦν. Αἰτώλιος.] ἀπὸ δὲ Αἰτωλίας. ἀλλὰ τὸν υἱόν.] ἀλλὰ τὸν παῖδα. γάνατο.] ἐγένησε. εἶο.] ἑαυτ. χέρσι. χέρονα. μάχη.] ἐν τῷ πολέμῳ. ἀγορῇ δέ.] ἐν ᾗ τῷ δημηγορεῖν. πάνυ γὰρ συνετὸν πανταχοῦ ὑποτίθεται τὸν Διομήδη ὁ Ποιητής. ἐν τοῖς νέοις. οὔτι.] οὐδαμῶς. ἐνίπτω.] ἐπίπληξιν. μέμψιν. αἰδοῖος.] αἰδοῦς ἐσὶ καὶ ἐνδροπῆς ἀξίου. υἱὸς Καπανῆος.] ὁ Σθενέλος. μὴ ψεύδεο.] μὴ ψεύδου. ἐπισάμενος.] ἐδόλως, δυνάμενος. σάφα.] ἀκριβῶς. σαφῶς. ἡμεῖς τοι πατρόθεν μέγ' ἀμείνονες εὐχόμεθ' εἶναι.] πρῶτ' ἐαυτὸν λέγει Σθενέλου καὶ Διομήδης. οὗτοι γὰρ μόνοι ἐπιγόνων ἐστρατεύσησαν ἐπὶ Ιλιον. ἐπίγονοι δ' ἐκλήθησαν ἐπὶ Θήβας στρατευσαμένων οἱ παῖδες. μὲν ἀμείνονες.] κατασπολὴ πρέσαντες. βελτίονες. εὐχόμεθα.] καυχόμεθα. Θήβης ἑλόντες.] πῤῥιφρασικῶς τὰς Θήβας. ἕπτυλον.] ἑπτὰ πύλας ἔχον. ἑλόντες.] ἐλάβομεν ἐπορθήσαμεν. πανυρότερον.] ἐλαιώτερον. ἄρειον.] Αρεος ἰσόδυ. τρῴασι.] σημείοις. ἀρωγῇ.] βοηθείᾳ. πειῖνοι δ' σφετέρῃσιν ἀταθαλίῃσιν ὄλοντο.] πειῖνοι, τὸ πάθος ἀφάιρεσις. σφετέρῃσιν.] ἰδίαις ἁμαρτίαις. ἀνοίαις. ὄλοντο.] ἀπώλοντο. τῷ.] διοδέθυθο.] συγκαταξῆμαι. τίτλα.] προσφώνησις τιμητικὴ νεωτέρου φίλου πρὸς πρεσβύτερον. ὄσο.] καθ' ὅσον ἐπρεπε] ἐς πόλεμον προερχόμενον αὐτὸν καθιεῖσθαι. βέλτιον οὖν λέγειν τὸ μετὰ σιωπῆς. ὅσο ὕτοι μένιμήσω.] μέμφομαι. ἄμ' ἕπεται.] ἀκολουθήσει. εἴκαμ.] εἶκον. λυώσωσι.] φονεύσωσιν. ἕλωσι.] λάβωσι. πορθήσωσι. μέγα πτίθ.] μεγίστη λύπη. λυωθέντων.] φονευθέντων. νῶϊ.] ἡμῖν. μεδιώωσιθα.] φρονεῖ

τίδα ποιησώμεθα. θούριδος ἀλκῆς. τῆς ἐνθουσιαστικῆς καὶ ὁρμητικῆς δυνάμεως. ἦ ῥα.] ἔφη δή. καὶ ἔστιν ἀντὶ τοῦ ἄρα. ἐὰν δὲ ἐν μέρει λόγου ᾖ, δηλοῖ τὴν μετ' ἐπικουρίας χάριν. ὀχέων.] τῶν ἁρμάτων. ἆλτο.] κατήλατο. χαμᾶζε.] χαμαί, ἐπὶ γῆς. δεινόν.] ἐκπληκτικόν. φρικτόν. ἔβραχεν.] ἤχησεν. ὀνοματοποιΐα ὁ τρόπος. χαλκός. περιφραστικῶς τὰ ὅπλα. ὀρνυμένου.] διεγειρομένου. ὑπό κεν.] ὑφ' οὗ ἂν ἦχου. ταλασίφρονα.] καὶ τὸν πάνυ καρτερικὸν γενναῖον, δέος εἷλε.] φόβος ἔλαβε. πολυηχέϊ.] πολυταράχῳ. μεγάλως ἠχοῦντι. ὄρνυται.] διεγείρεται. ὁρμᾷ.

Ἀλλ' ἄγε δὴ καὶ νῶϊ μεδώμεθα θούριδος ἀλκῆς.
Ἦ ῥα, καὶ ἐξ ὀχέων σὺν τεύχεσιν ἆλτο χαμᾶζε.
Δεινὸν δ' ἔβραχε χαλκὸς ἐπὶ στήθεσσιν ἄνακτος
ὀρνυμένου. ὑπό κεν ταλασίφρονά περ δέος εἷλεν.
Ὡς δ' ὅτ' ἐν αἰγιαλῷ πολυηχέϊ κῦμα θαλάσσης
ὄρνυτ' ἐπασσύτερον Ζεφύρου ὕπο κινήσαντος.
Πόντῳ μέν τε πρῶτα κορύσσεται, αὐτὰρ ἔπειτα
χέρσῳ ῥηγνύμενον μεγάλα βρέμει, ἀμφὶ δέ τ' ἄκρας
κυρτὸν ἐὸν κορυφοῦται. ἀποπτύει δ' ἁλὸς ἄχνην,
Ὡς τότ' ἐπασσύτεραι Δαναῶν κίνυντο φάλαγγες,
νωλεμέως πόλεμόνδε. κέλευε δὲ οἷσιν ἕκαστος
ἡγεμόνων. οἱ δ' ἄλλοι, ἀκὴν ἴσαν. οὐδέ κε φαίης,
τόσσον λαὸν ἕπεσθαι, ἔχοντ' ἐν στήθεσιν αὐδήν,
σιγῇ δειδιότες σημάντορας. ἀμφὶ δὲ πᾶσι
τεύχεα ποικίλ' ἔλαμπε, τὰ εἱμένοι ἐστιχόωντο.
Τρῶες δ' ὥστ' ὄϊες πολυπάμμονος ἀνδρὸς ἐν αὐλῇ
μυρίαι ἑστήκασιν ἀμελγόμεναι γάλα λευκόν,
ἀζηχὲς μεμακυῖαι, ἀκούουσαι ὄπα ἀρνῶν,
Ὡς Τρώων ἀλαλητὸς ἀνὰ στρατὸν εὐρὺν ὀρώρει,
Οὐ γὰρ πάντων ἦεν ὁμὸς θρόος, οὐδ' ἴα γῆρυς,
Ἀλλὰ γλῶσσ' ἐμέμικτο. πολύκλητοι δ' ἔσαν ἄνδρες.
Ὦρσε δὲ τοὺς μὲν Ἄρης, τοὺς δὲ, γλαυκῶπις Ἀθήνη,
Δεῖμός τ' ἠδὲ φόβος, καὶ Ἔρις ἄμοτον μεμαυῖα,
Ἄρεος ἀνδροφόνοιο κασιγνήτη, ἑτάρη τε,
Ἥ τ' ὀλίγη μὲν πρῶτα κορύσσεται, αὐτὰρ ἔπειτα
οὐρανῷ ἐστήριξε κάρη, καὶ ἐπὶ χθονὶ βαίνει.
Ἥ σφιν καὶ τότε νεῖκος ὁμοίϊον ἔμβαλε μέσσῳ,
ἐρχομένη καθ' ὅμιλον, ὀφέλλουσα στόνον ἀνδρῶν.
Οἱ δ' ὅτε δή ῥ' ἐς χῶρον ἕνα ξυνιόντες ἵκοντο,
σύν ῥ' ἔβαλον ῥινούς, σὺν δ' ἔγχεα, καὶ μένε' ἀνδρῶν
χαλκεοθωρήκων. ἀτὰρ ἀσπίδες ὀμφαλόεσσαι,
Ἔπληντ'

ἐπασσύτερον.] συνεχές. πυκνόν. πρῶτα.] τὸ πρῶτον καὶ τὴν ἀρχήν. κορύσσεται.] κορυφοῦται αὔξεται. εἰς ὕψος ἐπαίρεται. χέρσῳ.] τῇ γῇ. ῥηγνύμενον.] προσρησσόμενον. βρέμει.] ἠχεῖ. βρόμος δὲ κυρίως ὁ τοῦ πυρὸς ἦχος. ἀμφὶ δέ τ' ἄκρας.] περὶ δὲ τὰ ἀκρωτήρια. κυρτόν.] μετέωρον, ὑψηλόν. ἐόν.] ὄν. ὑπάρχον. ἀποπτύει.] πορρίπτει. ἐκβάλλει, ὁ τρόπος μεταφορά. ἁλὸς ἄχνην.] τὸ χορτῶδες τῆς θαλάσσης ἀπόβλημα τὸν ἀφρόν. ὅπερ καὶ φῦκός φασι. νωλεμέως.] ἀδιαλείπτως. κέλευεν.] ἐκέλευεν. οἷσιν ἕκαστος.] ἕκαστος ἡγεμὼν τοῖς ἰδίοις. ἀκὴν ἴσαν.] ἡσύχως καὶ χωρὶς θορύβου παραγένοντο. φαίης.] ὑπολάβοις. εἴποις. τόσσον.] τοσοῦτον. ἔχοντ' ἐνὶ στήθεσιν αὐδήν.] κατέχοντες ἐν αὐτοῖς τὴν φωνήν, ἐκ τούτου παρίστησιν αὐτῶν τὸ ἥσυχον. σιγῇ.] σιωπῇ. δειδιότες.] φοβούμενοι. σημάντορας.] τοὺς ἡγεμόνας. ποικίλα.] διάφορα καὶ πολύχρωμα. εἱμένοι.] ἐνδεδυμένοι. ἠμφιεσμένοι. ὄϊες.] πρόβατα. πολυπάμμονος.] πολυθρέμμονος. πλουσίου. πάμματα γὰρ καλεῖται παρὰ Δωριεῦσι τὰ κτήματα, καὶ πάσασθαι τὸ κτήσασθαι ἐκτεινομένου τοῦ α. ἀζηχές.] ἀδιαλείπτως. συνεχῶς. μεμακυῖαι.] μηκώμεναι. μηκὴ γάρ ἐστιν ἡ αἰγῶν βοή. ὅθεν καὶ τὸ μηκάδας αἶγας. βληχὴ δὲ ἡ τῶν προβάτων. ἀλαλητός] θόρυβος κατὰ ἀντίφρασιν. ὀρώρει. διεγήγερτο. τὸ ο μικρὸν διὰ τὸ μέτρον. ὁμός.] ὅμοιος ὁ αὐτός. θρόος. θροῦς. θόρυβος. οὐδ' ἴα.] οὐδεμία καὶ αὐτή. γῆρυς.] φωνή.

πολύκλητοι.] οἱ ἐκ πολλῶν τόπων συγκεκλημένοι, ὅ ἐστι συναλεχθέντες. ὦρσε.] διήγειρε. παρώρμα εἰς τὸ πολεμεῖν. τὸ δὲ ἑξῆς οὕτως. ὦρσε δὲ τοὺς μὲν Τρῶας δηλονότι ὁ Ἄρης, τοὺς δὲ Ἕλληνας, ἡ Ἀθηνᾶ. δεῖμός τ' ἠδὲ φόβος.] Ἄρεος καὶ Ἀφροδίτης παῖδες. κατὰ δέ τινας οὐχ υἱοί, ἀλλ' ἵπποι. Ἄρης.] ἡ προθυμία τοῦ πολέμου, ἢ ὁ σωματοειδὴς θεός. ἄμοτον.] ἀμότως. ἀπληρώτως. ἀφ' οὗ καὶ μότα τὰ ἐπιτιθέμενα τοῖς κοίλοις τραύμασιν ὀθόνια πρὸς ἀναπλήρωσιν τῆς σαρκός. κασιγνήτη.] ἀδελφή. ἑτάρη.] φίλη. ἥ τε.] ἥτις ἔρις. ὀλίγη.] ἐξ ὀλίγου καὶ ἐκ μικροῦ πράγματος μικρά. καὶ ἔστι ποσότης ἀντὶ πηλικότητος. πρῶτα.] τὴν ἀρχήν. κορύσσεται.] μετεωρίζεται. αὔξεται. καὶ ἡ μεταφορὰ ἀπὸ τῆς κόρυθος. ἐστήριξε.] προσεπέλασεν. ἤγγισε. κάρη.] τὴν κεφαλήν. σφιν.] ἥτις αὐτοῖς. τότε.] κατ' ἐκεῖνον τὸν χρόνον. νεῖκος.] φιλονεικίαν. ὁμοίϊον.] ὁμοίως πᾶσι χαλεπόν. μέσῳ.] μεταξὺ Τρώων καὶ Ἑλλήνων. ὀφέλλουσα.] αὔξουσα. στόνον.] στεναγμόν. λύπην. ἐς χῶρον.] εἰς τὸ ὡρισμένον χωρίον. συνιόντες.] συνερχόμενοι. σύν ῥ' ἔβαλον.] συνέβαλον δή. ὁ δὲ γὰρ σύνδεσμος ἀντὶ τοῦ δή. ῥινούς.] τὰς ἀσπίδας. τὰς βύρσας. μένε' ἀνδρῶν.] τὴν δύναμιν τῶν ἀνδρῶν περιφραστικῶς. ὀμφαλόεσσαι.] ὀμφαλοὺς ἔχουσαι περιφερεῖς.

Ἦ ὀλίγον οἱ παῖδ' ἀεικότα γείνατο Τυδεύς.
Τυδεὺς τοι μικρὸς μὲν ἔην δέμας, ἀλλὰ μαχητής.
Καί ῥ' ὅτε πὸρ μιν ἐγὼ πολεμίζειν οὐκ ἐάσκον,
Οὐδὲ ἐκπαιφάσσειν, ὅτε τ' ἄλυθε νόσφιν Ἀχαιῶν
Ἄγγελος ὃν Θήβας πολέας μετὰ κασιγνήτους,
Δαινυσθαί μιν ἄνωγον ἐνὶ μεγάροισιν ἐκάστους,
Αὐτὰρ ὁ θυμὸν ἔχων ὃν καρτερὸν, ὡς τὸ πάρος πὸρ,
Κέρδος καδ' ἑαυτῷ πᾶσι καλίζετο. πάντα δ' ὑνίκα
Ῥηϊδίως. τοιὸσδε ἐγὼ ὧν τάρρεθος ἦα.
Σοὶ δή τοι μὲν ἐγὼ πρόφρων ἔσαμαι. ὃ δ' ἄρ φυλάσσω
Καί σε πεφρονέως κέλομαι Τρώεσσι μάχεσθαι.
Ἀλλὰ σοὶ ἢ κάματος πολυάϊξ γῦα δ' ἐδύκει,
Ἠνύ σε πᾶς ὀλέος ἴσχει ἀκήριον, ὅ σύγ' ἔπειτα
Τυδεΐδῃ ἐκγονός ἐσσι δαΐφρονος Οἰνείδαο.
Τήνδ' ἀπαμειβόμενος προσέφη κρατερὸς Διομήδης.
Γινώσκω σε θεὰ θύγατερ Διὸς αἰγιόχοιο.
Τῷ τοι πεφρονέως ἐρέω ἔπος, οὐδ' ὑποκλύσω.
Οὔτε τί με δέος ἴσχει ἀκήριον, οὔτέ τις ὄκνος,
Ἀλλ' ἔτι σῶν μέμνημαι ἐφετμέων, ἃς ἐπέτειλας.
Οὐ μ' ἐᾶς μαχάρεσσι θεοῖς αὐτικρὺ μάχεσθαι
Τοῖς ἄλλοις. ἀτὰρ εἶκε Διὸς θυγάτηρ Ἀφροδίτη
Ἔλθησ' ὃν πόλεμον, τήνγ' ὀτάμεν ὀξέϊ χαλκῷ.
Τόνεκα νῦν αὖτος ἀναχάζομαι, ἠδὲ καὶ ἄλλας,
Ἀργείους ἐκέλευσα ἀλήμεναι φθάδε πάντας
Γινώσκω γὰρ Ἄρηα μάχῃ αὐὰ κοιρανέοντα.
Τὸν δ' ἠμείβετ' ἔπειτα θεὰ γλαυκῶπις Ἀθήνη.
Τυδείδη Διόμηδες ἐμῷ κεχαρισμένε θυμῷ,
Μήτε σύγ' Ἄρηα τὸν δείδιθι, μήτε τιν' ἄλλον
Ἀθανάτων. τοίη τοι ἐγὼν ὧν τάρρεθός εἰμι.
Ἀλλ' ἄγ' ἐπ' Ἄρηϊ πρώτῳ ἔχε μώνυχας ἵππους.
Τύψον δὲ χαλίῃ, μὴ δ' ἄζεο θοῦρον Ἄρηα
Τὸν μαινόμενον τυκτὸν κακὸν ἀλλοπρόσαλλον.
Ὃς πρώην μὲν ἐμοί τε καὶ Ἥρῃ, σοῦτ' ἀγορεύων
Τρωσὶ μαχήσεσθαι, ἀτὰρ Ἀργείοισιν ἀρήξειν.

Νῦν

πωλίσοιτο.] ἐφοίτα, ἀνεστρέφετο. τὸ ωμέγα διὰ τὸ μέτρον. ἴχνεσκον.] ἐπορεύοντο, προσίσαν. ἐδείδισαν.] ἐφοβοῦντο. αὐαψύχοντα.] καταπνεόμενον. ἔτειρεν.] κατεπόνει. τελαμῶνος.] ἀναφορέως. ἀνδ' ἰσχώ.] ἀνέχων ἢ ἀνατείνων. ὅπερ ἔστιν αὖω ἔχων καὶ μετεωρίζων. πελαινεφὲς.] μέλαν παραγώγως. ἀπὸ γὰρ ἔγνεται τὸ νέφος. ἀπεμόργνυ.] ἀπέψα, ἀπέμασσεν. ὀλίγον.] ἀντὶ τοῦ ὀλίγον, ὀδλὲ ὅλως. ἄγγελος.] λαφυραγωγός. οἱ ἐοικότα.] ἑαυτῷ ὅμοιον. γήνατο.] ἐγέννησεν. ἔασκον.] ἤθων. ἐπαφάσσειν.] ἐνθυσιᾶν. δάινυσθαι.] συνχαίδειν. ἴκηλον.] συχον. προκαλίζετο.] προεκαλεῖτο. ἐπιτάρροθος.] βοηθός. ἦα.] ὤν, ὑπῆρχον. πρὸ φρονέως.] προθύμως. κέλομαι.] κελεύω. πολυάϊξ.] πολυόρμητος. δέδυκεν.] ὑποδεδυκὼς ἦν, ἐκρύβη. ἀκήριον.] ἀψυχοποίησεν. ἐς ἀψυχίαν ἄγον. ἐγγονός.] παῖς υἱὸς, ἔγγυς ἀπόγονος. ἔασι.] ὑπάρχεις.

Οἰνεΐδαο.] πατρωνυμικῶς τοῦ Τυδέως. ἐπικούσω.] ἐπικρύψομαι. ἐφετμέω,] ἐντελῶ. ἴ μ' ἄας.] ὃ συνεχώρεις μοι. ἀτὰρ ἤκυρ.] ἐὰν δέ. ἀναχάζομαι.] ἀναχωρῶ. ἀλήμεναι.] ἀλῆναι, συστραφῆναι. ἀνακοιρανέοντα.] διατάσσοντα· ἀπὸ προθύσεως ἀντιλαμβανόμεναι ἀλλήλων τὰς οἰκήσεις τόπους τηρῶσι. δαίδιθι.] φοβοῦ. σχεδίλιω.] ἐκ τοῦ σώιγγυς. ἄρειν.] φοβοῦ, σίβυ. τυκτόν.] κατασκευαστόν. ἀλλοπρόσαλλον.] ἄλλοτε ἄλλῳ φίλον. σοῦτ.] ἐβιβαιοῦτο, διωρίζετο.

ὁμιλῇ.] ἀναστρέφεται, μάχεται. λέλασθαι.] ἐπιλέλησται. πάλιν.] νῦν αὖτι ἐς τυπίσω. ὄρυσσα.] ἐλκύσασα. ἐμμαπέως.] ἐνδύκως, ταχέως, ἑτοίμως, προθύμως, σπουδαίως, μετὰ σπουδῆς.

ἔβραχεν.] ἤχησε. βριθοσύνῃ.] βαρύτητι, τῷ βάρει. φήγινος.] λρύϊνος λάβετο.] ἐλάμβανε. λιώνευ.] ἐδύνευ, ἐνεδύσατο. ἀϊδηλος νυκτός.] νέφος τί κοὶ ἀορασίαν. ἢ αὖτις τὸ πρόσωπον ἐκρυψεν ὑπὸ τῶν πτερυγίων κεφαλάων. λυγύνην.] τῶν πτερυγίων κεφαλάων. ἔασι.] καὶ τάθετο, ἀφῆκεν. ὀδάϊνυτο.] ἐξάλλυνσεν.

ἰθύς.] ἐπ' εὐθείας. ὠρέξατο.] ἐπέτεινε. μεμαώς.] προθυμούμενος.

ἑτώσιον.] ἄλιον, μάταιον. αἰχθῆναι.] ὁρμηθῆναι. ἐπέρησεν.] ἐπέρησεν. ἐπιστήριξε. νέατον.] ἔσχατον. πεύκινα.] κενεῶν. ἐστι τόπος κινὸς ὀπίσω. ἢ λαπάρα, ἢ κοὶ λαγὼν λέγεται. ἔδαψε.] λιῖλθε, διέκοψεν, ἔτεμεν. ἔβραχεν.] ἤχησεν. ἐννεάχιλοι.] ἐννέα χίλιοι.

δεκάχιλοι.] μύριοι. ἕπτος.] ἀνόρεστος. οἷα.] ὁποία. ὀρίθεννός.] σποτεινή. ἰκμάτος ἰδ αὔεμοιο.] ὅπερ ἐστιν ἀπ' ἀνέμου. ὅταν γὰρ καυματώδους ὄσης ἡ ἡμέρας ὑπὸ κὰτολιὼ ἡ δύσιν ὁ ἀὴρ μέλας φοκῇ, προσλοπῶσιν αὔεμον. τὸ ἢ ἐξῆς, ἐκ καύματος ἀνέμου ὁρμήσαντος ἐυσκέος. ἡ ἀπὸ αὐτοῦ ἡ μετὰ ἐυσκέος.] χαλεπῶς πνέοντος, δυσπνόου. ὀρνυμένοιο.] διεγειρομένης, φαίνεθ' ὁμῶ νεφέεσσιν ἰὼν ἐς ἐρανὸν εὐρύν.] ἐς τὸ νεφέεσσι διασολή. ἵν' ᾖ ἐγγὺς τῶν νεφῶν. Δημοσθένης, Αθηναίοις ἢ ἐστιν ὁμῶ ἐυσμένεοι. οἱ ἢ συνάπτουσιν ὅλον αὐτὶ τοῦ ὑπὸ νεφῶν ἐκκαλυμμένος, καὶ ἐς ἐρανὸν αὐτῶν. ἕλκος.] ἕλκασμα. ἀχεύων.] λυπούμενος. ἰδ ἀντελλῆς.] ἐκ τοῦ τραύματος. ὀλοφυρόμενος.] οἰκτιζόμενος. νεμεσίζη.] μέμφη.

ῥίγησε.] φρικτά. τετληότες.] ὑπομενητικότες. ἀμὲν.] ἀλλὰ μέν. ἰστητι.] γνώμην, βούλησαι. χαρίν δ' αὖθρωσι φέρουσι.] αὐτὶ τοῦ ἀνθρώποις χαριζόμενοι. σοὶ πάντες μαχόμεσθα.] ἐχί σοι φησιν ἐς μάχην καθίσταμεθα. σοὶ] αὐτὶ τοῦ διὰ σε. ἄφρονα.] ἀνόητον, ἀσύνετον. ἀήσυλα.] ἄλιπα, ἁρματολά. ἐκ τοῦ ἤδω ἤσω ἤσυλα. καὶ ἀήσυλα τὰ μὴ πρίποντα. ἃ μὴ σύφαίνοντα. διαμόμεθα.] ὑποτιτάγμεθα. προτιβάλλειαν.] ἐπιτρέφεις, σωφρονίζεις, ἐπιπλήσεις.

αὐίεις.]

Νῶν δὲ μετὰ Τρώεσσιν ὁμιλεῦ. τῶν δὲ λέλασται.
Ὡς φαμένη, σθένεσφιν μιν ἀφ' ἵπποιν ὦσε χαμάζε,
Χερεὶ πάλιν ἐρύσασ', ὀδὶ ἄρ ἐμμαπέως ἀπόρουσε,
Ἤδ' ὃν λίφρον ἔβαινε πὰρ Διομήδεα δίον
Ἔμεμαῶτα θεὰ, μέγα δ' ἔβραχε φήγινος ἄξων
Βειβοσύνῃ. δεινὼ γὰρ ἄγεν θεὸν ἄνδρα τ' ἄριστον.
Λάζ' ἄρα δὲ μάστιγα καὶ ἡνία παλὰς Ἀθήνη,
Αὐτίκ' ἐπ' Ἀρηϊ πρώτῳ ἔχε μώνυχας ἵππους.
Ἤτοι ὁ μὲν Περίφαντα πελώριον ἐξενάριξεν
Αἰτωλὸν ὄχ' ἄριστον ὀχηστὰ ἀγλαὸν υἱόν.
Τὸν μὲν Ἄρης ὑπάειξε μιαιφόνος. αὐτὰρ Ἀθήνη
Δῶν' ἄϊδος κυνέην, μὴ μιν ἰδοι ὄβριμος Ἄρης
Ὡς δὲ ἴδε βροτολοιγὸς Ἄρης Διομήδεα δῖον
Ἤτοι ὁ μὲν Πορίφαντα πελώριον αὐτόθ' ἔασεν
Κεῖθι, ὅθι πρῶτον κτείνων ἐξαίνυτο θυμόν.
Αὐτὰρ ὁ Βορ' ἰθὺς Διομήδεος ἵππος' ἄμοιο.
Οἶσ' ὅτε δὴ κατὰ νηδὺν ἦλθ' ἐπ' ἀλλήλοισιν ἰόντες,
Πρόσθεν Ἄρης ὀρέξατ' ἐπὲρ ζυγὸν ἠνίαθ' ἵππων
Ἔγχει χαλκείῳ, μεμαὼς ἀκὴν θυμὸν ὀλέσσαι.
Καὶ τότ γε χειρὶ λαβὼν θεὰ γλαυκῶπις Ἀθήνη
Ὧσεν ὑπ' ἐκ δίφροιο ἐτώσιον ἀϊχθῆναι.
Δεύτερος αὖθ' ὥρμᾶτο βοὴν ἀγαθὸς Διομήδης
Ἔγχει χαλκείῳ, ἐπόρσεσε δὲ Παλλὰς Ἀθήνη
Νείατον ὃν κῆνεῶνα, ὅθι ζωννύσκετο μίτρην.
Τῇ ῥά μιν ὄτρυνε τυχὼν, σχεδὸν δὲ χρόα καλὸν ἔδαψεν.
Ἐκ δὲ δόρυ σπάσεν αὖτις, ὀδὶ ἔβραχε χάλκεος Ἄρης.
Ὅσσον τ' ἐννεάχιλοι ἐπίαχον, ἢ δεκάχιλοι
Ἀνδρῶν ἐν πολέμῳ, ἔρωὶ σωάγοντες Ἄρηα,
Τόσ' ὅ' ἄρ' ἐβραχε τυδρόμος εἶλεν Ἀχαιούς τε Τρῶάς τε
Δείσαντας, τόσον ἔβραχ' Ἄρης ἄατος πολέμοιο.
Οἷη δ' ἐκ νεφέων ἐριβρυχὴς φαίνεται ἀήρ
Καύματος ἰδ αὐέμοιο δυσάεος ὀρνυμένοιο
Τοῖος Τυδείδῃ Διομήδεϊ χάλκεος Ἄρης
Φαίνεθ' ὁμῶ νεφέεσσιν ἰὼν εἰς ἐρανὸν εὐρύν.
Καρπαλίμως δ' ἵκανε θεῶν ἕδος αἰπὺ ὄλυμπον.
Παρὰ δὲ Διὶ Κρονίωνι καθέζετο θυμὸν ἀχεύων.
Δεῖξε δὲ ἄμβροτον αἷμα καταῤῥέον ἰδ ὠτειλῆς.
Καί ῥ' ὀλοφυρόμενος, ἔπεα πτερόεντα προσηύδα.
Ζεῦ πάτερ, ὁ νεμεσίζῃ ὁρῶν τάδε καρτερὰ ἔργα;
Αἰεὶ στοι ῥίγιστα θεοὶ τετληότες ἐμεῖο
Ἀλλήλων ἰότητι, χαρίν δ' ἄνθρωποι φορέοντες.
Σοὶ πάντες μαχόμεσθα, σὺ γὰρ τέκες ἄφρονα κόρην
Οὐλομένην. ἧς τ' ἄλλοι ἀήσυλα ἔργα μέμηλεν.
Ἄλλοι μὲν γὰρ πάντες ὅσοι θεοί εἰσ' ἐν ὀλύμπῳ
Σοὶ τ' ὑπιείθονται, καὶ δεδμήμεθα ἕκαστος.
Τάντιον δ' ὅτ' ἔπεϊ προπέβαλλεαι, ὅ τέ μ ἔργῳ,

Ἀλλ' αὐίεις

Ἀλλ' αὐίεις.] ἀφίεις. ἐγένεο.] ἐγέννησας. παῖδ' ἀϊδηλον.] ἐπιβλαβῆ, ἀδηλοποιόν. ἢ ἀφανῆ γενησομένην. μαργαίνειν.] μαίνεσθαι, ἐνθουσιᾶν, ἀκρατῶς ὁρμᾶν. ὑπὸ ὠνεγκαν.] ὑπήγαγον. διημερὶν.] ἐκπολιὰ χρόνου. νικάδεσσι.] τάξεσι τῶν νικητῶν τάξεσιν. ἤκεν ῥῶς.] ἰῶ ῥῶ αὖ. ῥῶς.] ῥῶμ, ῥωδς, ἡ γενικὴ ῥωδ. ἀπὸ γὰρ τοῦ ῥωδς ἐστιν ἡ συναίρεσις διὰ ἐξύνετα. ἀμένην.] ἀδύνης. ἀκ ἔχων μένων. τυπῆσι.] θαύμασι, πλαγαῖς, ῥώσεσι. μενύει.] θρήνει. εἰτ' ὂν ἀποδύρεται, ἢ ἠρέμα θρῆνει. ἀάσχετον.] ἀνύπομόνητον. δ' ἀχ οἷόν τε ἐπισχεθῆναι. ἀκ ἐπιεικτόν.] ἀκ συνκατάπληκτον. ἀχ ὑποχωρητικὸν, ἀκ εὔνδοτον. σπευδῇ.] μάγις. δάμνημι.] δαμάζω. ἐννεσίησι.] βουλήσεσι, βουλαῖς, ἐννοίαις. ἀ δ' ἕτινος.] ἐγένευ.] ἐγένου. αἰδηλος.] ἀφανισμός. ἐνέρτερος.] κατώτερος.

ἐρανιώνευ.] τὸν Τιτανίων νῦν. ἰήσασθαι.] ἰάσασθαι, θεραπεῦσαι. παιήων.] ἰατρὸς θεῶν. ἀλυνήφατα.] τὰ τὰς ὀδύνας φθείροντα καὶ παύοντα. ὀπός.] τὸ γαλακτῶδες τῆ συκῆς. ἐπειγόμενος.] παρασκόμενος. πεφορτίσμεναι.] πρὸς πύγνυται. ὄθεν κοὶ ἡ τροφαλίς. κνιδοῶντι.] κινδύνοις, παράσχοντι. ἔασι.] πλειόνων ἐμβαλεῖν, ἐμβίβασον. κύδεϊ γαίων.] τῇ δόξῃ γαυρούμενος. ἀλαλκομενηίς.] κατὰ Δώριαμον βοηθοῦσα. αὐδροκτασιάων.] ἀνδροφονίων, ἀνδρῶν ἀναιρέσεων.

ΥΠΟΘΕΣΙΣ

ΥΠΟΘΕΣΙΣ ΤΗΣ Ζ ΤΟΥ
ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

Τῶν θεῶν ἀποσταύτων τῆς μάχης, οἱ Ἕλληνες πολλοὺς ἀναιροῦσι τῆς Τρώων. Ἑλένου δὲ συμβουλεύσαντος, Ἕκτωρ εἰς τὴν πόλιν ἄνεισι, καὶ τῇ μητρὶ Ἑκάβῃ κελεύει εὔξασθαι τῇ Ἀθηνᾷ, καὶ ὑποσχέσθαι αὐτῇ δώδεκα βοῶν θυσίαν, ὅπως τὸν Διομήδην ἀποστήσειε τῆς μάχης. τέως δὲ ὄντων αὐτῶν ἐν τῷ πεδίῳ, Γλαῦκος καὶ Διομήδης ἀναγνωρίσαντες φιλίαν παρικὴν, διαλλάσσουσι τὰ ὅπλα ἀλλήλοις. Ἕκτωρ δὲ διαλεχθεὶς τῇ μητρὶ καὶ τῇ γυναικὶ Ἀνδρομάχῃ, σὺν τῷ ἀδελφῷ Ἀλεξάνδρῳ, εἰς τὸν πόλεμον ἔξεισιν.

ΚΑΙ ΑΛΛΗ.

Ἀναμέσον Ξάνθου καὶ Σιμοῦντος τῶν ποταμῶν θάνατος ἀκάμαντος τοῦ Θρᾳκὸς, καὶ Γλαύκου σύστασις καὶ ἀναγνωρισμός. καὶ ἀμοιβὴ τῶν ὅπλων αὐτοῦ καὶ Διομήδους. καὶ ἄνοδος Ἕκτορος εἰς Ἴλιον πρὸς τὴν μητέρα Ἑκάβην. εἶτα πρὸς Ἀλέξανδρον καὶ Ἑλένην. εἶτα πρὸς Ἀνδρομάχην τὴν γυναῖκα. καὶ Ἕκτορος ἔξοδος ἐπὶ τὸν πόλεμον σὺν Ἀλεξάνδρῳ τῷ ἀδελφῷ.

ΣΧΟΛΙΑ ΕΙΣ ΤΗΝ Ζ ΤΟΥ
ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΝ.

ΙΩΘΗ.] ἐμονώθη τῆς τῶν θεῶν συμμαχίας. χωρὶς θεῶν ἐγένετο. φύλοπις.] ἡ μάχη, ἀπὸ τοῦ κατὰ φῦλα μάχεσθαι συνερχομένους. ἔνθα καὶ ἔνθα.] ἐνταῦθα κἀκεῖσε εἰς ἀμφότερα τὰ μέρη. ἴθυσε μάχη.] ἐπ' εὐθείας ἐφέρετο ἡ μάχη. ὁτὲ μὲν τῶν Ἀχαιῶν βρεπόντων τοὺς Τρῶας, ὁτὲ δὲ ἀναβρεπομένων ὑπ' αὐτῶν. ἀλλήλων ἰθυνομένων.] αὐτὶ τοῦ ἐπ' ἀλλήλους ἰθυνόντων, τοῦτ' ἔστιν, ἐπ' εὐθείας βαλλόντων. χαλκήρεα.] χαλκῷ ἢ σιδήρῳ ἡρμοσμένα. μεσσηγύς.] ἀνὰ μέσον. Σιμόεντος ἠδὲ Ξάνθοιο.] Σιμόεις καὶ Ξάνθος ποταμοὶ Τρωάδος.

ἕρκος Ἀχαιῶν, Τρώων ῥῆξε φάλαγγα, φόως δ' ἑτάροισιν ἔθηκε.] βρισὶ μεταφορᾶς κέχρηται ἐπιφαίνων τὴν ὁμιότητα, ὃ γὰρ δύναται πρὸς ἀσφάλειαν πόλεως τεῖχος, τοῦτο πρὸς σωτηρίαν στρατοῦ γενναῖος ἀνήρ. καὶ πάλιν. ὃ δύναται ῥῆξις ἐσθῆτος τὴν σκέπην ἀναιροῦσα, τοῦτο ἠδυνήθη τὴν φάλαγγα ῥήξας. καὶ πάλιν, ὡς ὀνίνησι φῶς τοὺς σκότῳ κατεχομένους, οὕτω τοῖς νικωμένοις ὑπὸ τῆς τοῦ Ἄρεος ἀχλύος ἐπέλαμψεν ἡ Αἴαντος βοήθεια. φόως.] φῶς, χάραν, σωτηρίαν. ἱπποδασείης.] ἱππολόφου. ἐν δὲ μετώπῳ πῆξε.] τινὲς δυϊκῶς. οὐ γὰρ ἐμῆς κόρυθος λεύσουσι μέτωπα. πέρησε.] διεπερόνησε. Τεύθρα νίδην.] Τεύθραντος παῖδα. φιλέεσκεν.] ἐξένιζεν. ὁδῷ ἐπί.] ἐφόδῳ, παρόδῳ.

ἤρκεσεν. ἐβοήθησεν. ὑπαντιάσας.] ὑπαντήσας. ἀπήυρα.] ἐστέρησεν. ἔσκεν.]

ΙΛΙΑΔΟΣ Ζ ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

Ζῆτα δ' ἄρ' Ἀνδρομάχης καὶ Ἕκτορος ἐστ' ὀαριστύς.

Τρώων δ' οἰώθη καὶ Ἀχαιῶν φύλοπις αἰνή.
Πολλὰ δ' ἄρ' ἔνθα καὶ ἔνθ' ἴθυσε μάχη πεδίοιο,
Ἀλλήλων ἰθυνομένων χαλκήρεα δοῦρα,
Μεσσηγὺς Σιμόεντος ἰδὲ Ξάνθοιο ῥοάων.
Αἴας δὲ πρῶτος Τελαμώνιος ἕρκος Ἀχαιῶν,
Τρώων ῥῆξε φάλαγγα, φόως δ' ἑτάροισιν ἔθηκεν
Ἄνδρα βαλών, ὃς ἄριστος ἐνὶ Θρήκεσσι τέτυκτο
Υἱὸν Εὐσώρου Ἀκάμαντ' ἠΰν τε μέγαντε.
Τόν ῥ' ἔβαλε πρῶτος κόρυθος φάλον ἱπποδασείης.
Ἐν δὲ μετώπῳ πῆξε. πέρησε δ' ἄρ' ὀστέον εἴσω
Αἰχμὴ χαλκείη. τόνδε σκότος ὄσσ' ἐκάλυψεν.
Ἄξυλον δ' ἄρ' ἔπεφνε βοὴν ἀγαθὸς Διομήδης
Τευθρανίδην, ὃς ἔναιεν ἐϋκτιμένῃ ἐν Ἀρίσβῃ
Ἀφνειὸς βιότοιο, φίλος δ' ἦν ἀνθρώποισιν,
Πάντας γὰρ φιλέσκεν ὁδῷ ἐνδοικία ναίων.
Ἀλλὰ οἱ οὔτις τῶν γε τότ' ἤρκεσε λυγρὸν ὄλεθρον.
Πρόσθεν ὑπαντιάσας, ἀλλ' ἄμφω θυμὸν ἀπηύρα,
Αὐτὸν καὶ θεράποντα Καλήσιον, ὃς ῥα τοθ' ἵππων

Ἔσκεν

Ἔσκεν ὑφηνίοχος. τὼ δ' ἄμφω γαῖαν ἐδύτην.
Δρῆσον δ' Εὐρίαλος καὶ Ὀφέλτιον ἐξενάριξεν.
Βῆ δὲ μετ' Αἴσηπον καὶ Πήδασον, οὓς ποτε νύμφη
Νηὶς Ἀβαρβαρέη τέκ' ἀμύμονι Βουκολίωνι.
Βουκολίων δ' ἦν υἱὸς ἀγανοῦ Λαομέδοντος
Πρεσβύτατος γενεῇ, σκότιον δὲ ἑ γείνατο μήτηρ.
Ποιμαίνων δ' ἐπ' ὄεσσι μίγη φιλότητι καὶ εὐνῇ.
Ἠδ' ὑποκυσαμένη, δίδυμάονε γείνατο παῖδε.
Καὶ μὲν τῶν ὑπέλυσε μένος καὶ φαίδιμα γυῖα,
Μηκιστηϊάδης, καὶ ἀπ' ὤμων τεύχε' ἐσύλα.
Ἄστυλλον δ' ἄρ' ἔπεφνε Μενεπτόλεμος πολυποίτης.
Πιδύτην δ' Ὀδυσεὺς Περκώσιον ἐξενάριξεν,
Ἔγχει χαλκείῳ, Τεῦκρος δ' Ἀρετάονα δίον.
Ἀντίλοχος δ' Ἀβληρον ἐνήρατο δουρὶ φαεινῷ
Νεστορίδης. Ἔλατον δὲ ἄναξ ἀνδρῶν Ἀγαμέμνων,
Ναῖε δὲ Σατνιόεντος ἐϋῤῥείταο πρὸς ὄχθας
Πήδασον ἀμπεινὴν φύλακον δ' ἕλε Λήιτος ἥρως
Φεύγοντ'. Εὐρύπυλος δὲ Μελάνθιον ἐξενάριξεν.
Ἄδρηστον δ' ἄρ' ἔπειτα βοὴν ἀγαθὸς Μενέλαος
Ζῶον ἕλ', ἵππῳ γὰρ οἱ ἀτυζομένῳ πεδίοιο
Ὄζῳ ἐνὶ βλαφθέντε μυρικίνῳ, ἀγκύλον ἅρμα
Ἄξαντ' ἐν πρώτῳ ῥυμῷ, αὐτὼ μὲν ἐβήτην
Πρὸς πόλιν, ἧπερ οἱ ἄλλοι ἀτυζόμενοι φοβέοντο.
Αὐτὸς δ' ἐκ δίφροιο πρὰ τροχὸν ἐξεκυλίσθη
Πρηνὴς ἐν κονίῃσιν ἐπὶ στόμα. πὰρ δὲ οἱ ἔστη
Ἀτρείδης Μενέλαος, ἔχων δολιχόσκιον ἔγχος.
Ἄδριστος δ' ἄρ' ἔπειτα λαβὼν ἐλίσσετο γούνων.
Ζώγρει Ἀτρέος υἱὲ, σύ δ' ἄξια δέξαι ἄποινα.
Πολλὰ δ' ἐν ἀφνειοῦ πατρὸς κειμήλια κεῖται,
Χαλκός τε, χρυσός τε, πολύκμητός τε σίδηρος.
Τῶν κέν τοι χαρίσαι τὸ πατὴρ ἀπορείσι' ἄποινα,
Εἰκὲν ἐμὲ ζῶον πεπύθοιτ' ἐπὶ νηυσὶν Ἀχαιῶν.
Ὣς φάτο. τοῦ δ' ἄρα θυμὸν ἐνὶ στήθεσσιν ἔπειθε.
Καὶ δή μιν τάχ' ἔμελλε θοὰς ἐπὶ νῆας Ἀχαιῶν
Δώσειν ᾧ θεράποντι καταξέμεν, ἀλλ' Ἀγαμέμνων
Ἀντίος ἦλθε θέων. καὶ ὁμοκλήσας, ἔπος ἤυδα.
Ὦ πέπον, ὦ Μενέλαε, τίη δὲ σὺ κύδεαι οὕτως
Ἀνδρῶν; ἢ σοι ἄριστα πεποίηται κατὰ οἶκον
Πρὸς Τρώων, τῶν, μή τις ὑπεκφύγοι αἰπὺν ὄλεθρον,
Χεῖρας θ' ἡμετέρας. μήδ' ὅν τινα γαστέρι μήτηρ
Κοῦρον ἐόντα φέροι. μήδ' ὃς φύγοι, ἀλλ' ἅμα πάντες

Ἰλίου

ἔσκεν.] ἦν. ὑφινίοχος.] ἀντὶ τοῦ ὑνίοχος. νύμφη.] τοῦτο γενικὸν ἐστὶ τὸ ὄνομα. καλοῦνται δὲ αἱ νύμφαι Ναΐδες ἐκ τῶν ναμάτων. καὶ ἄλλαι διαφόρως. Νηΐς.] Ναΐδες, εἶδος νυμφῶν.

Ἀβαρβαρέη.] ὄνομα κύριον νύμφης.

σκότιον.] ἐκ λαθραίας μίξεως τὸν λάθρα γεγεννημένον. καὶ οὐκ ἐκ τῆς κατὰ νόμον γαμηθείσης. τὸν δὲ ἀδαδουχήτων γάμων. ἐπ' ὄεσσιν.] ἐν θῷ τῶν προβάτων τόπῳ. ὑποκυσαμένη.] ὑπ' αὐτοῦ κυήσασα, γεννήσασα. ἐνήρατο.] ἐφόνευσε. Σατνιόεντος.] ὄνομα ποταμοῦ καὶ κύριον. Πήδασον.] πόλις Φρυγίας ἡ Πήδασος. Πήδασον αἰπεινήν.] Ἀχιλλεὺς ὑπὸ τὸν Τρωϊκὸν πόλεμον πορθῶν τὰς περιοίκους τῆς Ἰλίου πόλεις. ἀφίκετο εἰς τὴν πάλαι μὲν Μονηίαν, νῦν δὲ Πήδασον καλουμένην, βουλόμενος ὁμοῦ ταῖς ἄλλαις καὶ ταύτην ἑλεῖν. ἀπογνόντος δὲ αὐτοῦ τὴν εἰς τέλος πολιορκίαν διὰ τὴν ὀχυρότητα τοῦ τόπου, καὶ μέλλοντος ἤδη ἀναχωρεῖν, φασὶν εἴσω τῶν τειχῶν οὖσαν παρθένον ἐρασθῆναι τοῦ Ἀχιλλέως. καὶ λαβοῦσαν μῆλον, ἐπιγράψαι καὶ αὐτὸ ῥῖψαι εἰς μέσον τῶν Ἀχαιῶν. ἦν δὲ ἐν αὐτῷ γεγραμμένα. μὴ σπεῦδ' Ἀχιλλεῦ πρὶν Μονηίαν ἕλῃς. ὕδωρ γὰρ οὐκ ἔνεστι, διψῶσι κακῶς. τὸν δὲ Ἀχιλλέα ἐπιμείναντα, οὕτω λαβεῖν τὴν πόλιν, τῇ τοῦ ὕδατος σπάνει. ἡ ἱστορία παρὰ Δημητρίῳ καὶ Ἡσιόδῳ. αἰπεινήν.] ὑψηλήν. ἀτυζομένῳ.] ταρασσόμενοι. καταπλησσόμενοι, καὶ φοβούμενοι.

ὄζῳ ἐνὶ βλαφθέντε.] ὑπὸ τοῦ ὄζου ἐπισχεθέντες, ὑπὸ τοῦ κλάδου ἐμποδισθέντες. μυρικίνῳ.] τὸ τῆς μυρίκης. εἶδος δένδρου. δοτικὴ ἑνικῶν. ἄξαντε.] θραύσαντες. ἐν πρώτῳ ῥυμῷ.] ἐν τῷ ἄκρῳ τοῦ ῥυμοῦ. πρώτῳ.] ἄκρῳ.

αὐτὼ μὲν ἐβήτην.] γραφικῶς οἱ μὲν ἵπποι φεύγουσιν ἐπικειμένου τοῦ ζυγοῦ. τὸ δὲ ἅρμα ἐπιπλέκεται μυρίκης κλάδῳ. ὁ δὲ Ἄδραστος κυλισθεὶς ἐκ τοῦ ἅρματος, κεῖται παρὰ τροχὸν ἐπὶ πρόσωπον. ὁ δὲ Μενέλαος ἀνατετακὼς τὸ δόρυ ἐφέστηκεν αὐτῷ. ἀτυζόμενοι.] ταραττόμενοι. φοβέοντο.] ἐφεύγον. πρηνής.] ἐπὶ πρόσωπον. ἐπὶ στόμα.] δηλωτικὸν τοῦ πρηνής.

δολιχόσκιον ἔγχος. τὸ εἰς δολιχὸν διάστημα κίειν δυνάμενον. πλεονάσαντος. τοῦ σ. ὡς καὶ ἐν τῷ θεόσδοτος. ἢ τὸ μακρὸν, ἢ σκιὰ δολιχή. τοῦτο δὲ ἐκ τοῦ παρακολουθοῦντος. ἢ ὅπερ διὰ τὸ σκιᾷ βραφῆναι, δολιχὸν γέγονε. ζώγρει.] ζῶντα ἄγε. κειμήλια.] τὰ ἀργὰ καὶ ἀπόθετα χρήματα. πολύκμητος.] μετὰ πολλοῦ καμάτου γενόμενος. ἢ ὁ πολὺν κάματον παρεχόμενος. καταξέμεν.] κατάξειν. ὑψιλὴ γὰρ καὶ ἀνεμόεσσα ἡ Ἴλιος. ὁμοκλήσας.] ἀπειλήσας. αἰπὺν.] χαλεπόν.]

ἀκήδεστοι.]

ἀπώλεσαι.] ἀφροντίσαι, ἀπεμόνας μὴ ἔχοντες. ἄφαντοι.] ἀνώνυμοι, ἀφανεῖς. ἔτρεψε.] παρέτρεψε. παρέπεισεν. αἴσιμα.] καθήκοντα. παρεπιτών.] παραμυθησάμενος. ὦσατο.] ἀπώσατο, ἀπέβαλε. λαπάρω.] λαπάρην. ἀνετράπετο.] ἀνετράπη. εἰς τὸπίσω ἔπεσεν ὕπτιος. λαξ.] τῷ πλάτει τοῦ ποδός. ἐκίνητο.] παρεκινεῖτο.

ἐνάρων.] τῶν σκύλων. ἐπιβαλλόμενον.] ἐπιθυμῶν, ἀντιποιούμενος, ἐπιβουλὴν ποιούμενος εἰς ἀναίρεσιν. βέλτιον ἢ ἐπιθυμῶν. ἀναλαμέησιν.] ἀνανδρέαις. ἐγκίλιται.] ἐπίκεινται, ἐπίχεισαι. ἔγκρατα.] ἐν τῇ ὑμετέρᾳ φρονίδι πεφυκότα. ἐλπωρὴ ἀλλ' ἢ σωτηρία τῶν πραγμάτων.

ἰθύω.] ὁρμῶ, ὀρθύτατα. πᾶσαν ἐπ' ἰθύνατε μάχεσθαί τε φρονέειν τε.] κατὰ πάντα τὰ μέρη ἢ μάχης καὶ ἢ φρονήσεως ὑμᾶς διαφέρειτε. ὀρυκάκετε.] κωλύετε, κατέχετε. ἐποιχόμενοι.] ἐπιπορευόμενοι. φίλοισι.] τοῖς ἐχθροῖς.

χάρμα.] χαρά. ἀναγκαίη.] ἀναγκαίως. ἐπίσχεν.] κατέπαυεν. ξυνάγερσα.] συνάγουσα. γηραιάς.] ἐντίμους γυναῖκας. ἐν πόλῃ ἄνηρ.] ἐν τῇ ἀνηρυπόλῃ. διάλυσις ἢ μετατύπωσις, ὁ τρόπος. οἴξασα.] ἀνοίξασα. κλισίη.] καλὰ διαίρεσιν καὶ μεταποίησιν. κλεὶς γὰρ κληθρός. δς εἰ.] ὅστις αὐτῇ. ἐπὶ γόνασιν.] ἀντὶ τοῦ παρὰ τοῖς γόνασι. παρὰ τὸς γόνασι. παρὰ τὸς πόδας. ὀρθὸν γὰρ τὸ παλλάδιον. ἴνις.] ἰνιωσιαίσις. ἠνίοχος.] ἀνιντήτης. ἀδάμασους. ἀπόσχη.] ἀποδιώξῃ. ἄγερε μ' ἐς ἀχμητῶν.] ἄγειρε. ἐν τῷ αἰχμάζειν. ὑφ' ἓν ἀμφότερα. λίγη ἢ καλεπὸν ἐν τῷ μάχεσθαι. κρατερὸν.] ἰσχυρόν. μὴ σωρα.] ἐπισήμονα. φόβοιο.] φυγῆς.

μύσωρα φόβοιο.] τὸν δυνάμενον φυγὼν μήσασθαι τοῖς ἐναντίοις. ὁ ἐστιν ὀργάσασθαι. ἔρχαμον.] ἡγεμόνα. ἰσοφαρίζειν.] ἰσόσασθαι.

ἐλελίχθησαν.

Ἰλιὸς ἦξ ἀπολοιτ' ἀκήδεστοι καὶ ἄφαντοι.
Ὡς εἰπὼν, ἔτρεψεν ἀδελφεὸν φρένας ἥρως,
Αἴσιμα πάξειπὼν, ὃ δ' ἀκὺ ἔθορε ὦκα τὸ χαλκῷ
Ἥρωα Ἀδρηστον. τὸν δὲ κρείων Ἀγαμέμνων
Οὖτα κατ' λαπάρην. ὃδ' ἀνετράπετ'. Ἀτρεΐδης δὲ
Λάξ ῥ' ἐν στήθεσι βὰς, ἐξ ἔσπασε μείλινον ἔγχος.
Νέσσῳ δ' Ἀργείοισιν ἐκέκλετο μακρὸν ἀΰσας.
Ὦ φίλοι ἥρωες Δαναοὶ θοῆς ἀμφίπολοι Ἄρηος,
Μή τις νῦν ἅρπαγὴν ὠλεσμένον ἐσσυμένως
Μιμνέτω. ὡς κεν πλείστη φορέῃ ὠπὶ νῆας ἵκηται.
Ἀλλ' αὐτοὶ κτείνωμεν, ἔπειτα δὲ καὶ τὰ ἕκηλοι,
Νεκρὸς ἀμπεδίον συλήσετε τεθνειῶτας.
Ὡς εἰπὼν, ὤτρυνε μένος, καὶ θυμὸν ἑκάστου.
Ἔνθα κεν αὖτε Τρῶας ἀρηϊφίλους ἔπαγε Ἀχαιῶν.
Ἰλίου εἰσανέβησαν ἀναλκείῃσι σὺν ἐντεσι,
Εἰ μὴ ἄρ Αἰνείᾳ τε, καὶ Ἕκτορι εἶπε πεδάσσαι
Γεραμίδης Ἐλένοιο, οἰωνοπόλων ὄχ' ἄριστος.
Αἰνείᾳ τε, καὶ Ἕκτορ, ἐπεὶ πόνος ὔμμι μάλιστα
Τρώων, καὶ Λυκίων ἐγκέκλυται, ὄφρα τάχιστα
Γάσαν ἐπ' ἰθὺ ἔσε, μάχεσθαί τε, φρονέειν τε,
Σῴζετ' αὐτοὶ, καὶ λαὸν ἐρυκάκετε πρὸ πυλάων,
Πάντη ἐποιχόμενοι, πρὶν ὧν τ' ἐν χερσὶ γυναικῶν
Φεύγοντας θεσέειν, δηΐοισι δὲ χάρμα γένεσθαι.
Αὐτὰρ ἐπεὶ κε φάλαγγας ἐπιστρωφήσητον ἅπάσας,
Ἡμεῖς μὲν Δαναοῖσι μαχησόμεθ' ἄντιοι ὄντες,
Καὶ μάλα τειρόμενοι πόρ. ἀνάγκαιη γὰρ ἐπείγει
Ἕκτορ ἀτὰρ σὺ πόλιν δὲ μετέρχεο, εἶπέ δ' ἔπειτα
Μητρί σῇ καὶ ἐμῇ, ἥ δὲ ξυνάγουσα γεραιὰς,
Νηὸν Ἀθηναίης γλαυκώπιδος ἐν πόλει ἄκρῃ
Οἴξασα κληῖδι θύρας ἱεροῖο δόμοιο,
Πέπλον ὅς οἱ δοκέει χαριέστατος ἠδὲ μέγιστος
Εἶναι ἐνὶ μεγάρῳ, καὶ οἱ πολὺ φίλτατος αὐτῇ,
Θεῖναι Ἀθηναίης ὠδὶ γόνασιν ἠϋκόμοιο,
Καὶ οἱ ὑποσχέσθαι δυοκαίδεκα βοῦς ἐνὶ νηῷ
Ἡνις ἠκέστας ἱερεύσεμεν. ἄλκη ἐλέησε
Ἀστυ τε, καὶ Τρῴων ἀλόχους, καὶ νήπια τέκνα,
Αἴκεν Τυδέος υἱὸν ἀπόσχῃ Ἰλιὸς ἱρῆς,
Ἄγριον ἀλκιμεδοντα, κρατερὸν μήστωρα φόβοιο,
Ὃν ῥ' φασι θεᾶς ἐξ ἔμμεναι. ἀλλ' ὄδε λίλαι
Μαίνεται, οὐδέ τις οἱ δώσειν μάχος ἰσοφαρίζειν.
Ὡς ἔφαθ'. Ἕκτωρ δ' οὔτι κακὸν ἀγνώτῳ ἀπίθησεν.
Αὐτίκα δ' ἐξ ὀχέων σὺν τεύχεσιν ἅλτο χαμᾶζε.
Πάλλων δ' ὀξέα δοῦρα, πολεμηδόκα χεῖρα φαάντῃ,
Ὤτρυνε μαχέσασθαι, ἔγειρε δὲ φύλοπιν αἰνήν.
Οἱ δ' ἐπιτροπάδην ἐλελίχθησαν, καὶ ἐφαντίοι ἔσαν Ἀχαιῶν.
Ἀργεῖοι δ' ὑπεχώρησαν, λῆξαν δὲ φόνοιο.
Φάν δέ τιν' ἀθανάτων ἐξ οὐρανοῦ ἀστερόεντος
Τρωσὶν ἀλεξήσοντα κατελθέμεν, ὣς ἐλέλιχθεν.
Ἕκτωρ δὲ Τρώεσσιν ἐκέκλετο μακρὸν ἀΰσας.
Τρῶες ἀμώμητοι, πολεμιστῆται ἐπίκουροι,
Ἀνέρες ἔσσε φίλοι, μνήσασθε δὲ θούριδος ἀλκῆς.
Ὄφρ' αὖ ἐγὼ βείω ποτὶ Ἴλιον, ἠδὲ γέρουσιν
Εἶπω βουλευτῆσι, καὶ ἠμετέρῃς ἀλοίοισι
Δαίμοσιν ἀρήσασθαι, ἑκατόμβας.
Ὡς ἄρα φωνήσας, ἀπέβη κορυθαίολος Ἕκτωρ
Ἀμφὶ δὲ μιν σφυρὰ τύπτε, καὶ ἀμφίγυα δ' ἔρεμα κελαινόν.
Ἄντυξ, ἣ ῥα μάτην θέεν ἀσπίδος ὁμφαλόεσσης.
Γλαῦκος δ' Ἱππολόχοιο παῖς, καὶ Τυδέος υἱὸς,
Ἐς μέσον ἀμφοτέρων στείτην μεμαῶτε μάχεσθαι.
Οἵδ' ὅτε δὴ ῥα σφέων ἔσαν ἐγγὺς ὁμιλαδὸν ἰόντες,
Τὸν πρότερος προσέειπε βοὴν ἀγαθὸς Διομήδης.
Τίς δὲ σύ ἐσσι φέριστε καταθνητῶν ἀνθρώπων;
Οὐ μὲν γάρ ποτ' ὀπωπα μάχῃ ἐνὶ κυδιανείρῃ
Τόφριν. ἀτὰρ μὲν νῦν γε πολὺ πρόβεβηκας ἁπάντων
Σῷ θάρσει. ὅτ' ἐμὸν δολιχόσκιον ἔγχος ἔμεινας.
Δυσηνορίῃ δέ τε παῖδες ἐμῷ μένει ἀντιόωσιν
Εἰ δέ τις ἀθανάτων γε κατ' οὐρανὸν εἰλήλαθας,
Οὐκ ἂν ἐγώγε θεοῖσιν ἐπουρανίοισι μαχοίμην,
Οὐ δὲ μάλ' ὀ δὲ Δρύαντος υἱὸς κρατερὸς Λυκόοργος
Δὴν ἦν. ὃς ῥὰ θεοῖσιν ἐπουρανίοισιν ἔριζεν.
Ὃς ποτε μαινομένοιο Διωνύσοιο τιθήνας
Σεύε κατ' ἠγάθεον Νυσήϊον. αἱδὶ δ' ἅμα πᾶσαι
Οὐδαλα χαμαὶ κατέχευαν ὑπ' ἀνδροφόνοιο Λυκόργου,
Θεινόμεναι βουπλῆγι, Διώνυσος δὲ φοβηθεὶς
Δύσεθ' ἁλὸς ἡ κῦμα. Θέτις δ' ὑπεδέξατο κόλπῳ
Δειδιότα, κρατερὸς γὰρ ἔχε τρόμος ἀνδρὸς ὁμοκλῇ.
Τῷ μὲν ἔπειτ' ἀδύσαντο θεοὶ ῥέα ζώοντες,
Καί μιν τυφλὸν ἔθηκε Κρόνου παῖς. ὀλίγος δ' ἦρ' ἔην ἀλλῷ
Ἦν, ἐπεὶ ἀθανάτοισιν ἀπήχθετο πᾶσι θεοῖσιν.
Οὐδ' αὖ ἐγὼ μακάρεσσι θεοῖς ἐθέλοιμι μάχεσθαι.
Εἰ δέ τις ἐσσι βροτῶν, οἱ ἀρούρης καρπὸν ἔδουσιν,
Ἆσσον ἰὼν, ὄφρα σφιν ὀλέθρου πείραθ' ἵκηαι.
Τὸν δ' αὖθ' Ἱππολόχοιο πεφασμένος φαίδιμος υἱὸς
Τυδείδη μεγάθυμε, τίη γενεὴν ἐρεείνεις;
Οἵη περ φύλλων γενεὴ, τοίηδε καὶ ἀνδρῶν.
Φύλλα τὰ μὲν τ' ἄνεμος χαμάδις χέει, ἄλλα δ' ἔθ' ὕλη

ἐλελίχθησαν.] συνεφάρησαν. λῆξαν.] ἐπαυσαν. φάν.] ὑπέθεσαν. ἀλεξήσοντα.] βοηθήσοντα. ἀνέρες.] νεῶν αὐδρῶν. ἐστὶ.] γίγνεσθε. βείω.] βῶ. κατὰ διαίρεσιν βέω, καὶ κατὰ πλεονασμὸν τοῦ ι. βάω, ὃ ἐστι πορεύθω. βουλευτῆσι.] βουληφόροις. ἐρύσσασθαι.] δύχεσθαι αὐτὸν. νῦν ὑπερφέρεται δὲ ἀσπίδος. πυμάτη.] ἐσχάτη. δίχα.] πορφύρεος. ἐκέκλετο.] συνέτεινε. ἄπωπα.] ἑώρακα. πρόβεβηκας.] προεπήλυδας, ὑπερβέβηκας. λυσιθύμου.] λυσιχώρου, ἀθλίου. ὃ δὲ γαρ ὁ Δρύαντος υἱὸς πρατόβιος Λυκόοργος.] Διόνυσος ὁ Διὸς καὶ Σεμέλης παῖς ἐν Κυβέλοις δὲ Φρυγίας ὑπὸ δὲ Ῥέας τυχὼν παραμυθίων, καὶ διαβὰς τὰς τελετὰς, καὶ λαβὼν παρὰ δὲ θεᾶς τὴν διασκευὴν, αὐτὰς πᾶσαν ἐφίετο τὴν γῆν χορείῳ τε καὶ τιμῇ, ἐτύγχανε προσχουμένων τῶν ἀνθρώπων. παραγενόμενον δὲ αὐτὸν γε τὴν Θρᾴκην, Λυκόοργος ὁ Δρύαντος ὑπέβασε, Ἥρας μέσει, μύωπα ἐπιλαύνει δὲ γῆς. καὶ παθάπτεται αὐτὸ τῶν τούτε τιθηνῶν. ἐτύγχανον γὰρ αὐτῷ συνοργιάζουσαι. διπλάτῳ ἢ πτιλαυνόμενον μάστιγι, τὸν δεῦρ ἐσπευδε τιμωρήσασθαι. ὃ ὑπὸ δείους εἰς τὴν θάλασσαν κατεδύσατο, καὶ ὑπὸ Θέτιδος καὶ Εὐρυνόμης ὑπεδέξατο, ὁ δὲ Λυκόοργος ἐν ἀμαθίᾳ ὑποκαμὼν ἐσθίων τὴν ἰδίαν αὐτοῦ σάρκα. ἀφηρέθη γὰρ τοὺς ἢ Διὸς τοὺς ὀφθαλμούς. δὲ ἱστορίας πολλοὶ ἐμνήσθησαν, προηγούμενος ἢ ὁ τὴν Εὐρωπίαν ποιήσας Εὔμηλος. μαινομένοιο.] μανιοποιοῦ, διὰ τὴν μίθημ. ὦν, τὸ χλωρὸν δίδωσι, τὸ χλωροποιόν. τιθήνας.] τροφὰς. σεῦε.] ἐλίωνεν. ἠγάθεον.] ἅγαν θεῖον. Νυσσήϊον.] τὴν λεγομένην Νύσαν. ἔρεμα δὲ λέγει δὲ Ὁράτιος νεῦσεν ἐν ἄλλοις Νησήϊον ἢ Δίωνύσου διαβολῇ. ἢ ἢ Νύσα ἐν μέσοις χώραις ὄρος ὡς ἐν Βοιωτίᾳ καὶ Θρᾴκῃ, καὶ Ἀραβίᾳ καὶ Ἰνδικῇ, καὶ Λιβύῃ, καὶ Νάξῳ, ὅπου ἢ πόλις ὡς ἐν Καρίᾳ, καὶ ἐν τῷ Καυκασίῳ ὄρει. ὅπου δὲ νῦσος ὡς ἐν Νάλῳ τῷ ποταμῷ. ἃ διεδήλωκε ἢ ὁ Ποιητὴς ἐν ποίᾳ Νύσῃ τὰ πρὸ τὴν Λυκούργου δίωξιν ἐγένετο. δύαται.] οἱ μὲν τὰς πλάτους. οἱ δὲ τὰς δύσεις, ὅτ' ἐστι βαπτισμὰς δράκας, ὅ ἐστι Διονυσιακὰ μυστήρια. ἔνιοι ἢ πάντα ποιοῦσι τὰ πρὸς τὴν τελετὴν. βουπλῆγι.] τῷ πτιλήσσοντι. ὅτι αὐτῷ τυπτόμενοι οἱ βόες ἀναιροῦνται. οἱ δὲ μάστιγι ἐπὶ ἐν βύρσαις γίγνεται. φοβηθεὶς.] ἐς φυγὴν τραπείς. ὁμοκλῇ.] ἀπειλῇ. ὀδύσαντο.] ὠργίσθησαν. ἐλώβησαν. ῥέα ζώοντες.] ῥᾳδίως καὶ ἀπόνως ζῶντες. ἀπήχθετο.] ἐμισεῖτο. ἔδωσιν.] ἐδίδουσι. ταχύτερον. πείρατα.] πέρατα. γενεὴν.] νῦν γένος. ὄρνιθες.] ὄρνιθες. χαμάδις.] χαμαί.

πολλοὶ μὲν γὰρ ἐμοὶ Τρῶες, λιλαιόμενοι ἐπίκουροι
Κτείνειν, ὃν κε θεός γε πόρῃ, καὶ ποσὶ κιχείω.
Πολλοὶ δ' αὖ Ἀχαιοὶ ὑμαρτέμεν, ὃν κε δύνωμαι.
Τοὔνεκα δ' ἀλλήλοις ἐπαμείψομεν, ὄφρα, καὶ οἵδε
Γνῶσιν, ὅτι ξεῖνοι πατρώιοι ἔνδυκόμεθ' εἶεν.
Ὣς ἄρα φωνήσαντε, καθ' ἵππων ἀΐξαντε,
Χεῖράς τ' ἀλλήλων λάβεσθην, καὶ πιστώσαντο.
Ἔνθ' αὖτε Γλαύκῳ Κρονίδης φρένας ἐξέλετο Ζεύς,
Ὃς πρὸς Τυδείδην Διομήδεα τεύχε' ἄμειβεν.
Χρύσεα χαλκείων ἑκατόμβοι' ἐννεαβοίων.
Ἕκτωρ δ' ὡς Σκαιάς τε πύλας, καὶ φηγὸν ἵκανεν,
Ἀμφ' ἄρα μιν Τρώων ἄλοχοι δέον, ἠδὲ θύγατρες
Εἰρόμεναι παῖδάς τε, κασιγνήτους τε, ἕτας τε,
Καὶ πόσιας. ὃδ' ἔπειτα θεοῖς εὐχωλὰς ἀνώγει,
Πάσας ἑξείης. πολλῇσι δὲ κήδε' ἐφῆπτο.
Ἀλλ' ὅτε δὴ ῥειὰμοιο δόμον πορικάλλὲ ἵκανε,
Ξεστῇσ' ἀιθούσῃσι τετυγμένον, αὐτὰρ ἐν αὐτῷ
Πῡτήκοντ' ἔνεσαν θάλαμοι ξεστοῖο λίθοιο,
Πλησίον ἀλλήλων δεδμημένοι, ἔνθα δὲ παῖδες
Κοιμῶντο ῥειάμοιο πάρ' μνηστῇς ἀλόχοισι.
Κερσὶν δ' ἑτέρωθεν ἐναντίοι ἔνδοθεν αὐλῆς,
Δώδεκ' ἔσαν τέγεοι θάλαμοι ξεστοῖο λίθοιο,
Πλησίοι ἀλλήλων δεδμημένοι, ἔνθα δὲ γαμβροὶ
Κοιμῶντο ῥειάμοιο πὰρ αἰδοίῃς ἀλόχοισιν.
Ἔνθα οἱ ἡ πόδωκυς ἐναντίη ἦλυθε μήτηρ,
Λαοδίκην δυάγουσα θυγατρῶν εἶδος ἀρίστην.
Ἔντ' ἄρα οἱ φῦ χειρί, ἔπος τ' ἔφατ', ἐκ τ' ὀνόμαζε.
Τέκνον, πῇ δὲ λιπὼν πόλεμον δρασσὼ εἰλύλαθας;
μάλα δή τέ σφισι δυσώνυμοι υἷες Ἀχαιῶν
Μαρνάμενοι πόδε ἄσυ, σεῦ δ' ἕνθάδε θυμὸς ἀνῆκεν,
Ἔλθόντ' ἐξ ἄκρης πόλιος Διὶ χεῖρας ἀνασχεῖν.
Ἀλλὰ μίν' ὄφρα κέ τοι μελιηδέα οἴνου ἐνείκω,
Ὡς σοὶ πατρὶ, καὶ ἄλλοις ἀθανάτοισι,
Πρῶτον ἔπειτα δέπᾱς ἠὲ σὺ αὖτος ὀνήσεαι, ἄλκι τ' ὀίνδα.
Ἀνδρὶ δὲ κεκμηῶτι, μύος μέγα οἴνοο ἀέξει.
Ὡς τοὶ ὑπεκμήκας ἀμύσαι δύνασαι ἑτάροισι.
Τὴν δ' ἠμείβετ' ἔπειτα μέγας κορυθαίολος Ἕκτωρ.
Μή μοι οἶνον ἄειρε μελίφρονα πότνια μῆτερ,
Μή μ' ἀκηχεμένον, μύος δ' ἀλκῆς τε λάθωμαι
Χερσὶ δ' ἀνίπτοισι Διὶ λείβειν αἴθοπα οἶνον,
Αἰδομαι, δείδιπα δὲ μὴ κελαινεφέϊ Κρονίωνι
Αἵματι, καὶ λύθρῳ πεπαλαγμένον ἔρχεσθαι.
Ἀλλὰ σὺ μὲν πρὸς νηὸν Ἀθηναίης ἀγελείης

Ἔρχεο

πωρήσῃ.] περιποιήσῃ, παράσχῃ. ἐπαμείψομεν.] ἀντὶ τοῦ ἀμείψομεν, καταλλάξωμεν. πιστώσαντο.] πίστεις ἐποιήσαντο ἀλλήλοις. ἑκατόμβοια.] ἑκατὸν βοῶν ἄξια. ἐννεαβοίων.] ἐννέα βοῶν ἄξια. κεκμηῶτι.] ὑπὸ τοῦ μέρους ἀπᾶν διεπαθοίωμι. Σκαιὰς.] Σκαιὰς πύλας τῆς Ἰλίου, ἔτω καλουμένας. ἐρόμεναι.] ἐρωτῶσαι. ἕτας.] ἑταίρους, συνήθεις, φίλους.

πᾶσας.] αὐτὶ τοῦ ὑπὲρ παίδων. πολλῆσι ἢ πάσῃ.] πολλαὶς ἢ κακὰ ἔβῃπτο.] πολλαὶ ἦσι πολλαὶ αὐτῷ ἐν κακώσει ἐγένοντο. ξεστῇς.] σὺ ἐξεσμέναις, σὺ κατεσκευασμέναις. ἀιθούσῃσι.] τοῖς τῶν καταλαμπομέναις ὑπὸ τοῦ Ἰλίου, ἢ αἴθουσαι διὰ τὸ αἴθεσθαι ἐν αὐταῖς φῶς ἢ χεμῶνος, ἢ διὰ τὴν ἢ ἡλίου βολήν. τετυγμένον.] κατεσκευασμένον. δεδμημένοι.] ὠκοδομημένοι. σημαίνει ἢ ἠσαν δεδαιμένοι.

μνηστῇς.] τοῖς ἐν μνηστείαις γεγαμημέναις. τέγεοι.] ὑπερῷοι. Ἡσίοδος.] ὕπεια ἠσὶ ὡραῖα. ἔτ' ἔσι πραυτικὰ δωρημένη κατὰ τὴν παιδοτροφίαν ἢ λαβοῦσα, ὡς Πολύδωρος. Λαοδίκην δυάγουσα.] αὐτὶ τοῦ πρὸς Λαοδίκην πορευομένη. ἔτυχε γὰρ πρὸς αὐτὴν ἐσελθεῖν βουλομένη.

δυάγουσα.] πορευομένη. τειρδοι.] κατακοπούσι. δυσώνυμοι.] κακώνυμοι. αὐῆκεν.] αὐέπεισεν. ἐξ ἄκρης πόλιος.] ἐκ τῆς ἀκροπόλεως. χεῖρας ἀνασχεῖν.] σὺξασθαι. μελιηδέα.] τὸν ἡδύν. ὀνήσεαι.] ὠφεληθήσῃ. πεκμηῶτι.] πεκοπιακότι. ἄξει.] αὔξει. ἑτάροισι.] πολίταις. ἄειρε.] πρόσφερε. μή μοι οἶνον ἄειρε μελίφρονα πότνια μῆτερ μή μ' ἀπογυιώσῃς.] ῥητέται ὡς ὥστε ἐναντία ἑαυτῷ ὁ Ποιητὴς λέγει. προσπὼν γὰρ αὐδηρὶ ἢ πεκμηῶτι μένος μέγα οἶνος ἄξει, νῦν ἐπάγει μή μ' ἀπογυιώσῃς μένος ἀλκῆς τε λάθωμαι. ἢ ἢν ὑπὸ πολλῶν λεγομένη λύσις τοῦ ῥητήματος, τοιαύτη. ὅτι ἕτερόν ἐστι τὸ πρόσωπον τοῦ Ἐνάβης, τὸ λέγον ὠφέλιμον εἶναι τὸν οἶνον. ἕτερον ἢ τὸ τοῦ Ἕκτορος, τὸ ἀρνούμενον. οὐδὲ ὄζῃ θαυμαστὸν ἡ παρὰ τῷ Ποιητῇ ἐναντίοι λέγονται λόγοι ὑπὸ διαφόρων. ὅσα μὲν γὰρ αὐτὸς ἀφ' ἑαυτοῦ ἠσὶ ὀξ ἰδίου προσώπου λέγῃ ὁ Ποιητὴς, ταῦτα δεῖ ἀνόλουθα εἶναι ἀλλήλοις, καὶ μὴ ἐναντία. ὅσα δὲ προσώποις περιτίθησιν, ὀκ αὐτοῦ ἐστιν, ἀλλὰ τῶν λεγόντων νοεῖται. ὅθεν καὶ ἐπιδέχεται πολλαχοῦ διαφωνίαν. ὥσπερ καὶ ἐν τούτοις. ἡ μὲν γὰρ ὀκ ἀλήθεια τὸν πάντα τοῦ ἀνθρώπου, ταύτης δὲ ἡ γνώμη. ὁ δὲ μάλιστα

ἢ μάλιστα ἐπιστάμενος, αὐτιλέγει ἐπεὶ ἠσὶ ἡ μὴ πρισβύτις ἴσως. χαίρει ἢ τῷ οἴνῳ ἡ ἡλικία αὕτη, ἐπιφελὴς γὰρ αὐτῇ ἐστι, θερμὸς ὢν ἠσὶ ὑγρὸς. ψυχρᾷ δὲ σῃ ἠσὶ ξηρᾷ, ἠσὶ αὐαρρώνυσιν αὐτόν. ὁ δὲ Ἕκτωρ νέος ἴσως ἠσὶ ἀκμαῖος. ἄμεινον δὲ ἔσιν ἐκεῖνο λέγειν ἠσὶ δεικνύειν ἑκάτερον τῶν ἀρημένων ἐχεσθαι λόγου. ἢ μὴ ἶναι ἐναντία τὰ περὶ τοῦ οἴνου λεγόμενα, ἐὰν σκοπῇ τις ὅτι ἀδὲ παντὸς πράγματος ὁ καιρὸς ἠσὶ τὸ μέτρον πολὺ ἀλλάττει. ὅτως ἠσὶ ὅτε τότε. τῷ μὲν γὰρ μέτρια πεπονηκότι πρὸς ἰσχὺν ὁ οἶνος συμφέρει. τὸν δὲ παῶν πεπαυκότα σφάλλει. ὅπερ συμβέβηκε τῷ Ἕκτορι. ὃ μόνον ὑπὸ τοῦ πολέμου, ἀλλὰ καὶ ὑπὸ τοῦ ἀρόμου τοῦ ἀδὲ τὴν πόλιν. ἄλλως τε ἠσὶ ὀλίγοις ὅλε νοῦς πω ἐγίγνετο. ἡ γὰρ τροφὴ σιὼ τῷ οἴνῳ τὸ πλέον εἰς αἷμα συμβάλλεται. ὥσπερ ἠσὶ ἀλλαχοῦ ἔφη ὁ Ποιητής. ὃς δέ κ' αὐτῷ οἴνοιο μεμυκόμενος ἠσὶ ἀλωλεῖῃς, αὐδράσιν ἀνσμενέεσσι παύηται μάχης. ὁ δὲ πολεμίζει, ἠσὶ τὰ λοιπά. ἴσως ἢ καὶ ἑτέρα λύσις τοῦ ῥητύματος καθ' ὑποβολὴν ὀνομαζομένου τιμῶν ὅτως. μή μοι οἶνον ἄειρε μελίφρονα πότνια μῆτερ. χρὴ δ' αὐτίποισι Διὶ λείβειν αἴθοπα οἶνον, ἄξεμαι. οὐδέ πη ὄζῃ κελαινεφέϊ Κρονίωνι Αἵματι καὶ λύθρῳ πεπαλαγμένον ἔρχεσθαι. μὴμ' ἀπογυιώσῃς μένος τ' ἀλκῆς τε λάθωμαι. ἵνα ὡς μὴ παύσωσι τὰς χεῖρας τὸν οἶνον σπένδοντες θεοῖς παρατεῖνται, μή τι ὀργήν τινα λάβοι παρὰ θεῶν διὰ τοῦτο. δυνατὸν ἢ ἠσὶ ὅτως λύειν τὸ ῥηθέν. ὅτι τὸ μένος μεχρὶς νοῆται. ἠσὶ ἀδὲ θυμὸς ἠσὶ ὀργῆς. ἠσὶ ἀδὲ δυνάμεως. ὁ δὲ σὺν Ἐκάβῃ φύσει τὸν ἀδώσαμον ἢ πίνοντος τὸν οἶνον αὔξειν λέγει. ὁ ἢ μαράνεσθαι τὸν ὀργὸν ἠσὶ τὸν θυμὸν ἢ πίνοντος λέγει ὑπὸ ἢ οἴνου. ὥστε μὴ πιεῖσθαι ἐναντίως. ἀπογυιώσῃς.] βλάψῃς μου τὰ μέλη. ἀποχολώσῃς. οἷον ἐκλύσῃς μου τὰ μέλη. ἔρχεο.] ἀπέρχου. σιὼ θυέεσι.] θυμιάμασι, μιτὰ θυσιῶν. ἀολλίσασα.] ἀθροίσασα. γῆρας.] τὰς ἐντίμους.

χαείσατο.] σὺεσθίσατο. ὑποσχέσθαι.] αὐτὶ τοῦ ὑπόσχῃ, ἢ ὁμολόγησον.

Πάρῳ μετελεύσομαι.] ἠσὶ παρὰ ἀποδύσομαι. γαῖαν χαύσει.] ἢ γῆ, ὡς χάσματος γενομένου ἐκατοπόθεν εἶναι. καταπείσει ἡ γῆ. ἔτρεφεν.] αὐέτρεφε.

τοῖο.] τότου. εἴδος ἴσω.] ἠσὶ ἄδηλον. ὀιζύος ἐκπλελαθέσθαι.] μόχθου καὶ πονοπαθείας. ἀ θεασάμενη αὐτὸν νικῶν, ὑπολάβοιμι αὖ αὐτὸν ἐκεῖνον ἐξ ὧσπερ ταλαιπορίας, ἵνα. καὶ γὰρ κατέληπται ὅτι μισεῖται. ὀιζύος ἐκπλελαθέσθαι.] ἤτοι τῶν ἐμῶν φρένα δὲ ἀτέρπου ὀιζύος ἐπιλαθέσθαι. ἀπὸ συθείας δὲ ἡ ἄτερπος ὀιζύς. ἢ ἔποιμι αἱ τῶν ἐμῶν φρένα ἄτε ὀιζύος ἔσαν. καὶ ἐπιλελῆσθαι ὥσπερ ταλαιπορίας. ἀτέρπου.] ἄτερ λύ. χωρὶς λύ. ἀτέρπε.] ἀκόδε, τέρψιν οὐκ ἐχούσης. μολοῦσα.] ἐλθοῦσα, πορευθεῖσα. ἀμφιπόλοισι.] λέλας. δὲ θάλαμον πεπόιντα.] ἐς τὸν θάλαμον τὸν τεθυμιαμένον. ἔρηται ἢ παρὰ τὸ πῦαι, ὅ ἐστι παῦσαι τὰ θυμιάματα. ἤγαγε Σιδονίηθεν ἐπιπλώς.] ἐκ δὲ Σιδῶνος ἤγαγεν ἐπιπλεύσας. κλέψας γὰρ τὴν Ἑλένην ἀπὸ Λακεδαίμονος, οὐκ ὢν ἤλθεν οἶδεν, οὐδ' τὸν κατ' εὐθεῖαν πλοῦν ἐπορεύθη. ἵνα μὴ διωχθεὶς καταληφθῇ. ἀλλ' ἔπλευσε διὰ δὲ Αἰγύπτου καὶ Φοινίκης. πάσεως οὖν διὰ δὲ Σιδῶνος, κἀκεῖθι γυναῖκας ἔξον ἔστιν εὑρεῖν, ἔλαβε δόπω λησόμενος. ἀνήγαγε.] τὸν εἰς τὴν Ἰλιον πλοῦν αἰεὶ ἄπλουν ἢ ἀνάγωγὸν ἔφησεν ὁ Ποιητής. σὺπατέρειαν.] ἐνδοξον κατὰ πατέρα. Διὸς γὰρ ἦν θυγάτηρ ἡ Ἑλένη. ἀειραμένη.] ἀείρασα. ποσὶ βήσασι.] τοῖς ἐνυφασμένοις ποσὶ βήμασι. ῥήματος.] ἐσχάτου. μετιησυάνδρου.] μετ' αὐτῶν ἄρμων. ἔδειμε.] ἀνέσχε.

Κισσὶς, ἄλοχος Αντήνορ☉ ἱπποδάμοιο.
Τὴν γὰρ Τρῶες ἔθηκαν Αθηναίης ἱέρειαν.
Αἰδὴ ὀλολυγῇ πᾶσαι Αθήνῃ χεῖρας ἀνέσχον.
Ἡδὴ ἄρα πέπλον ἑλοῦσα θεανὼ καλλιπάρηος,
Θῆκεν Αθηναίης ἀδῖ γόνασιν ἠϋκόμοιο.
Εὐχομένη δ' ἠρᾶτο Διὸς κούρῃ μεγάλοιο,
Πότνι' Αθηναίη ἐρυσίπτολι, δῖα θεάων,
Ἄξον δὴ ἔγχος Διομήδεος, ἠδὲ καὶ αὐτὸν
Πρηνέα δὸς πεσέειν Σκαιῶν πρὸ πάροιθε πυλάων,
Ὄφρά τοι αὐτίκα νῶϊ δυοκαίδεκα βοῦς ἐνὶ νηῷ.
Ἥνις ἠκέστας ἰοβοσκόμην, αἵ κ' ἐλεήσῃς
Ἄσυ τε, καὶ Τρώων ἀλόχους, καὶ νήπια τέκνα.
Ὣς ἔφατ' οὐχομένη. ἀνένευε δὲ Παλλὰς Αθήνη.
Ὡς δὲ μιν ἀρ' ὣ χοντο Διὸς κούρῃ μεγάλοιο.
Ἕκτορ δὲ πρὸς δόμον Αλεξάνδροιο βεβήκει
Καλὰ τά ῥ' αὐτὸς ἐτεύξε σὺν ἀνδράσιν, οἵ πού τ' ἄεισαν
Ἡσαν ἐνὶ Τροίῃ ἐυιβώλακι τέκτονες ἄνδρες,
Οἵ οἱ ἐποίησαν θάλαμον, καὶ δῶμα, καὶ αὐλήν.
Ἐγχύθι τε Πριάμοιο, καὶ Ἕκτορος ἦν πόλει ἄκρῃ.
Ἔνθ' Ἕκτωρ εἰσῆλθε Διῒ φίλος. ἦν δ' ἄρα χειρὶ
Ἔγχ☉ ἔχεν δεκάπηχυ. πάροιθε δὲ λάμπετο δ' ὀρέος
Αἰχμὴ χαλκείη. πολὺ δὲ χρύσεος θέε πόρκης.
Τὸν δ' εὗρ' ἠν θαλάμῳ πολυκαλλέα τεύχε' ἐποντα,
Ἀσπίδα, καὶ θώρηκα, καὶ ἀγκύλα τόξ' ἀφόωντα.
Ἀργείη δ' Ἑλένη μετ' ἄρα δμωῇσι γυναιξὶν
Ἧστο. καὶ ἀμφιπόλοισι περικλυτὰ ἔργα κέλευε.
Τὸν δ' Ἕκτωρ νείκεσσεν ἰδὼν ἀνιηροῖς ἐπέεσσι.
Δαιμόνι', ὄ μὴν, ἀλαλὰ χόλον τόνδ' ἐνθεο θυμῷ.
Λαοὶ μὲν φθινύθουσι πολὺ πρόλιν, ἀμφὶ τε τεῖχος
Μαρνάμενοι. σέο δ' εἵνεκ' ἀϋτὴ τε, πτόλεμός τε,
Ἄσυ τόδ' ἀμφιδέδηε. σὺ δ' ἄν μαχέσαιο, καὶ ἄλλῳ,
Εἴ τινά τ' ἀμθίδηε ἴδῃς συγῳδὸ πολέμοιο.
Ἀλλ' ἄνα. μὴ τάχα ἄστυ πυρὸς δηΐοιο θέρηται.
Τὸν δ' αὖτε προσέειπε Αλέξανδρος θεοειδής.
Ἕκτορ, ἐπεί με κατ' αἶσαν ἐνείκεσας, οὐδ' ὑπὲρ αἶσαν,
Τοὔνεκά τοι ἐρέω, σὺ δὲ σύνθεο, καί μευ ἄκουσον.
Οὔτοι ἐγὼ Τρώων τόσσον χόλῳ, οὐδὲ νεμέσσε
Ἤμυν' ἐν θαλάμῳ ἐθέλων δ' ἄχεϊ πεπτεραπέδηκα.
Νῦν δέ με πρὸς δόσ' ἄλοχος μαλακοῖς ἐπέεσσιν
Ὥρμησ' ὀτρύνουσα. δοκεῖ δέ μοι ὧδε, καὶ αὐτῷ
Λώϊον ἔσεσθαι. νίκη δ' ἐπαμείβεται ἀνδρας.
Ἀλλ' ἄγε νῦν ἐπίμεινον ἀρήϊα τεύχεα δύω,
Ἢ ἴθι. ἐγὼ δὲ μέτειμι κιχήσεσθαί σ' ἔσ' οἶω.
Ὣς φάτο, τὸν δ' οὔ πω προσέφη κορυθαίολος Ἕκτωρ.
Τὸν δ' Ἑλένη μύθοισι προσηύδα μειλιχίοισι.
Δᾶερ ἐμεῖο κυνὸς κακομηχάνο ὀπρυόεσσης,

Ὡς μ' ὄφελ' ἦματι τῷδε πρῶτον τέκε μήτηρ,
Οἴχεσθαι προφέρουσα κακὴ ἀνέμοιο θύελλα,
Εἰς ὄρος, ἢ εἰς κῦμα πολυφλοίσβοιο θαλάσσης,
Ἔνθά με λῦμα ἀπέρσε, πάρος τάδε ἔργα γένεσθαι.
Αὐτὰρ ἐπεὶ τάδε γ' ὧδε θεοὶ κακὰ τεκμήραντο,
Ἀνδρὸς ἑπέσθαι ὤφελλον ἀμείνονος ἔμπης ἀκοιτις,
Ὅς ῥ' ἤδη μέμεσίν τε, καὶ αἴσχεα πολλ' ἀνθρώπων.
Τόν γ' ὄφελ' ἔμπης ἄρ νῦν φρεσὶν ἔμπεδον, ὅττι ἄρ' ὀπίσσω
Ἔσονται. τῷ κέν μιν ἐπαυρήσειαθ' ὁμῶς,
Ἀλλ' ἄγε νῦν εἴσελθε, καὶ ἕζεο τῷδ' ἐπὶ δίφρῳ
Δᾶερ, ἐπεί σε μάλιστα πόνος φρένας ἀμφιβέβηκεν,
Εἵνεκ' ἐμεῖο κυνὸς, καὶ Αλεξάνδροο ἕνεκ' ἄτης,
Οἷσιν ἐπὶ Ζεὺς θῆκε κακὸν μόρον, ὡς καὶ ὀπίσσω
Ἀνθρώποισι πελώμεθ' ἀοίδιμοι ἐσσομένοισι.
Τὴν δ' ἠμείβετ' ἔπειτα μέγας λοφυθαίολος Ἕκτωρ,
Μή με κάθιζ' Ελένη φιλέουσά περ, οὐδέ με πείσεις.
Ἤδη γάρ μοι θυμὸς ἐπέσσυται ὄφρ' ἐπαμύνω
Τρώεσσ', οἱ μέγ' ἐμεῖο ποθὴν ἀπεόντος ἔχουσιν.
Ἀλλὰ σύγ' ὄρνυθι σῷδε, ἐπειγέσθω δὲ καὶ αὐτὸς,
Ὡς κεν ἐγὼν οἴκοθεν πόλιος καταμάρψω ἐόντας.
Καὶ γάρ ἐγὼν οἶκον δ' ἐλεύσομαι, ὄφρ' αὖ ἴδωμαι
Οἰκῆας, ἄλοχόν τε φίλην, καὶ νήπιον υἱόν.
Οὐ γάρ ἐτ' οἶδ' εἰ ἔπι σφιν ὑπότροπ☉ ἵξομαι αὖτις,
Ἢ ἤδη μ' ὑπὸ χερσὶ θεοὶ δαμόωσιν Αχαιῶν.
Ὡς ἄρα φωνήσας, ἀπέβη κορυθαίολ☉ Ἕκτωρ.
Αἶψα δ' ἔπειθ' ἵκανε δόμους εὖ ναιετάοντας.
Οὐδ' εὗρ' Ανδρομάχην λευκώλενον ἐν μεγάροισιν,
Ἀλλ' ἥγε σὺν παιδὶ, καὶ ἀμφιπόλῳ ἐϋπέπλῳ,
Πύργῳ ἐφεστήκει γοόωσά τε μυρομένη τε.
Ἕκτωρ δ' ὡς οὐκ ἐν ἔνδον ἀμύμονα τέτμεν ἄκοιτιν,
Ἔστη ἐπ' οὐδὸν ἰών, μετὰ δὲ δμωῇσιν ἔειπεν.
Εἰδ' ἄγε μοι δμωαὶ νημερτέα μυθήσαθε.
Πῇ ἔβη Ανδρομάχη λευκώλενο☉ ἐκ μεγάροιο,
Ἦε πῃ ὀν γαλόων ἢ εἰνατέρων ἐϋπέπλων,
Ἢ ὅν Αθηναίης ἁγοίχεται, ἔνθα περ ἄλλαι,
Τρωαὶ ἐϋπλόκαμοι δεινὴν θεὸν ἱλάσκονται.
Τόν δ' αὖ ὀτρυνὴ ταμίη πρὸς μῦθον ἔειπεν.
Ἕκτορ, ἐπεὶ μάλ' ἄνωγας ἀληθέα μυθήσασθαι,
Οὐτέ πῃ ὅν γαλόων, οὔτ' εἰνατέρων ἐϋπέπλων
Οὔτ' ὅν Αθηναίης ἁγοίχεται, ἔνθα περ ἄλλαι,
Τρωαὶ ἐϋπλόκαμοι δεινὴν θεὸν ἱλάσκονται,
Ἀλλ' ὧδε πύργον ἔβη μέγαν Ιλίου, ὄφρα κάκησε
Τείρεσθαι Τρῶας, μέγα δὲ κράτος ἔπλετ' Αχαιῶν.
Ἣ μὲν δὴ πρὸς τεῖχος ἐπειγομένη, ἀφικάνει,
Μαινομένῃ εἰκυῖα, φόβει δ' ἅμα πάσδε πεύθην,
Ἣ ῥα γυνὴ ταμίη, ὅδ' ἀπέσσυτο δώματος Ἕκτορ.

κισσὶς.] κισσίως δυνάτηρ θεανώ. ὀλολυγῇ.] μετὰ ὀλολυγμ. φωνῇ ἢ αὖ τη γυναικῶν, σὺν ομένων θεοῖς. ὄρυσίπτολι.] φυλάσσουσα τὴν πόλιν. ὀρύειν γὰρ τὸ φυλάσσειν. πόρπης.] ἱμάτιον, ὁ συνέχων τὸν σίδηρον πρὸς τὸ ξύλον ☉ δόρατος. θέε πόρπης.] πύπλωσε πορπίσετο.

πορὶ ἢ χρύσεος θέε πόρπης.] περιῆπε φησι χρυσᾶς πόρπης τὸ δόρυ. πόρπης ἢ ἐστιν ὁ δακτύλιος ☉ δόρατος. ὁ συνέχων τὸ σίδηρον πρὸς τὸ ξύλον. τοὺς ἐπόντας.] ἐπιμελουμένων ☉ ὅπλων. καλά.] καλῶς. ἀφόωντα.] ψηλαφῶντα ἢ λαμπρύνοντα. ἀ μὴ καλὰ χόλον τόν δ' ἐνθεο θυμῷ.] ἤτοι ἀ καλῶς νῦν τῶν ὀργὴν κατὰ ☉ Τρώων ἔχεις. ὅτι πρὸς σὲ λυπούμενοι παρεδίδουσι τῷ Μενελάῳ ἐβούλοντο ἀποδοῦναι ἑλοῦσ', ἀ ἢν καιρῷ ταύτην ποιῇ, ἢ ἀ καλῶς νῦν ὀργίζῃ, ὀργιζόμενος τοὺς Τρῶας ἀγανακτῶν ἱκατὰ σεῦ. μιθέντα.] ἀμελοῦντα. συγῳδὸ.] φρενῶ. ἀλλ' αὖα.] ἀλλ' αὐάσκηθι. δηΐοιο.] καυστικῦ. θέρηται.] ὀρμαίνηται. νῦν ἢ αὐτὶ ☉ καίπερ.

χόλῳ.] ὀργῇ. νεμέσσε.] μέμψις, μεμφόμενός τι, ἢ ἐγκαλῶν. ἄχεϊ.] ἀνίᾳ, καὶ συμφορᾷ. ἔθελον δ' ἄχεϊ προσβαπέσθαι.] διὰ τὴν λύπην ☉ δυσκοιλιάματος ἤθελον ἀποβαπτῶναι μικρὸν τῆ μάχης. ἢ ἤθελον διὰ τὴν ἥτταν λυπούμενος, μεῖναι καὶ καταπλυθῶναι. ἢ ἐβουλόμην ὑπὸ τῆ συμβάσης μοι λύπης ἐν τῆ ἥττης παραβροπήν τινα καὶ ψυχαγωγίαν, καὶ παραμυθίαν σύρῃν. ἐπαμύβετε.] ἀβ ἀμοιβῆς παραγίγνεται. μέτειμι.] μετελεύσομαι. κιχήσεσθαι.] καταλήψεσθαι. δᾶερ.] δαήρ, ἀνδρὸς ἀδελφός.

ἐμεῖο.] ἐμοῦ. κυνὸς.] ἀναιδοῦς. ὀπρυόεσσης.] τραχείας καὶ φρενῆ. καταστρέφει ἢ ἐς τὸ κακῆς καὶ ταλαιπόρου.

προφέρουσα.] προῤῥῶ φέρουσα. θύελλα.] ἀνέμου συστροφή. ἀπόρσειε.] ἀπὸ πνιξε τῷ ὕδατι. αὐτὰρ ἐπεὶ τά δ' ἐγ' ὧδε.] ἐπειδὴ ἢ ταῦτα ὕστερ. τεκμήραντο.] ἐβουλεύσαντο. ἢ ἐτελέωσαν. ἢ ἀς τέλ☉ ἄγαγον. ὤφελλον.] ὄφελον. αἴσχεα.] αἴσχη, ἀνειδίσεις ἄξια. ἐμπεδοι.] ἀσφαλῶς, βέβαιοι. ἐπαυρήσειαθ'.] ἐπιτυχεῖν, ἀπολαῦσαι, ἢ μεταλήψεσθαι. ἀοίδιμοι.] μετ' ᾠδῆς μνημονευόμενοι. ἀλιβόητοι. καὶ οἷον ἀειοιδόμενοι καὶ θαυμαζόμενοι. ποθή.] ἐπιζήτησις. ὀρνυθι.] παρώρμα. καταμάρψῃ.] καταλάβῃ.

οἰκῆας.] νῶϊ αὐτὶ ☉ οἰκέας. τὰς κατὰ τὴν οἰκίαν. ὑπότροπ☉.] ἢ ὑποστροφῆς αὐτὴν πυθῶς. ἵξομαι.] παραγενήσομαι. δαμόωσι.] δαμάσωσι. γοόωσα.] θρηνέσα. μυρομένη.] ὀδυρομένη, θρηνέσα. τέτμε.] κατέλαβεν, εἶδεν.

ἄλοχ.] βατέρα, βαθμὸν. σημαίνει ἢ κῆ τὴν ὁδὸν. ἀμωῆσι.] δέλεαρ. φέ' ἄγε.] ἄγε δή. γαλόων.] αὐδελφὸς ἀδελφῶν. ὁμοίως ἢ καὶ ἀδελφὸ γυνὴ γάλως λέγεται. ἑνατέρων.] ἑνατέρες καλοῦνται αἱ τ ἀδελφῶν γυναῖκες πρὸς αὐτὰς, οἷον Ελένη πρὸς Ανδρομάχην. ὄρνυθι.] ὄρσε σπεῦ, συσπόγγε. ταμίη.] προσάτις. ἀφικάνει.] παραγίγνεται, ἢ παραλαμβάνει.

Τῷ αὐτῷ ὁδὸν, ἄντις εὐκνημίδας κατ' ἀγυιάς,
Εὖτε πύλας ἵκανε διοχόμενος μέγα ἄστυ
Σκαιὰς, τῇ γὰρ ἔμελλε διέξιφα ποσὶ δέσθαι,
Ἐνθ' ἄλοχος πολύδωρος ἐφαντίη ἦλθε θέουσα,
Ἀνδρομάχη, θυγάτηρ μεγαλήτορος Ἠετίωνος,
Ἠετίων, ὃς ἔναιεν Ὑποπλάκῳ ὑλήεσσα,
Θήβῃ ὑποπλακίῃ, Κιλίκεσσ' ἀνδράσιν ἀνάσσων,
Τοῦ ῥ' ἄκοιτις ἔην χαλκοκορυστής Ἕκτωρ,
Ἣ οἱ ἔπειτ' ἤντησε, ἅμα δ' ἀμφίπολος κίεν αὐτῇ,
Παῖδ' ἄμα οἱ κόλπῳ ἐχέτην ἀπαλάφρονα, νήπιον αὔτως,
Ἕκτορίδην ἀγαπητὸν, ἀλίγκιον ἀστέρι καλῷ.
Τὸν ῥ' Ἕκτωρ καλέεσκε Σκαμάνδριον, αὐτὰρ οἱ ἄλλοι
Ἀστυάνακτ', οἷος γὰρ ἐρύετο Ἰλιον Ἕκτωρ.
Ἤτοι ὁ μὲν, μέδ' υσγε ἰδὼς ἐς παῖδα σιωπῇ,
Ἀνδρομάχη δὲ οἱ ἄγχι παρίστατο δακρυχέουσα.
Ἔνθ' ἄρα οἱ φῦ χειρὶ, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε.

Δαιμόνιε, φθίσει σε τὸ σὸν μένος, οὐδ' ἐλεαίρεις
Παῖδά τε νηπίαχον, καὶ ἐμὲ ἄμμορον, ἢ τάχα χήρη
Σεῦ ἔσομαι, τάχα γάρ σε κατακτανέουσιν Ἀχαιοὶ,
Πάντες ἐφορμηθέντες, ἐμοὶ δέ κε κέρδιον εἴη
Σεῦ ἀφαμαρτούσης, χθόνα δ' ὑμῶσαι, ὀ γὰρ ἔτ' ἄλλη
Ἔσσεται ἀλγεσιφρὴ, ἐπεὶ οὔ σύγε πότμον ἐπίσπες,
Ἀλλ' ἄχε, δόσε μοι ὀδὶ πατὴρ, καὶ πότνια μήτηρ.
Ἦ τοι γὰρ πατέρ' ἄμοι ἀπέκτανε δῖος Ἀχιλλεὺς,
Ἐκ δὲ πόλιν πόρσαν Κιλίκων εὖ ναιετάουσαν,
Θήβην ὑψίπυλον, κατὰ δ' ἔκτανεν Ἠετίωνα
Οὐ δέ μιν ἄρ γυμάριξε, σεβάσσατο γὰρ τόγε θυμῷ,
Ἀλλ' ἄρα μιν κατέκηε σὺν τεύχεσι δαιδαλέοισιν,
Ἠδ' οὐδὶ σῆμ' ἔχεεν, πόδε δὲ πτελέας ἐφύτευσαν,
Νύμφαι Ὀρεσιάδες κοῦραι Διὸς αἰγιόχοιο,
Οἵ δέ μοι ἑπτὰ κασίγνητοι ἔσαν ἐν μεγάροισιν,
Οἱ μὲν, πάντες ἰῷ κίον ἤματι Ἄϊδι εἴσω.
Πάντας γὰρ κατέπεφνε ποδάρκης δῖος Ἀχιλλεὺς,
Βουσὶν ἐπ' εἰλιπόδεσσι, καὶ ἀργεννῇσι ὀΐεσσι,
Μητέρα δ', ἣ Βασίλευεν Ὑποπλάκῳ ὑλήεσσῃ,
Τὴν ἐπεὶ ἄρ δεῦρ' ἤγαγ' ἅμ' ἄλλοισι κτεάτεσσιν,
Αψ ὅγε τὴν, ἀπέλυσε, λαβὼν ἀπερείσι' ἄποινα,
Πατρὸς δ' ἐν μεγάροισι βάλ' Ἀρτεμις ἰοχέαιρα.
Ἕκτορ, ἀτὰρ σύ μοι ἐσσὶ πατὴρ, καὶ πότνια μήτηρ,
Ἠδὲ κασίγνητος, σὺ δ' ἐμοὶ θαλερὸς θαλαμίτης.
Ἀλλ' ἄγε νῦν ἐλέαιρε, κὰδ αὖθι μίμν' ἐπὶ πύργῳ,
Μὴ παῖδ' ὀρφανικὸν θείης, χήρην τε γυναῖκα,
Λαὸν δὲ σῆσον παρ' ἐρινεόν, ᾗ θα μάλιστα
Ἄμβατός ἐστι πόλις, καὶ ἐπίδρομον ἔπλετο τεῖχος,
Τρὶς γάρ σφ' ἐλθόντες ἐπειρήσαντο οἱ ἄριστοι,
Ἀμφ' Αἴαντε δύω, καὶ ἀγακλυτὸν Ἰδομενῆα,

Ἠδ' ἀμφ'

Ἠδ' ἄμφ' Ἀτρεΐδας, καὶ Τυδεΐδ ἄλκιμον υἱόν.
Ἤπ τις σφιν γίγνωσκε θεοπροπέων ἐὺ εἰδὼς,
Ἦνυ κὰδ αὐτῷ θυμὸς ἐποτρύνει, καὶ ἀνώγει.
Τῷ δ' αὖτε πρόσεπτε μέγας λοφυθαίολος Ἕκτωρ,
Ἦ καὶ ἐμοὶ τά γε πάντα μέλει γύναι· ἀλλὰ μάλ' αὖως
Αἰδέομαι Τρῶας, καὶ Τρῳάδας ἑλκεσιπέπλους,
Αἴκε λαοὺς ὥς, νόσφιν ἀλυσκάζω πολέμοιο.
Οὐ δέ με θυμὸς ἄνωγεν, ἐπεὶ μάθον ἔμμεναι ἐσθλὸς
Αἰεί, καὶ πρώτοισι μετὰ Τρώεσσι μάχεσθαι,
Ἀρητῆρι πατρός τε μέγα κλέος, ἠδ' ἐμὸν αὐτοῦ.
Εὖ μὲν γὰρ τόδε οἶδα νόῳ φρεσὶν ἠδὲ καὶ θυμῷ,
Ἔσσεται ἦμαρ, ὅτ' ἂν ποτ' ὀλώλῃ Ἰλιος ἱρὴ,
Καὶ Πρίαμος, καὶ λαὸς ἐϋμελίω Πριάμοιο.
Ἀλλ' οὔμοι Τρώων τόσσον μέλει ἄλγος ὀπίσω,
Οὔτ' αὐτῆς Ἑκάβης ὅσσον τε Πριάμοιο ἄνακτος,
Οὔτε κασιγνήτων, οἵκῳ πολέες τε, καὶ ἐσθλοί,
Ἐν κονίῃσι πεσέοιεν ὑπ' ἀνδράσι δυσμενέεσσιν,
Ὅσσον σεῖ, ὅτε κέν τις Ἀχαιῶν χαλκοχιτώνων,
Δακρυόεσσαν ἄγηται ἐλευθέρου ἦμαρ ἀπούρας,
Καὶ κεν ἐν Ἄργει ἐοῦσα πρὸς ἄλλης ἰσοὺν ὑφαίνοις,
Καί κεν ὕδωρ φορέοις Μεσσηΐδος, ἢ Ὑπερείης,
Πολλ' ἀεκαζομένη, κρατερὴ δ' ἐπικείσετ' ἀνάγκη.
Καί ποτέ τις εἴπῃσιν ἰδὼν κῆ σ' ἄκρυ χέουσαν.
Ἕκτορος ἥδε γυνή, ὃς ἀεισθύεσκε μάχεσθαι
Τρώων ἱπποδάμων, ὅτε Ἰλιον ἀμφὶ μάχοντο.
Ὥς ποτέ τις ἐρέει, σοὶ δ' αὖ νέον ἔσσεται ἄλγος,
Χήτει τοιοῦδ' ἀνδρὸς ἀμύνειν δούλιον ἦμαρ.
Ἀλλά με τεθνειῶτα χυτὴ γαῖα καλύπτοι,
Πρίν δ' ἔτι σῆς τε βοῆς, σοῦ θ' ἑλκηθμοῖο πυθέσθαι.
Ὡς εἰπὼν, δ παῖς πρὸς κόλπον εὐζώνοιο τιθήνης,
Ἐκλίνθη ἰάχων, πατρὸς φίλα ὄψιν ἀτυχθείς,
Ταρβήσας χαλκόν τε ἰδὲ λόφον ἱππιοχαίτην
Δεινὸν ἀπ' ἀκροτάτης κόρυθος νεύοντα νοήσας.
Ἐκ δ' ἐγέλασσε πατήρ τε φίλος, καὶ πότνια μήτηρ.
Αὐτίκ' ἀπὸ κρατὸς κόρυθ' εἵλετο φαίδιμος Ἕκτωρ.
Καὶ τὴν μὲν κατέθηκεν ἀδὶ χθονὶ παμφανόωσαν.
Αὐτὰρ ὅγ' ὃν φίλον υἱὸν ἐπεὶ κύσε πῆλέ τε χερσὶν,
Εἶπε γ, ἐπεύξάμενος Διΐ τ', ἄλλοισί τε θεοῖσι.
Ζεῦ ἄλλοι τε θεοὶ, δότε δὴ καὶ τὸν δε γμῆ εὐδέα
Παῖδ' ἐμόν. ὡς καὶ ἐγώπωρ, ἀριπρεπέα Τρώεσσιν,
Ὧδε βίην τ' ἀγαθὸν, καὶ Ἰλίοι ἶφι ἀνάσσειν,
Καί ποτέ τις εἴπῃσι πατρὸς δ' ὄγε πολλὸν ἀμείνων,
Ἐκ πολέμου ἀϊόντα. φόροι δ' ὦ ἄρα βροτόεντα,
Κτείνας δῃΐου ἄνδρα, χαρείη δὲ φρένα μήτηρ.
Ὣς εἰπὼν, ἀλόχοιο φίλης ὦ χόρσιν ἔθηκε,
Παῖδ' ἑόν. ἦδ' ἄρα μιν κηώδεϊ δ' ἐξέπιε κόλπῳ,

Δακρύοεν

διεξίενται.] διεξιᾶσι. πολύδωρος.] ἤτοι πολλὰ δῶρα λαβοῦσα παρὰ τοῦ μνησαμένου, ἢ πολλὰ δῶρα ἐπενεγκαμένη τῷ ἀνδρὶ οἷα. Ἠετίων ὁ ἑναιεν Ὑποπλάκῳ ὑλήεσσ.] Γρανικός, οἱ ἦ Ἀβύδηνος, Ἀτράμυτος πελασγὸς τὸ γένος, ἀφίκετο ποτὲ ὑπὸ τὴν Ἀνιήν Ἰδην. καὶ πόλιν κτίσας ἐνταῦθα ἀφ' ἑωυτοῦ προσηγόρευσεν Ἀτραμύτειον. γεννήσας δ', θυγατέρα Θήβην τὸ ὄνομα. ποθὲν τὴν ἀνομάσθη γάμου τῷ ἀρισσύσαντι. Ἡρακλῆς δὲ κατ' ἐκεῖνο καιρὸν φανεὶς, ἔλαβε τὴν Θήβην γυναῖκα. ἢ κτίσας πόλιν ὑπὸ τὸ Πλάκιον καλούμενον ὄρος ἢ Κιλικίας, Πλακίαν Θήβην αὐτὴν ἀπὸ ἢ γυναικὸς ἐπάλεσεν. ἡ ἱστορία παρὰ Λιναιάρχῳ. Ὑποπλάκῳ.] ὑπὸ Πλακίῳ ὄρει ἢ Κιλικίας. ὑλήεσσ.] ὕλην ἔχουσ, συμφύτῳ τόπῳ, συνελινδρωμένη ὅτι πλήσιον ἦν Ἠετίων διὰ ἢ ἐπ' ἔτους, ἅπαν ὑλήεσσ. Κιλίκεσσι.] Κίλικας λέγει τοὺς τὰς Ὑποπλακίας Θήβας οἰκοῦντας. ἔχετο.] ἐγαμεῖτο. χαλκοκορυστής.] καθωπλισμένος. ἤντησεν.] ἀπήντησεν. ἀταλάφρονα.] ἀπαλάφρονα. ἀπαλὰ φρονοῦντα, ὅτ' ἐστὶ νήπιον. ἀνώνατον, ᾧ μὴ ὀνομένου τελοῦμεν κακοπαθείαν. Ἑκτορίδην.] Ἑκτορος ὑὸν Ἀστυάνακτα. ἀγαπητὸν.] μονογενῆ. ἀλίγκιον.] ὅμοιον. ὄρυτο.] ἔσωζεν, ἐφύλαττε. δαμόντες.] νικῶ γυναῖκες μακαρίτης· ἡ κατ' ἀφαίρεσιν μόνον. φθίσει.] φονεύσει, διαφθερεῖ. μένος.] νικῶ ἡ λύσαμις. ἀλ' ἐλεαίρεις.] ἀλ' ἐλεῇς. νηπίαχον.] νήπιον. ἄμμορον.] δύσμορον, ἀκαπόμερον. χήρη.] ὄρνιθος ἰδίως ἡ τάσσεται ἀδῆ ἢ τὸν ἄνδρα ἀποβεβληκυίας, καὶ ἀνάλογος. ἀφαμαρτόσῃ.] ἀποτυχόσῃ, ἀφαιρεθείσῃ. χθόνα λύμεναι.] ἀποθανεῖν. χθόνα.] τὴν γῆν. λύμεναι.] ἰκατικὴ θῆμα. θαλπωρὴ.] χαρὰ, ἡδονὴ, παραμυθία. ἀμὸν.] ἡμέτερον. κατέκηε.] κατέκαυσεν. ἐντεσιν.] ὅπλοις. λιαδὲς λίεσσι.] ποικίλοις, συμπεποικιλμένοις. σῆμα.] τάφον. πτελέας.] πτελέα ἢ ἐν Λέσβῳ. Ὀρεσιάδες.] αἱ ἐν τοῖς ὄρεσι διατρίβουσαι. ἰῷ ἤματι.] ἐν μιᾷ ἡμέρᾳ. ἐλεαίρεσκεν.] ἐλεεινὸς λίαν, ἐπιθετικῶς λέγει τὰς βδς. ὅτι ἐλίσσουσι τὸν πόδας κατὰ τὸν πορεύκν. πτοιάτεσσ.] πτήσσει. παρακοίτης.] αὐτῆς. ὀφρα πύθῃσ.] ὀρφανὸν. ὀρινεῖ.] ἀγρίαν συνιεῖ. ἄμβατος.]

ἄμβατος.] ἀναβασιμ ἔχουσα ὁδόν.
ἐπίδρομον.] ἢ ἐπιδρομὴς παῖ' ὅτι μ ἐπιδραμεῖν τὸν ὁδὸν κατερχόμενον τὸν ἀπὸ ἢ τείχους καὶ ἀναβῶναι τὸν αὐτόν.
ἑλκεσιπέπλους.] τὰς ἑλκυομένας τὸν πέπλους διὰ πενιρσίαν καὶ διὰ τὸ ἄχρι ἢ ποδῶν διήκειν καὶ ἐπὶ βάθος. κακὸς ὥς.] ὡς κακὸς. ἀλυσκάζω.] ἐκκλίνω, ἐκφεύγω. ὀλώλῃ.] ἀπόλυται. πρὸς ἄλλης.] ἐπ' ἄλλης, ἤτ' ἐστιν ἐπὶ ἀσπούνῃ. φορέοις.] φέροις. Μεσσηΐδος.] Μεσσηὶς κρήνη Θετταλική. Ὑπερείης.] ὑπέρεια κρήνη Ἄργους. Μεσσηὶς ἢ Ὑπερείης.] Μεσσηὶς καὶ Ὑπέρεια κρῆναι ἢ Πελοποννήσ. εἰ ἦ ἢ Λακωνικῆς. ἀεικαζομένη.] ἄεικα καὶ μὴ βιαζομένη, ἀχθομένη. ἀνάγκη.] αὐτὶ ἢ ἄγει τὶς αὐτ. χήτει.] στρήνῃ. σπανίζ. δήλωμα ἢ μαρ.] τὸν ἢ δηλίας χρόνον. χύτη.] ἢ ἐπιχεομένη τοῖς νεκροῖς γῆ. ἐλυθμοῖο.] ἐλυσμοῦ, ἀναπαυσμοῦ. ἔτ' ἐστιν αἰχμαλωσίας. ὠθείσαι.] ἀπῆσαι. αἰδαίεσθαι. ὀρέξατο.] ἀφίετο τὰς χεῖρας, ἢ ἐλάβετο.
ἰάχων.] κράζων. ἀτυχθείς.] ἐκπλαγείς, ἢ ταραχθείς· ἢ αἰλιπαθείς. ἱππιοχαίτην.] ἱππέας ἔχοντα τρίχας. ἀν.] τὸ ἑαυτ. νύσε.] κατεφίλησε. ὠΐξας.] ἀΰσας καλλέ, ἢ αὔξησιν. ἀριπρεπέα.] ἐκπρεπῆ, ἐπίσημον. ἔναρα.] τὰ ἀπὸ πολέμου λάφυρα. ἐναρίξῃ γ. φ δηλ τὸ φονεύσῃ. λιαπᾶτο καὶ οἱ νικηταὶ ἐνηρωι λέγονται. βροτόεντα.] ἐμαγμένα. βρότος γὰρ τὸ ἀπὸ ἢ φόνου αἷμα, ἢ ἐματωμένα.
κηώλῃ.] σὺν ὠλῇ.

δακρύοεν

λακηρύοιν γελάσασα.] μετὰ λακηρύων γελάσασα. ἀκαχίζεο.] ἄχθε, λυπῦ. ὑπὸρ αἶσαν.] παρὰ τὴν εἱμαρμένην.

προϊάψει.] προδιαφθορᾷ. πεφυγμένον.] πεφυγάτα. κόμιζε.] ἐν ἐπιμελείᾳ ἔχε. ἠλακάτην.] τὸ τῶν γυναικῶν ὄργανον ᾧ ἐργάζονται τὸ ὑφάσιον. λέγει δέ ποτε δ' τως ἡκὶ τὸ βέλος, ἐν τῷ συνθέτῳ ὀνόματι χρυσηλάκατος. σημαίνει γὰρ ἡκὶ τὴν χρυσᾶ βέλη ἔχουσαν Ἀρτεμιν. ἐνδροκαλιζομένη.] κατ' ὀλίγον ἢ συνεχῶς ἐπιστρεφομένη. δαλερόν.] θάλπον, λίγυρον, ἀκμαῖον. ναιετάοντδε.] κατοικοῦντας. γόωμ.] ἐγόωμ, ἐθρήνημ. προφυγόντα.] ἀντὶ τ ἀποφυγόντα. λήθυνεν.] ἐχρόνισεν, ἐβράδυνε. σεύατο.] ὥρμησεν. ὦ ὦρμα. ηραιπνοῖσι.] ταχέσι. ταπός.] ὁ ἐπὶ πολὺ χρόνον. ἀποσήσας.] ἄκνος ἢ φάσεως λαβών. τ ἐστιν ἁμα. κυρίως ἢ πᾶσαι αἱ φροὶ ἀποσᾶι καλέονται παρὰ τὸ ἵστασθαι τὰ σώματα φρεφόμενα ἐν ἄλλῳ ἠειρῶ. βέλτιον ἢ λυσχάσας ἐπὶ τῇ ἢ φάτνῃ σαύει, ψιλόν. λίπει ὑπ' ἀτάρ. ὑπ' ἢ διὰ πεδίς. κροαίνων.] ἐπιρρόμενος τοῖς ποσίν. ἢ ἐπιθυμῶν, ἢ χρεμετίζων.

σὺρρος ποταμοῖο.] λέπει ὕδατι, ἢ ποταμῷ ἕρμηνε τὸ τ ποταμῶ ὕδωρ. κυδιόων.] γαυριῶν, ἐπαιρόμενος. ὑψόθ.] ἐν ὕψει. ἀϊσσοντ'.] ὁρμῶνται, πονται. ἀγλαϊηφι.] τῷ κάλλει τ σώματος. ῥίμφα,] ῥαδίως, ταχέως. γῦνα.] γόνατα. ἤθεα.] τὰς συνήθεις τάπας. νομόν.] τὴν νομήν. διὰ τὸ νέμεσθαι. Πρυγάμοι ἄκρης.] ἢ ἀκροπόλεως ἢ Ἰλίου. ἢ ἐπικαλεῖτο Πέργαμος. ἰλλόντων.] ὁ Ἴλιος ἐπιθετικῶς. ὅτι ἀλίσκοις ὑμᾶς ποιεῖ ἀνίσταμένους ἐκ ἢ ποίτης. ἢ ὅτι λαμπρὸς, παρὰ τὸ ἴλλοντρον. καγχαλόων.] χαίρων.

σῦτι.] ὑνίκα. σχέψεσθαι.] σταφήσει. χώρης.] τ τόπε. δαήμεν.] ὁμίλησθαι. χώρ ἡ ὁμιλία. ἠθέλε.] προσφώνησις νεωτέρᾳ ἀδελφῇ φιλοφρονητικὴ πρὸς πρεσβύτερον κατὰ ζῆλον. ταῦτα ζηνὶς προσαγορευτικά. ὀδόποτε ἢ πειρίτινα αὐτάφησιν, ἀλλὰ πρός τινα. τέτλα φίλε. ἄτλα τροφέως. πάππα πατρός. ἠθέη ἀδελφῇ.

ἐασύμενον.] προθυμούμενον. κατερύκω.] κατέχω. ἐναίσιμον.] καθῆκον, πᾶσα ἢ αὐτὶ τ ἐναισίμως, καθηκόντως.

μεθέεις.] μεθιεμένως ἡκὶ ἀμελῶς διαπεσαι. ὄπιθεν.] μετὰ ταῦτα. κρατερὰ σήσασθαι ἐλεύθερον.] ὃν ᾠήσασι τῷ Διὶ ὑπὸ ἐλευθερίας ἰσχύει κρατερὰ οἱ τὸς πολεμίους ἀπωσάμενοι.

ΥΠΟΘΕΣΙΣ

ΟΜΗΡΟΥ.

Δακρύοιν γελάσασα. πόσις δ' ἐλέησε νοήσας.
Χειρὶ τε μιν κατέρεξε, ἔπος τ' ἔφατ' ἔκτ' ὀνομάζε,
Δαιμονίη, μή μοι τὰ λίην ἀκαχίζεο θυμῷ,
Οὐ γάρ τις μ' ὑπὲρ αἶσαν ἀνὴρ ἀΐδι προϊάψει.
Μοῖραν δ' ἴσθι πάντα φέφυγμένον ἐμμεναι ἀνδρῶν,
Οὐ κακὸν, ὅ τε πρῶτα γένηται. σοὶ δὲ μάλιστα, τοὶ Ἰλίῳ ἐγγεγάασιν.
Ὡς ἄρα φωνήσας, πόρυθ' εἵλετο φαίδιμος Ἕκτωρ
Ἵππουριν, ἄλοχος δὲ φίλη, οἶκον δὲ βεβήκει
Ἐντροπαλιζομένη. θαλερὸν δ' ἀπὸ δάκρυ χέουσα,
Αἶψα δ' ἔπειθ' ἵκανε δόμους εὖ ναιετάοντας,
Ἕκτορος ἀνδροφόνοιο. κιχήσατο δ' ἔνδοθι πολλὰς
Ἀμφιπόλους. τῇσιν δὲ γόον πᾶσησιν ἐνῶρσεν,
Αἱ μὲν ἔτι ζωὸν γόον Ἕκτορα ᾧ ἐνὶ οἴκῳ,
Οὐ γάρ μιν ἔτ' ἔφαντο ὑπότροπον ἐκ πολέμοιο
Ἰξέσθαι, προφυγόντα μιλος, καὶ χεῖρας Ἀχαιῶν.
Οὐ δὲ Πάρις δ' ἀθώων ἐν ὑψηλοῖσι δόμοισιν,
Ἀλλ' ὅγ' ἐπεὶ δὴ κλυτὰ τόξεα ποικίλα χαλκῷ,
Σεύατ' ἔπειτ' ἀνὰ ἄστυ ποσὶ κραιπνοῖσι πεποιθώς.
Ὡδ' ὅτε τις σταὸς ἵππος ἀκοστήσας ἀθῆ φάτνῃ
Δεσμὸν ἀρρήξας, θείῃ πεδίοιο κροαίνων,
Εἰωθὼς λέεσθαι εὐρρεῖος ποταμοῖο,
Κυδιόων, ὑψοῦ δὲ κάρη ἔχει, ἀμφὶ δ' ἄρ' ὦτα,
Ὦμοις ἀΐσσονται, ὅδ' ἀγλαΐηφι πεποιθώς.
Ῥίμφα δ' γόνατα φορεῖ μετάτ' ἤθεα, καὶ νομὸν ἵππων,
Ὡς υἱὸς Πριάμοιο Πάρις ἀπὸ Πέργαμον ἄκρην
Τυθείσι παμφαίνων, ὥστ' ἠλέκτωρ ἐβεβήκει,
Καγχαλόων, ταχέες δὲ πόδες φορέουσιν ἔπειτα
Ἕκτορα δῖον ἑταῖρον, ἐὺν τ' ἄρ' ἐμέλλε
Στρέψεσθ' ἐκ χώρης, ὅθι περ ἀγέρωχε γυναικί.
Τὸν πρότερος προσέειπεν Ἀλέξανδρος θεοειδὴς
Ἦθεῖ, ἦ μάλα δή σε καὶ ἐσύμενον ἐστορύκω,
Δηθύνων, ὃ δ' ἦλθον ᾠάσιμον ὡς ἐκέλευσθ.
Τὸν δ' ἀπαμειβόμενος προσέφη κορυθαίολος Ἕκτωρ,
Δαιμόνι, ὄκ ἄν τίς τοι ἀνὴρ, ὃς ᾠάσιμος εἴη,
Ἔργον ἀτιμήσειε μάχης, ἐπεὶ ἄλκιμός ἐσσι,
Ἀλλὰ ἑκὼν μεθίεις τε, καὶ ὄκ ἐθέλεις, τό δ' ἐμὸν λῦπ
Ἀχνυται ᾧ θυμῷ, ὅθ' ὑπὲρ σέθεν αἰσχέ' ἀκούω
Πρὸς Τρώων, οἵ ἔχασι πολὺν πόνον εἵνεκα σεῖο,
Ἀλλ' ἴομεν. τάδ' ὀπιδφ ἀρεσσόμεθ', αἴκε ποθι Ζεὺς,
Δώῃ ἐπουρανίοισι θεοῖς ἀειγενέτῃσιν,
Κρητῆρα σήσασθαι ἐλεύθερον ᾧ μεγάροισιν,
Ἐκ Τροίης ἐλάσαντδ ἐϋκνήμιδας Ἀχαιούς,

ΙΛΙΑΔΟΣ

ΥΠΟΘΕΣΙΣ ΤΗΣ Η ΤΟΥ ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

Ἑλένης συμβουλεύσαντος Ἕκτορι προκαλέσασθαι τ Ἑλλήνων τὸν ἄριστον εἰς μονομαχίαν. ἐνίκα δ' Αἴας ὁ Τελαμώνιος. καὶ γενομένων αὐτῶν ἀγωνισαμένων, διαλύσει κήρυκος, ἐσπέρας γενομένης, τῇ ὑ ἑξῆς τοὺς νεκροὺς σημεῖα ἐν αἰσίᾳ τ μελλόντων πάντων.

ΚΑΙ ΑΛΛΗ.

Ἕκτωρ σὺν Ἀλεξάνδρῳ τῷ ἀδελφῷ κατελθὼν εἰς τὴν μάχην, βοηθεῖ τοῖς Τρωσὶ πεπιεσμένοις ὕπὸ τῶν Ἑλλήνων τ ἀδελφῷ μανίτεως ὄντος. προκαλεῖ τὴ αὐτὸς, τὶς αὐτῷ βέλτιστος τ Ἑλλήνων μονομαχήσαι. πολλῶν ὑ προφερομένων, Αἴας ὁ Τελαμώνιος κληρωθεὶς, αὐθίστατο. μαχομένους ὑ αὐτὸς κήρυκες κατέπαυσαν. καὶ νὺξ διαλύει τὴν μάχην. καὶ οἱ μὲν ἀλλήλοις δῶρα διδόασιν. ἐπικηρυκευσαμένων δὲ Τρώων πρὸς νικηφόρων ἀναιρέσεως, τὰ αὐτὰ γίγνεται καὶ ἀμφοτέροις τοῖς στρατοῖς, οἱ ὑ Ἕλληνες πολυανδρίον κατασκευάζουσι. καὶ τάφρε τ ναυστάθμε.

ΙΛΙΑΔΟΣ Η ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

Ητα δ' Αἴας πολέμιζε μόνῳ μόνῳ Ἕκτορι λίῳ.

Σὲ πὸν, πολέων βξ ἔσυτο φαίδιμος Ἕκτωρ,
Τῷ δ' ἄμ' Ἀλέξανδρος κὶ ἀδελφεός. ὧν δ' ἄρα θυμῷ,
Ἀμφότεροι μέμασαν πολεμίζειν, ἠδὲ μάχεσθαι.
Ὡς δὲ θεὸς ναύτῃσιν ἐελδομένοισιν ἔδωκεν
Οὖρον, ἐπὶ κεκάμωσιν εὐξέσσης ἐλάτησι,
Πόντου ἐλαύνοντες, καμάτῳ δ' ὑπὸ γυῖα λέλυται.
Ὡς ἄρα τὼ Τρώεσιν ἐελδομένοισι φανήτην.
Ἐνθ' ἐλέτην ὁ μὲν, ὑφ' Ἀργείθοιο ἄνακτος,
Ἄρνη ναιετάοντα Μηνέδιον, ὃν κορυθάϊολος
Γείνατ' Ἀρνείθοος, καὶ Φιλομέδουσα Βοῶπις,
Ἕκτωρ δ' Ἠϊονῆα βαλὼν ἔγχει ὀξυόεντι
Αὐχῆν ὑπὸ σταφύλης ἐϋχάλκε. λῦσε δὲ γυῖα.
Γλαῦκος δ' Ἱππολόχοιο πάϊς, Λυκίων ἀγὸς ἀνδρῶν,
Ἰφίνοον βάλε δ' ἀρὶ ἡ κατόπισθε ὑσμίνης.
Δεξιὰ δ' ἰᾶλίμ, ἵππων ὠκυάλμυρον ὠκείων,
Ὦμον, ὅθ' ἔξ ἵππων χαμάδις πέσε. λῶπε δὲ γυῖα.
Τὸς δ' ὡς οὖν ᾠόησε θεὰ γλαυκῶπις Ἀθήνη,
Ἀργείοις ὀλέκοντας ᾠὴ κατόπιθε ὑσμίνη,
Βῆ ῥὰ κατ' ὀλύμποιο κάρηνων αἴξασα
Ἴλιον εἰς ἱερὴν, τῇ δ' αὖτιος ὦρνυτ' Ἀπόλλων
Πρυγάμε ἐκ παπτήν. Τρώεσσι δὲ βόλε νίκην.
Ἀλλήλοισι δὲ πᾶν συναντέδην πᾶς φηγῶ.
Τῷ πρότερ πρόσειπεν ἄναξ Διὸς υἱὸς Ἀπόλλων.
Τίπτε σύ δ' αὖ μεμαῶτα Διὸς θύγατερ μεγάλοιο,
Ἦλθες ἀπ' ὀλύμποιο, μεγας δὲ σε θυμὸς ἀνῆκεν;
Ἦ ἵνα δὴ Δαναοῖσι μάχης ἔτραλκέα νίκην,
Δῶς; ἐπεὶ ὄ πτοι Τρῶας ἀπόλλυμένους ἐλεαίρεις.

Ἀλλ'

ΣΧΟΛΙΑ ΕΙΣ ΤΗΝ Η. ΤΟΥ Ομήρε ραψωδίαν.

Κοῦροι δὲ κρατῆρας ἐπεστέψαντο ποτοῖο,
Νώμησαν δ' ἄρα πᾶσιν ἐπιξάμενοι δεπάεσσιν,
Αὐτὰρ ἐπεὶ σπεῖσαν τ', ἔπιον θ' ὅσον ἤθελε θυμός,
Ὡρμήθη ἐκ κλισίης Ἀγαμέμνονος Ἀτρεΐδαο,
Τοῖσι δὲ πολλ' ἐπέτελλε γερήνιος ἱππότα Νέστωρ,
Δωδέκατον δὲ ἕκαστον, ὀδυσσῆϊ δὲ μάλιστα
Πειρᾶν ὡς πεπίθοιεν ἀμύμονα Πηλείωνα.
Τὼ δὲ βάτην παρὰ θῖνα πολυφλοίσβοιο θαλάσσης.
Πολλὰ μάλ' εὐχομένω γαιήοχον Ἐννοσιγαίῳ,
Ῥηϊδίως πεπιθεῖν μεγάλας φρένας Αἰακίδαο,
Μυρμιδόνων ἐπί τε κλισίας, καὶ νῆας ἐκέσθην.
Τὸν δ' εὗρον φρένα τερπόμενον φόρμιγγι λιγείῃ,
Καλῇ, δαιδαλέῃ, ἐπὶ δὲ ἀργύρεος ζυγὸς ἦεν,
Τὴν ἄρ' ἔτ' ἀζόμενος πτολίπορθον Ἠετίωνος ἔλεσσας,

τὸ λικολλίζθαι. τῶν χρῆτ' ἐξ ἐναίρων.] ὡδ' ἀνῶως ἐκ λαφύρων ἀνατῆσθαι ἔφη τῶν λιθάκων. σύρόντα ὅν φησι παρελθὼν ὡς ἄμεσον ἀπρεπὲς ἦν. ηλέκα.] δόξας· παρὰ τὸ λιλίω, εἰσιδῆσι λιλήσεται. ἦσο.] καθέζετο. Δίγκμηνος.] ἐνδεχόμενος. Αἰακίδην.] ἢ Ἀχιλλέα, παζβωνυμικῶς. λήξειν.] παύσοιτο. πρωτέρω.] προσωτέρω, ἐνδοτέρω. ταφών.] ἐκπλαγεὶς, θαυμάσας· ἢ μεταφορὰ ἐκ τῶ τάφου. ηκεῖ γὰρ ἡμᾶς ὀρῶντες ἐκπλήττόμενα τὸ μέλλον δεινόν. αὐόρσῳ.] αὐώρμησον, αὐέστω. αὐτῇ σὺν φόρμιγγι λιπὼν ἦλθ'.] λαθέδραν. στιπτὸν ἢ μετὰ τὸ φόρμιγγι. ὡς ἐκπλῆξαι τ' Ἀχιλλέως ὀρᾶσθαι αὐλαπεπνευκότ' σὺν ἧ πιθάρᾳ. αὐτῇ σὺν φόρμιγγι. τὸ ὑμετέρον δίωκται ηκεῖ τοῖς αὖω ἢ τοῖς ἐξῆς ἀποδίδοσθαι. τότε αὐλαπνεύσας σὺν αὐτῇ τῇ πιθάρᾳ, ηκεῖ ἀπολιπόντα τὴν πιθάραν ἢ τὴν καθέδραν συναλλήσας. βάλιον ἢ τὸ πρότερον ὥστε τοῖς αὖω συνάπτεσθαι. θάασσεν.] ἐναθέρετο. ὡς αὕτως.] παραπλησίως δὲ, ὁμοίως. θεὰ νύμφη.] διεξιόμενος, φιλοφρονούμενος. ἢ φίλοι.] φίλοι δή. Ἀτθικοὶ ἐν προφωνήσει τιθέασι τὸν σὺν διασμόν. ἑαυτόν.] παραγίγνεσθε. σπουδὴ νῷ. ἀργιζομένῳ. κλισμοῖσι.] καθέδραις αὐλαπλίσεις ἐχούσαις. τάπησι.] μαλλῶ. τοῖς ὑφάσμασι. καθίσᾳ.] σὺ βρίπεσθε, ἑτοίμασθε. βωρύτρον.] βωτικὸν δρον, παρὰ τὸ βίεσθαι. πάρασθε.] πίνα. δίπας.] ποτήριον. ἔντυνον.] παρασκεύασον, σύγκρισιν. ὑπάσασιν.] ὑπελπλύθασιν, ἐνδον ἐσί. μελάθρῳ.] τῷ οἰκῳ. ἀπὸ ἢ μελάνεσθαι ὑπὸ ἢ καπνοῦ. ἱρῆιον.] πρωτόλοχον ἀγγεῖον λαβέσθαι.] κατέβαλε. διατέθηκεν. ἐν πυρὸς κῳῇ.] περιφρασσικῶς ἐν τῷ πυρί. νῶτον.] ψόαν, νωτιαῖον πρίας. ὠίονες.] λιπαρὸς, ἢ τελέως συός.] χοίρου. συάλοιο.] σύβαφος, λιπαρὸς. ῥάχιν.] νῶτον, ψόαν. ἐπεὶ κατὰ ἢ τὸ μέρος ῥαχίζονται. τεθαλῦαν.] θάλλουσαν, ἀκμάζουσαν. ἄλοιφῇ.] τῷ λίπει. ἔχεν.] ἐκράτει. φάσ.] αὐδῶ. σορίσας] κατασῴσας. ἰφύκτρῃσι ταύναν.] ὑπερήπλωσι. πάσατο δ' ἄλος θείοιο.] ἔπασε δὲ ἢ λίαν ἀσκηθέως ἢ λίκνιον. τὸς ἄλας, διὰ ἄσκηλα τηρᾶν τὰ ἀσθένεια. ἰρατευτάων.] ἢ βάσιμον. ὃ ἐστι ἢ λίθων. ἐφ' ὧν οἱ ὀβελίσκοι τίθενται ὀπτωμένων τῶν ἱερῶν. οἱ ἢ τῶν λαῶν ἢ ὀβελίσκων ἔπεμπεν ἱκανῶς. ἐπαίρας.] ἐπαίρας, σημήσας. ἓν ἐλεοῖσιν.] ὧδε ἢ μαγειρικῶν τραπεζίων. θασυντέων, ἀπὸ ἢ ἐλεῶν. ἢ ὅτι ἐξ ἐλεόνων ῥάβδων ἦσαν πεπλεγμέναι αἱ μαγειρικαὶ τράπεζαι. ἔχευαν.] ἀπὸ ἢ ὀβελίσκων ἔλκυσιν. ἐπένειμεν.] ἐπεμέρισεν, ἐπέθηκε. λαὸν νέοισι.] πλεκτοῖς, λαγισκίοις. νέμεν.] ἐπένειμεν, ἐπέδωκε. θῦσαι.] θυμιάσαι, ἀπαρξάσθαι. θυηλάς.] τὰς ἀπαρχάς. νοῦσ' Αἰας.] διεγνώσατο φησὶν ὁ Αἴας τῷ Φοίνικι. ἃ λιαρός ἐστι ἢ πρὸς Ἀχιλλέα λόγων. νόησε δ' Ὀδυσσεύς.] βητέον ἢ διατὶ προαρπάζει τὸν λόγον ὁ Ὀδυσσεύς. ῥητέον ἢ ὅτι ηκεῖ μάλα ἐπιτέως. δεδιὼς γὰρ ἂν ἐλπὶς πρεσπτυχόντων ἢ οἰκῳῶν αὐτ. ἐβούλετο ἢ προεκκινώσας τὸν ὀργὸν ἀσυμπάσαι τοῖς οἰκείοις παθεῖν τὸν Ἀχιλλέα.

πλησάμενος.]

Τῇ ὅγε θυμὸν ἐτόρπων, ἄειδε δ' ἄρα κλέα ἀνδρῶν,
Πάτροκλος δὲ οἱ οἷος ἐναντίος ἧστο σιωπῇ,
Δέγμενος Αἰακίδην ὁπότε λήξειεν ἀείδων.
Τὼ δὲ βάτην πεδόθεν, ἡγεῖτο δὲ δῖος Ὀδυσσεύς.
Στὰν δὲ πρόσθ' αὐτοῖο. ταφὼν δ' ἀόρσεν Ἀχιλλεὺς
Αὐτῇ σὺν φορμίγγι, λιπὼν ἕδος, ᾧθι θάασσεν.
Ὣς δ' αὖτως Πάτροκλος, ἐπεὶ ἴδε φαίδιμα, ἀνέστη.
Τὼ καὶ δεικνύμενος, προσέφη πόδας ὠκὺς Ἀχιλλεύς.
Χαίρετον, ἦ φίλοι ἄνδρες ἱκάνετον, ἦτοι μάλα χρειώ,
Οἵ μοι σκυζομένῳ περ, Ἀχαιῶν φίλτατοί ἐστον.
Ὣς ἄρα φωνήσας, προτόρω ἄγε δῖος Ἀχιλλεύς,
Εἵσσεν δ' ἐν κλισμοῖσι, τάπησί τε πορφυρέοισιν.
Αἶψα δὲ Πατρόκλοιο προσεφώνεεν ἐγγὺς ἐόντα.
Μείζονα δὴ κρητῆρα Μνοιτίου υἱὲ κάθισα,
Ζωρότερον δὲ κέραιρε, δίπας δ' ἐν ἑκάστῳ.
Οἱ γὰρ φίλτατοι ἀνδρῶν ἐμῷ ἔνδοθι κῆρι μελάθρῳ.
Ὣς φάτο. Πάτροκλος δὲ φίλῳ ἐπεπείθετ' ἑταίρῳ.
Αὐτὰρ ὅγ' ἱρεῖον μέγα κάββαλεν ἐν πυρὸς αὐγῇ.
Ἐν δ' ἄρα νώτοιο ἔθηκ' οἰός, καὶ πίονος αἰγός,
Ἐν δὲ συὸς σιάλοιο ῥάχιν τεθαλυῖαν ἀλοιφῇ. (λεύς.
Τῶ δ' ἔχεν Αὐτομέδων. τάμνων, δ' ἄρα δῖος Ἀχιλ-
Καὶ τὰ μὲν εὖ μίστυλλε, καὶ ἀμφ' ὀβελοῖσιν ἔπειρε,
Πῦρ δὲ Μνοιτιάδης δαΐων μέγα ἰσόθεος φώς.
Αὐτὰρ ἐπεὶ κῆρ πῦρ ἐνάη, καὶ φλὸξ ἐμαράνθη,
Ἀνθρακιὴν στορέσας, ὀβελοὺς ἐφύπερθε τάνυσσε.
Πάσατο δ' ἁλὸς θείοιο κρατευτύνων ἐπαείρας.
Αὐτὰρ ἐπεὶ ῥ' ὤπτησε, καὶ ἐν ἐλεοῖσιν ἔχευεν,
Πάτροκλος μὲν σῖτον ἐλών, ἐπέγειρε τραπέζῃ
Καλοῖς ἐν κανέοισιν. ἀτὰρ κρέα νεῖμεν Ἀχιλλεύς.
Αὐτὸς δ' αὐτίον ἷζεν Ὀδυσσῆος θείοιο,
Τοίχου τοῦ ἑτέροιο. θεοῖσι δὲ θῦσαι ἀνώγει,
Πάτροκλον δ' ἑταῖρον, ὅδ' ἐν πυρὶ βάλλε θυηλάς.
Οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα πρόκειμενα χεῖρας ἴαλλον.
Αὐτὰρ ἐπεὶ πόσιος, καὶ ἐδητύος ἄλτο θυμός,
Νῶϊν δ' Αἴας φοίνικι, νόησε δὲ θεῖος Ὀδυσσεύς.

Πλησάμενος

Πλησάμενος δ' οἴνοιο δέπας, δ' ἐδίδου ἑταίρῳ Ἀχιλῆϊ.
Χαῖρ' Ἀχιλλεῦ, δαιτὸς μὲν ἐΐσης ἀπὸ ὠδίδευσις
Ἢ μὲν γὰρ κλισίῃ Ἀγαμέμνονος Ἀτρεΐδαο,
Ἢ δὲ κεν γῶϊν θάδε νῶϊ. πέρα γὰρ μυθοειπέα πολλὰ
Δαίνυνθ'. ἀλλ' ὃ δαιτὸς ἐπηράστῳ ὄρνυ μεμυλῶν,
Ἀλλὰ λίην μέγα πῆμα διοτρεφὲς, ἀθρόωντες,
Δείδιμεν. ἐν δὴ σῇ δὲ φρεσὶ σῴζεμεν, ἢ ἀρκέσθαι
Νῆας ἐϋσταμνους, ἐμὲ μυσὶ σῶσαι ἀλκῇ.
Ἐγγὺς γὰρ νηῶν, καὶ τείχεος ὦλιν ἔθηντο
Τρῶες πτερόεντες, τηλεκλητοῖσ' ἐπίκουροι,
Κεκμήλοι πυρὰ πολλὰ ἰδόντ. στρατὸν. δὲ ἔπι φασὶν
Σχήσεσθ', ἀλλ' ἐνὶ νυσὶ μελαίνῃσι πεσέεσθαι.
Ζεὺς δὲ σφιν Κρονίδης ἐνδέξια σήματα φαίνων
Ἀστράπᾳ. Ἕκτωρ δὲ μέγα σθένει βλεμεαίνων,
Μαίνεται ἐκπάγλως πίσυνος Διΐ. δὲ τι πέρα
Ἀνέρας, δὲ θεὸς, κρατερὴ δὲ ἐ λύσας δ' ἐνίκησε.
Ἀρᾶται δὲ τάχιστα φανήμεναι ἠῶ δῖαν.
Στεῦται γὰρ νηῶν ἀκρωτήρι ἄκρην κόρυμβα,
Αὐτὰς τ' ἐμπρήσειν μαλερῷ πυρὸς. αὐτὰρ Ἀχαιοὺς
Δηώσειν πρὰ τῇσιν ὀρινομένους περὶ καπνῷ.
Ταῦτ' μνῶς δείδοικα ἢ φρεσὶν, μή οἱ ἀπειλὰς
Ἐκτελέσωσι θεοὶ, ἡμῖν δὲ δὴ αἴσιμον εἶναι
Φθίσθαι ἐνὶ Τροίῃ, ἑκὰς Ἀργεος ἱπποβότοιο.
Ἀλλ' ἄνα, εἰ μεμονάς γε, καὶ ὀψέπρ ὔιας Ἀχαιῶν
Τειρομένους ἐρύεσθαι πρὸ Τρώων ὀργυιασθόν.
Αὐτῷ τοι μετόπισθ' ἄχος ἔσσεται, δὲ τι μὴχ
Ῥεχθέντος κακὸς ἔς' ἄπο εὑρεῖν. ἀλλὰ πολὺ πρίν
Φράζεο, ὅπως Δαναοῖσιν ἀλεξήσεις κακὸν ἦμαρ.
Ὦ πέπον, ἦ μὴν Οἱ γε πατὴρ ἐπετέλλετο Πηλεύς
Ἤματι ᾧῳ, ὅτε σ' ἐκ φθίσης Ἀγαμέμνονι πέμπε.
Τέκνον ἐμόν. κήδεσθ γὰρ Ἀθηναίη τε, καὶ Ἥρη
Δώσουσ', ἀλκὴ ἐθέλωσι, σὺ δὲ μεγαλήτορα θυμόν
Ἰσχειν ἐν στήθεσσι, φιλοφροσύνη γὰρ ἀμείνων,
Λυγρὸν ἐμφυαι δ' ἐριδος κακομηχάνου, ὄφρα σε μᾶλλον
Τίωσ' Ἀργείων ἡ μὲν νέοι, ἠδὲ γέροντες.
Ὡς ἐπέτελλ' ὁ γέρων, σὺ δὲ λήθεαι. ἀλλ' ἔτι καὶ νῦν
Παῦε, ἔα δὲ χόλον θυμαλγέα, Οἷσί' Ἀγαμέμνων
Ἄξια λῶρα δίδωσι μεταλλήξαντι χόλοιο.
Εἰ δὲ σὺ μὲν μοὶ ἄκουσον, ἐγὼ δέ κέ τοι κατὰ λέξω,
Ὁσσά τοι γῶϊ κλισίῃσιν ὑπέσχετο δῖος Ἀγαμέμνων
Ἐπ' ἀπούρας πρίποδας, δέκα δὲ χρυσίο τάλαντα,

Αἰθωνας

πλησάμενος.] πλησθεὶς γεμίσας. δαίδικτο.] ἐδαίετο. ἕϊσις] ἡ ἰσομοίρα. ἢν ἐπιδησύσεις,] ἢν ἐνδήσῃς ἄ. ἢ ἐνὶ λιλισίῃ Ἀγαμέμνονος.] διατί ἢ ἐχθρὸν ὄντως ὠνόμασε προπετῶς δ' προσθραπσύσας· ῥητέον ἢν ὅτι ὄντι ἐνδεεστέρᾳ ἢ Ἀχιλλεῖ, ὅτι πρότερον ὑβρίσας ἐκείνης ἐδεήθη. ἢ πάντων ῥητορικὸς ἀεὶ ἢν ὡς φιλίαν ἀμφοτέρως ἄγει. ηκεῖ τῇ βασίλῃ δυσωπῶν ἢ μόνον δ' τὸ λέγων. ὡς ὁμόσιτ ἢ αὐτῷ δὲ ὑμῶν γεγένησαι. καὶ γὰρ ἐκ γένου ἢ σοῦ μετισχήκαμεν βασιλῆς. παρὰ γάρ.] παρίστι γάρ. μυθοειπέα.] τῷ μένει ὄντα. αὐτάρκη. ἐκπράστῳ.] ἐπορᾶστῳ, καλῶς, ὑδίᾳς. ἐν δοιῇ.] ἐν διχοστασίᾳ. δύσεαι ἀλκήν.] αὐαλέᾳ τὴν δύναμίν σου. ηκεῖ καθέλῃς ὡς τὸν πόλεμον βουλήσῃ. αὐλιν ἔθηντο.] τὸν αὐλισμὸν ἐποιήσαντο, ἐστρατοπέδευσαν. ηκάμοντι.] κακύσαντες. σχήσεσθαι.] καθέξειν, αὐτισῆναι. πεσέεσθαι.] ἐμπεσοῦμ. ἐνδέξια.] ἀγαθὰ. φαίνων.] φανερὰ ποιῶν. βλεμεαίνων.] διὰ ἢ βλέμματος αὐτ. προθυμίαν ἐπισεικνύμενος. πίσυνος Διΐ.] πεποιθὼς τῷ Διΐ. θαρρῶν. δέλετι τίει.] ἐ τιμᾷ, λόγων ἐ ποιεῖται. λύσας] μανίαν. δέος δυνῃ.] ὑπεισῆλθεν, ἔχει. ἀμφ' ἄτας.] σύχεται. σοῦται.] διαβεβαιοῦται, ὑπισχνῆται. ἄνερα πόρυμβα.] τὰ ἢ νεῶν ἀκροστόλια. διατί δέ φησι πρῶτον ἀποπόπτει ἐὰ ὅτως τὸ πῦρ ἐμβάλλει. ἐπειδὴ ὅπ τῶν ἀκροστολίων ἦσαν ἀγάλματα ηκεῖ ἐκόνες τῶν θεῶν. ἐκκλίνων ἔν τῶν τῶν θεῶν ὀργὴν τοῦτο ποιεῖ. ἐμπρήσειν.] καύσειν. μαλοροῦ.] μαραντικὸ, φθαρτικοῦ. δηώσειν.] αὐτελῆν, φονεύσειν. εἰτυζομένους.] ἐκπεπληγμένους, τεταραγμένους. αἴσιμον.] πεπρωμένον. εἱμαρμένον. φθίσθαι.] λιαφθαρῆναι. ἀλλ' αἶα.] ἀλλὰ αὐαίσηθι, ἀποκοπὴ ὁ τρόπος. ἀ μέμονας.] σπουδὴν προθυμῇ. ὀρύεσθαι.] ῥύεσθαι, σώζειν. μῆχος.] μηχανήματα, τέχνασμα. ἄπος.] ἴαμα. οὐδέ τι μῆχος ῥεχθέντος γε λακὸ ἐσ' ἄπος σίρῃς.] ἀμύχανον ἢ λοιπὸν μετὰ τὸ πραχθῆναι τὸ κακὸν ὀβραπέαν σίρῃν αὐτ. ἀλεξήσεις.] βοηθήσεις. τένον ἐμόν.] προσληπτέον, τὰ δὲ λέγων. λαρτὸς.] δύναμιν. ἴσχειν.] ἐπέχειν. παύειν. φιλοφροσύνη.] φιλοφρόνησις, φιλία. λυγρὸν.] λύγειν, παύεσθαι. κακομηχάνου.] κακὰ ὀλυμένης. θυμαλγέα.] ἢ πὶν ψυχὴν λυπεῖντα, χαλεπόν. μεταλλήξαντι χόλοιο.] παυσαμένῳ ἢ ὀργῆς. καταλέξω.] κατὰ σημῆσαι. ἀπύχθετο.]

Αἴθωνας δὲ λέβητας ἐείκοσι σώλενά δ' ἵππους
Γηγενὲς ἀθλοφόρους, οἱ ἄεθλια ποσσὶν ἄροντο.
Οὔκουν ἀλλήϊ γε εἴκων ἀνὴρ ὧ τόσσα γάνοιτο,
Οὐ δέ κεν ἰκτήμων ἐρικυδέος χρυσοῖο,
Ὅσσ' Ἀγαμέμνονι ἵπποι ἀέθλια ποσσὶν ἄροντο.
Δώσει δ' ἑπτὰ γυναῖκας ἀμύμονας, ἔργ' εἰδυίας,
Λεσβίδας, ἃς ὅτε Λέσβον ἑὺκτιμένην ἕλες αὐτός,
Ἔξελεθ', αἳ τότε κάλλει γείκων φῦλα γυναικῶν.
Τὰς μέν τοι δώσει, μετὰ δ' ἕσσεται, ἣν τότ' ἀπήνρα
Κόρην Βρισῆος, καὶ ὦν μέγαν ὅρκον ὀμεῖται
Μήποτε βὴ εὐνῆς ὀπιβήμεναι, ἠδὲ μιγῆναι,
Ἠ θεμις ἐσὶν ἀνάξ, ἠτ' ἀνδρῶν, ἠτε γυναικῶν.
Ταῦτα μὲν αὐτίκα πάντα παρέσσεται. εἰ δέ κεν αὖτε
Ἄλλα μετ' Ἀργείην Ἑλένην, κάλλισται ἐουσῶν
Νῆας ἅλις χρυσοῦ, καὶ χαλκοῦ νηήσασθαι
Εἰσελθὼν, ὅτε κεν δατεώμεθα λητίδ' Ἀχαιοί.
Τρωϊάδας δὲ γυναῖκας ἐείκοσιν αὐτὸς ἑλέσθω,
Αἵκε μετ' Ἀργείην Ἑλένην, κάλλισται ἔασιν.
Εἰδίεκεν Ἀργος ἰκοίμεθ' Ἀχαϊκὸν ἔθαρ ἀρούρης,
Γαμβρὸς κεν οἱ ἔοις, τίσει δέ μιν ἶσον Ὀρέστῃ,
Ὅς οἱ τηλύγετος τρέφεται θαλίῃ ἐνὶ πολλῇ.
Τρεῖς δὲ οἱ εἰσὶ θύγατρες ἐνὶ μεγάρῳ εὐπήκτῳ,
Χρυσόθεμις, καὶ Λαοδίκη, καὶ Ἰφιάνασσα.
Τάων, ἥνκ' ἐθέλησθα φίλην ἀνάεδνον ἄγεσθαι
Πρὸς οἶκον Πηλῆος. ὅδ' ὤν τ' ὠπιμέλια δώσει
Πολλὰ μάλ', ὅσσ' ἄπω τις ἐὴν ἐπέδωκε θυγατρί.
Ἑπτὰ δέ τοι δώσει εὐναιόμενα πτολίεθρα,
Καρδαμύλην, Ἐνόπην τε, καὶ Ἱρὴν ποιήεσσαν,
Φηράς τε ζαθέας, ἠδ' Ἀνθειαν Βαθύλειμον,
Καλήν τ' Αἴπειαν, καὶ Πήδασον ἀμπελόεσσαν.
Πάσαι δ' ἐγγὺς ἁλὸς νέαται Πύλου ἠμαθόεντος,
Ἐνδ' ἄνδρες ναίουσι πολύρρηνες, πολυβοῦται,
Οἵ κέ σε δωτίνῃσι θεὸν ὡς τιμήσουσιν,
Καί τοι ὑπὸ σκήπτρῳ λιπαρὰς τελέσουσι θέμιστας.
Ταῦτα κέ τοι τελέσειε μεταλλήξαντι χόλοιο.
Εἰ δέ τοι Ἀτρεΐδης μὲν ἀπήχθετο κηρόθι μᾶλλον
Αὐτὸς, καὶ τοῦ δῶρα, σύ γ' ἄλλους περ παναχαιοὺς
Τειρομένους ἐλέαιρε κατὰ στρατόν, οἵ σε θεὸν ὡς,
Τίσσουσ', ἦ γάρ κε σφι μάλα μέγα κῦδος ἄροιο.
Νῦν γάρ χ' Ἕκτορ' ἕλοις, ἐπεὶ ἂν μάλα τοι χεδὸν ἔλθῃ
Λύσσαν ἐλῶν ὀλοὴν, ἐπεὶ ὃ τινά φησιν ὁμοῖον
Οἵ ἔμμεναι Δαναῶν, ὃς φθάδε νῆας φέεικαν.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλ-
Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ, (λεύς
Χρὴ μὲν δὴ τὸν μῦθον ἀπηλεγέως ἀγορεῦσαι.
Ἦ γὰρ δὴ φρονέω τε, καὶ ὡς τετελεσμένον ἔσται,

ἀπήχθετο.] ἐμισήθη. κηρόθι ἐκ ψυχῆς. παναχαιὸς.] παύτας τὸς Ἕλληνας. ἀπηλεγέως.] ἀποτόμως, σκληρῶς, ἢ ἀπαγορευτικῶς, κωλυμένως. ἀποειπῇν.] ἀπαρνήσασθαι. ὅπερ.] ὡς, καθάπερ. ἦ γὰρ δὴ φρονέω τε.] γνώφιτα καὶ πρανέως, ἵν' ᾖ τελεώσω. τρύπατε.]

Ὡς μὴ μοι τρύζητε παρήμενοι ἄλλοθεν ἄλλος.
Ἐχθρὸς γάρ μοι κεῖνος ὁμῶς Ἀΐδαο πύλῃσιν,
Ὅς χ' ἕτερον μὲν κεύθει ἐνὶ φρεσὶν, ἄλλο δὲ εἴπῃ.
Αὐτὰρ ἐγὼ ἐρέω, ὥς μοι δοκεῖ ἔμμεν ἄριστα.
Οὔτέ μέ γ' Ἀτρεΐδην Ἀγαμέμνονα πείσεμεν οἶω
Οὔτ' ἄλλους Δαναοὺς ἐπὶ κἀρ ἅπα τις χάεις ἅπτῃ,
Μάρναδαι ἀζηοῖσι μετ' ἀνδράσι νωλεμὲς αἰεί.
Ἴση μοῖρα μένουσι, κἠν εἰ μάλα τις πολεμίζοι.
Ἐν δ' ἰῇ τιμῇ ἠ μὲν πανὸς, ἠδὲ καὶ ἐσθλὸς
Κάτθαν' ὁμῶς ὅτ' ἀρηγὸς ἀνὴρ, ὅτε πολλὰ ἐωργώς.
Οὐ δέ τιμοι πρίκειται. ἐπεὶ πάθον ἄλγεα θυμῷ,
Αἰεὶ ἐμὴν ψυχὴν παραβαλλόμενος πολεμίζειν.
Ὡς δ' ὄρνις ἀπήνῃσι νεοσσοῖσι προφέρῃσι
Μάσσηι ἐπείκε λάβῃσι, πανὼς δ' αὖ αἱ τέλεια ἀνῆκε·
Ὡς καὶ ἐγὼ, πολλὰς μὲν ἀϋπνους νύκτας ἴαυον,
Ἤματα δ' αἱματόεντα διέπρησσον πολεμίζων,
Ἀνδράσι μαρνάμενος ἀρῶν ἕνεκα ὀφρηράων.
Δώδεκα δὴ σὺν νηυσὶ πόλεις ἁλάπαξ' ἀνθρώπων.
Πεζὸς δ' ἓνδεκά φημι κατὰ Τροίην ἐείδειν.
Τάων ἐκ πασέων, κειμήλια πολλὰ, καὶ ἐσθλὰ
Ἐξελόμην. καὶ τὰ μὲν Ἀγαμέμνονι δόσκεν
Ἀτρεΐδῃ. ὃς δ' ὄπιθε μέλαν πὰρ νηυσὶ θοῇσι,
Δεξάμενος ὀλιγάπαξ ἀσπάσκετο. πολλὰ δ' ἔχεσκε,
Ἄλλα δ' ἀρεϊσήεσσι δίδοι γέρα καὶ βασιλεῦσι.
Τοῖσι μὲν ἔμπεδα κεῖται. ἐμοῦ δ' ἀπὸ μοῦνο Ἀχαιῶν,
Εἶλετ', ἔχει δ' ἄλοχον θυμαρέα, τῇ πάρ ἰαύω,
Τερπέσθω. τί δὲ δεῖ πολεμίζεμεναι Τρώεσσιν
Ἀργείους; τί δὲ λαὸν ἀνήγαγεν ἐνθάδ' ἀγείρας
Ἀτρείδης. ἢ οὐχ Ἑλένης ἕνεκ' ἠϋκόμοιο;
Ἠ μοῦνοι φιλέουσ' ἀλόχους μερόπων ἀνθρώπων
Ἀτρείδαι; ἐπεὶ † ὅς τις ἀγαθὸς, καὶ ἐχέφρων,
Τὴν αὐτὴν φιλέει, καὶ κήδεται. ὡς καὶ ἐγὼ τὴν,
Ἐκ θυμοῦ φίλεον, δουρικτητὴν περ ἐοῦσαν.
Νῦν δ' ἐπεὶ ἐκ χειρῶν γέρας εἵλετο, καί μ' ἀπάτησε,
Μὴ μοὶ πειράτω εὖ εἰρίτος. ὀΐδέ με πεῖσει.
Ἀλλ' Ὀδυσσεῦ. σοὶ δ' αὖτε, καὶ ἄλλοισι βασιλεῦσι,
Φραζέσθω νήεσσιν ἀλεξέμεναι δήϊον πῦρ.
Ἤ μὲν δὴ μάλα πολλὰ πονήσατο νόσφιν ἐμεῖο.
Καὶ δὴ τεῖχος ἔδειμε, καὶ ἤλασε τάφρον ἐπ' αὐτῇ,
Εὐρεῖαν, μεγάλην, ᾧ δὲ σκόλοπας κατέπηξεν.
Ἀλλ' οὐδ' ὣς δύναται δῆμος Ἑκτορ' ἀνδροφόνοιο
Ἴσχειν. ὄφρα δ' ἐγὼ μετ' Ἀχαιοῖσι πολεμίζον,
Οὐκ ἐθέλεσκε μάχην ἄπο τείχεος ὀρνύμεν Ἕκτωρ,
Ἀλλ' ἔσω δὴ Σκαιάς τε πύλας, καὶ φηγὸν ἵκανεν.
Ἔνθά ποτ' οἶον ἔμιμνε, μόγις δέ μιν ἐκφυγεν ὁρμὴ.
Νῦν δ' ἐπεὶ οὐκ ἐθέλω πολεμίζειν Ἕκτορι δίῳ,

Αὔριον

ῥύζητε.] πολυλογᾶτε, γογγύζητε. παρήμενοι.] ἀπὸ δὲ γυγόνος ἡ μεταφορά. ὁμῶς.] ὁμοίως, ἴσως. ἀΐδαο πύλῃσι.] τῷ θανάτῳ, πορικῶς. κεύθει.] κρύπτει. νῷ ᾖ ἐνθυμᾶται. νωλεμές.] ἀδιαλείπτως. ἐν ᾗ ἰῇ.] ἐν μιᾷ κηδεμονίᾳ. κάτθανε.] τέθνηκεν. ἀρηγός.] ἀρωγὸς, ἀπρακτος. ἐωργώς.] ἐφ γασμένος. πρίκειται.] πρίασθαι, τίθεσθαι ἢ πρίεσθαι. αἰὲν ἐμὴν ψυχὴν παραβαλλόμενος.] δι' ἐμῆς ψυχῆς ἐν τοῖς κινδύνοις παταφρονῶν.

ἀπῇσιν.] ἵπταται μὴ δυναμένοις, μικροῖς. μάσσακα.] βορᾶν. ἀΰπνους νύκτας ἴαον.] διὰ νυκτὸς ἄγρυπνος διετέλουν πολλάκις. δι' ἤπροσων.] διὰ νύου, διετέλουν. ἰάεσθαι.] γυναικῶν. σφετεράων.] τῶν ἰδίων. ἀβλήμην.] ἀβάριτα ἔλαβον.

δόσκον.] ἐδίδουν. διαπαύρα διασάσκετο.] ὅλα ἢ λαμβάνων ὀλίγα δίδωμι καὶ ἐδίδου. ἔμπεδα.] ἐδραῖα, βέβαια, ἢ ἀσφαλῶς. πέδον γὰρ ἡ γῆ. θυμαρέα.] τῇ ψυχῇ ἀρέσκουσαν. παρειαύω.] συναναπαύομαι σύν, συναυλίζομαι. ἢ μᾶνοι φιλέουσ' ἀλόχους μερόπων ἀνθρώπων Ἀτρείδαι.] διυπόλη δὲ ἀρωτήσεως ὅσοις αὐτὸς ἐπιφέρεται. ἐχέφρων.] συνετὸς, σώφρων. τὴν αὐτὴ φιλέει.] προσυπανδρεύει γαμετῆν. κήδεται.] φροντίζει. δουριατητήν.] δορυάλωτον, αἰχμάλωτον. ἐδάμη.] κατεσκεύασεν, ὠκοδόμησεν. ὕλασσε.] κατὰ μῆκος ἔσκαψε καὶ παρέτεινε τῷ τάχει. ἐπ' αὐτῷ.] παρ' αὐτῷ. σκόλοπας.] ἀποξυσμένα ξύλα. ἴσχειν.] ἐπέχειν, κωλύειν. ὀκ ἐθέλεσκεν.] ὀκ ἐβούλετο. ὀρνύμεναι.] παρορμᾶν. φηγὸν.] ὀρεῖα. οἷον ἐμιμνεν.] ἀπαξ ἔμεινεν.

† ἐπεὶ

ἰρά.]

ἱερά.] ἱερεῖα, θυσίας. νηήσας.] σωθήσας, πλεύσας. προσρήσω.] καὶ βιαιότερον. ἤδη μάλα.] ἤδη πάνυ. ὄθεν καὶ ἠλιγένεια. Ἑλλήσποντον.] αὐτὶ τοῦ Ἑλλησποντίους. Ἑλλήσποντος δέ ἐστιν ἡ ἐν τοῖς στενοῖς θάλασσα παραπεμένη τῇ Τροίᾳ, ἕτως προσαγορευθεῖσα ἀπὸ Ἕλλης τῆς Φρίξου ἀδελφῆς. ἐρισθένεια.] ὀρίσασα, ὠφέλησα. ὀρίσασα, ὠφέλησα. εὐπλοίην.] εὔπλοιαν, γαλήνην. ἐρύω.] ἐκ τοῦ φθορικοῦ παραγενόμενος. διὰ τὰ ἐπισυμβαίνοντα. πολίων.] λαμπρόν. ὀξυνθεὶς γὰρ ὁ σίλληβος λαμπρὸς γίγνεται. ἄξομαι.] ἀπάγω.

ἄασα.] ἄτινα, ἢ ὅσα. ἐφυβρίζων ἔλεγε.] ἀφείλετο μεθ' ὕβρεως.

ἀμφαδόν.] αὐαφανδόν, φανερῶς. ἐπισκήψωντι.] ὀργίζονται. πιότερος πρὸ ἑῶν.] κάπρῳ ἄφρων καὶ αὐαιδὴς ὤν. ἐς ὅπα ἰδέσθαι.] ἐς ὄψιν ἐλθεῖν. ἤμαρτεν.] ἥμαρτεν. ἐβαπάφοιτο.] ἐβαπάτησεν. οἱ.] αὐτῷ. ἐν καιρὸς αἴσῃ.] ἐν μοίρᾳ θανάτου, ὡς θανάτου πεπρωμένου. τινὲς μεταδιέπουσι τὸ α. ὡς ἢ. ἵν' ᾖ κατὰ καιρὸν ἀκέοντες καὶ τὸ θανάτου. ἢ ὡς ἔνιοι ἐν τάξει μιθοφόρου. πρῶτοι γὰρ Κᾶρες ἐπολέμησαν ἐπὶ μισθῷ καὶ ἐδώκαμεν ἔναι ἀτιμάτοι. πρωτινίσσετο.] πρωτοσύντομος, προσέρχεται. ἢ ἴσην αὐάκειαν. Θῆβας Αἰγυπτίας.] τὰς νῦν καλουμένας Διὸς πόλιν. ἐβοιχυδῦσιν.] ἐξέσισιν, ἐξέρχονται. ὅσα ψάμαθός τε κόνις τε.] αὐτὶ τοῦ ἀναρίθμητα καὶ πολλὰ τῷ πλήθει. κώδιμ.] ὕβριν. ἰσοφαρίζοι.] ἐξισοῦται καὶ ὁρίζοι. τὸ αὐτὸ ἢ ἴσην ἐκ παραλλήλου. γαμίσσεται.] πρὸς γάμον λήψεται. αὖ Ἑλλάδα τε Φθίην τε.] Ἀρίσαρχος παρ' Ὁμήρῳ Θεσσαλίαν μόνην τὴν Ἑλλάδα φησὶν ἔναι. καὶ Ἕλληνας τοὺς Θετταλούς. παρακολουθῶν Θουκυδίδῃ. καὶ ἀθετεῖ τὸ στίχον τοῦτον. ἐγχείῃ δ' ἐκίνασσε πανέλληνας καὶ Ἀχαιούς. καὶ ἐκεῖ δὲ πάλιν τὴν Θετταλίαν ἀνούσι. φεύγων ἐπεὶ ἀπάνευθε δὲ Ἑλλάδος. εὐρυχόροιο. ῥύοντο.] φυλάττουσι, σώζουσιν. ἐπίσευτο.] ἐφορμᾶν θέλει. ἀγλώσσων. νῦν ἄγαν ἀνδρίως. ὅτι ὁ αὐθάδης καὶ ὑπερήφανος. μνησόμ.] ἐς μνησθῆναι ἀοθήσαι, νόμισμον. ἀνῦσαν ἄποινα.] ἐμοὶ πρέπουσαν γαμετῇ. γέρων.] ἕρπει ἤτοι παρὰ τὸ πέδιζε γῦρας ἔναι. ἵν' ᾖ παρώνυμον. ἀλλὰ ἄνομα, ἢ παρὰ τὸ ἕτοιμον ἤδη ἐς ζυγόν

ἐξ ὃ ἐς

Αὖρον ἱερὰ Διὶ ῥέξας, καὶ πᾶσι θεοῖσι
Νηήσας εὖ νῆας, ἐπὶ ὤλασε πτερύσσων,
Ὄφελε μὲν ἐθελῆσαι, καὶ ἄκοντι τοι τὰ μεμήλη,
Ἦρι μάλ' ἐλλίσσοντο ἐπ' ἰχθυόεντα πλέοντες
Νῆας ἐμὰς, ἐν δ' ἄνδρας ἐρεσσέμεναι μεμαῶτας.
Εἰ δέ κεν εὐπλοίην δώῃ ἑλίκωπις Ἐννοσίγαιος,
Ἥματί κεν τριτάτῳ φθίμην ἐς Ἐρεβώνηφι ἱκοίμην.
Ἔστι δέ μοι μάλα πολλὰ, τὰ κάλλιπον ἠδὲ λέλειμμαι.
Ἄλλον δ' ἠθῴνλε χρυσὸν, καὶ χαλκὸν ἐρυθρὸν,
Ἠδὲ γυναῖκας εὐζώνους, πολιόν τε σίδηρον.
Ἄξομαι. ἄσσ' ἔλαχόν γε. γέρας δέ μοι ὅππερ ἔδωκεν,
Αὖτις ἐφυβρίζων ἕλεθ' κρείων Ἀγαμέμνων
Ἀτρέος υἱός. τῷ πάντ' ἀγορεύομεν ὡς ἀδύτελλα
Ἀμφαδὸν, ὄφρα καὶ ἄλλοι ἀδὺ σκύζωνται Ἀχαιοί,
Εἴ τινά πω Δαναῶν ἔτι ἔλπεται ἀζόμενόν περ
Λιγὺ ἀναδήσειν ἀδὺ ἐμοὶ δόλον. σὺ δ' οὐ ἔμοι γε
Τετλαίης κύνεός περ ἐών, εἰς ὥπα ἰδέσθαι.
Οὐ δέ τι οἱ βουλὰς συμφράσομαι, οὐδὲ μὲν ἔργον.
Ἐκ γάρ δή μ' ἀπάτησε καὶ ἤλιτεν, οὐδ' ἂν ἔτ' ὦπις
Ἐξαπαφοιτ' ἐπέεσσιν, ἄλις δέ οἱ, ἀλλὰ ἕκηλος
Ἐρρέτω. ἐκ γάρ ἑ φρένας εἵλκε μητίετα Ζεύς.
Ἐχθρὸς δέ μοι τῶ ὄνομ', πίσω δέ μιν ἢ κεν ἀέσσῃ.
Οὐδ' εἰμοὶ δεκάκις τε, καὶ εἰκοσάκις τόσα δοίη,
Ὅσσα τέ οἱ νῦν ἔστι, καὶ εἴποθεν ἄλλα γένοιτο,
Οὐδ' ὅσ' ἔς Ὀρχομενὸν πεδτινίσσεται, οὐδ' ὅσα Θῆβας
Αἰγυπτίας, ὅθι πλεῖστα δόμοις ἐν κτήματα κεῖται,
Αἰὲν ἑκατόμπυλοί εἰσι, διηκόσιοι δ' ἀν' ἑκάστη
Ἄνέρες ἁρματοχυδῦσι σὺν ἵπποισι, καὶ ὄχεσφιν,
Οὐδ' εἰμοὶ τόσα δοίη ὅσα ψάμαθός τε, κόνις τε
Οὐδέ κεν ὣς ἔτι θυμὸν ἐμὸν πείσει Ἀγαμέμνων,
Πρίν δ' ἀχὲ πᾶσαν ἐμοὶ δόμεναι θυμαλγέα λώβην.
Κούρην δ' οὐ γαμέω Ἀγαμέμνονος Ἀτρείδαο.
Οὐδέ εἰ χρυσείῃ Ἀφροδίτῃ κάλλος ἐρίζοι,
Ἔργα δ' Ἀθηναίῃ γλαυκώπιδι ἰσοφαρίζοι,
Οὐδέ μιν ὣς γαμέω. ὅδε Ἀχαιῶν ἄλλον ἑλέσθω,
Ὅς τις οἱ ἐπιοικὲς, καὶ ὃς βασιλεύτερός ὄσσι.
Ἦ γὰρ δή με σόωσι θεοί, καὶ οἴκαδ' ἵκωμαι,
Πηλεὺς θήν μοι ἔπειτα γυναῖκα γαμέσσεται αὐτός.
Πολλαὶ δ' Ἀχαιΐδες εἰσὶν ἀν' Ἑλλάδα τε, Φθίην τε,
Κοῦραι ἀρείτεσιν, οἵτε πτολίεθρα ῥύονται.
Τάων, ἥντ' ἐθέλοιμι φίλην ποιήσομ' ἄκοιτιν.
Ἔνθα δέ μοι μάλα πολλὸν ἐπέσσυτο θυμὸς ἀγήνωρ
Γήμασθαι μνηστὴν ἄλοχον, ἀκήδεα οἰκίτην,
Κτήμασι τέρπεσθαι, τά γέρων ἐκτήσατο Πηλεύς.
Οὐ γάρ ἐμοὶ ψυχῆς ἀντάξιον, οὐδ' ὅσα φασὶν
Ἴλιον ἐκτῆσθαι εὐναιόμενον πτολίεθρον,

Τὸ πρὶν

ἢ ὁ ἀς γλῶ ὁρῶν, ὁ ἐγγὺς ἢ θανάτου. λάϊνον.] λίθινον. ὀλόν.] ὁ βαθμὸς, ἢ φλιά. Ἀφήτορος.] ἢ Ἀπόλλωνος. νος. ἤτοι ὁμοφήτορος. ὁμοίως πᾶσι προφητεύουσι καὶ μαντευομένοις, τῶτι πίνυτα, καὶ τῷ πλησίον, ἢ τοξικῷ, ἀπὸ τοῦ ἵημι βελῶν ἀφέσεως. ἐντὸς ἕργει.] ἐσωθεν αὖ κατέχει. Πυθοῖ ἐνί.] Πυθοῖ πόλις Φωκίδος. ἧς οἱ οἰκήτορες Δελφοί. ἔστι ἡ ἱερὰ Ἀπόλλωνος, καὶ κέκληται ἤτοι ἀπὸ ἢ πυνθάνεσθαι τοῦ πυθόμενος τὸν μαντευομένους. ἢ ἀπὸ ἢ ἐκ ξενθέντα ἢ ἢ χρηστηρίῳ φύλακα δράκοντα ὑπὸ Ἀπόλλωνος, κατόθεν πυθέσθαι ἤ ἔφη σαπῆναι. περθόμενος.] περθόμενος, βαχείᾳ. λιτοί.] οἱ ἐν λίτῃ καὶ λιτάνῃσι. ἴφια μῆλα.] ἀπὸ ποινῆς, λιτάς. ξανθὰ κάρηνα.] πυῤῥά. λέγει ἢ ἀπὸ μέρους τὸν ἵππον. λιτόν.] ἐν λέαις λαμβανομένη, κτητή. ὄθ' ἑλετό.] ὅτε πάλιν λιτητό. ἐπεὶ ἄριστα ἀμφίσταται ἕρκος ὀδόντων.] ἐπεσθὴ οὖν φησιν ἄπαξ φθάσαι παρελθεῖν ἢ περίβολον ἢ ὀδόντων. διὰ γὰρ ἢ στόματος ἔξεσι τὸ ψυχικὸν πνεῦμα. ἀγυρόπεζα.] σύπας, καλῇ, ἀπὸ μέρους. διχθαδίας κῆρας.] δύο μοίρας. φερέμεν.] φέρειν, ἔχειν. θανάτοιο τέλος δέ.] ἐς θανάτου περιφρασικῶς. πλέος ἄφθιτον.] ἀθανάτου. πλέος, ἡκεῖ φύμενον. δημόν.] ἕπι πολιῷ χρόνῳ. παραμυθησάμην.] παραινέσαμεν. λήξετε.] σιγήσετε. τέκμωρ.] τέλος. μάλα γὰρ ἕθλε.] σφόδρα γὰρ αὐτῇ. ἀγχιλίμην.] περιοδεύειν. ἀποφασθε.] ἀπαγγέλατε. φράζονται.] σκέπτωνται. μῦτιν.] βουλὴν, γνώμην. σθῆ.] σώζῃ. ἑτοίμη.] σύλλητος, φανερὰ, ἤτοι μᾶλλον. λέγει ἢ ἔτι ὅτι ἑκατόμβῃ ἄθῃμι αὖτη ἡ γνώμη, ὡς ἐποιήσαντο οἱ Ἕλληνες, πέμψαντες ὑμᾶς πρέσβεις πρὸς μὲ ὡς δυναμένους πεῖσαι. ἐῤῥάσαντο.] ἐλογίσαντο, ἐσκέψαντο. ἀπὸ μετοίσαντος.] σφόδρα ἐργαδέντος. μένων καλά.] καλαμένων. αὐάκην δ' ἔτι μὴν ἄξω.] αὐτὶ ἢ ἐκ αὐαγκάσω. ἀγασσάμενοι.] θαυμάσαντες. ἀπείπαν.] ἀπηρνήσατο, ἀπέπεμψεν. αὐαπρήσας.] αὐαφυσήσας. ἢ ἀθρόον αὐαδαλών. πέρι γὰρ δίκ.] πρόκριτος γὰρ ἐφοβέατο. μετὰ φρεσὶ βάλλεαι.] ἐκατὸν νοῶ ἔχεις. αὖθι λιποίμην.] ἀπολειφθείην. σοὶ δέ μ' ἐπέμπειν.] αὐτὶ ἢ συνέπεμπέ με σοί. ὁμοῖον πτολέμοιο.] ἢ ὁμοίως πᾶσι χαλεπῶς. ἀγορίων.] δημηγορικῶν. ῥήσεως, μῦθον τε ῥητῆρ' ἔμεναι, πρηκτῆρά τε.] καὶ δραστικὸν ἔργων, ἃ δεῖ πράσσειν.

ἐπὶ ὃς ὡς

Τοπρὶν ἐπ' ἠερίνης, πρὶν ἐλθεῖν ὖιας Ἀχαιοῦς,
Οὐδ' ὅδε λάϊνος ὀλὸς Ἀφήτορος ἦν τὸς ἔεργε
Φοίβου Ἀπόλλωνος Πυθοῖ ἐνὶ πετρήεσσα.
Λιτοὶ μὲν γάρ τε βόες, καὶ ἴφια μῆλα,
Κτητοὶ δὲ τρίποδές τε, καὶ ἵππων ξανθὰ κάρηνα.
Ἀνδρὸς δὲ ψυχὴ πάλιν ἐλθεῖν ὅττε λιτοῖ,
Οὔθ' ἑλετή. ἐπεὶ ἄρκεν ἀμείψεται ἕρκος ὀδόντων.
Μῆτερ γάρ τέ μὲ φησι θεὰ Θέτις ἀργυρόπεζα
Διχθαδίας κῆρας φερέμεν θανάτοιο τέλος δέ,
Εἰ μὲν κ' αὖθι μένων Τρώων πόλιν ἀμφιμάχωμαι,
Ὥλετο μοι νόστος, ἀτὰρ κλέος ἄφθιτον ἔσται.
Εἰ δέ κεν οἴκαδ' ἵκωμαι φίλην ἐς πατρίδα γαῖαν,
Ὥλετό μοι κλέος ἐσθλόν, ὦλι δ' ὀλέσσει δέ μοι αἶψα
Ἔσσεται, οὐδέ κε μ' ὧκα τέλος θανάτοιο κιχείη.
Καί δ' ἂν τοῖς ἄλλοισιν ἐγὼ πραμυθησαίμην
Οἴκαδ' ἀπερτελέειν. ὦλι γὰρ πέπτυε πέμπτος
Ἰλίς ἀπειρεσίης. μάλα γὰρ ἔθεν εὐρύοπα Ζεὺς
Χέρας εἶλε ὑπερέχε. πεθαρσήκασι δὲ λαοί.
Ἀλλ' ὑμεῖς μὲν ἴοντες ἀγειρέσθω Ἀχαιοῖς,
Ἀγγελίην ἀποφαθέ, τὸ γὰρ γέρας ὅττι γεραίτων
Ὄφρ' ἄλλῳ φράζονται ἐνὶ φρεσὶ μῆτιν ἀμείνω,
Ἢ κέ σφιν νῆάς τε σόῃ, καὶ λαὸν Ἀχαιῶν
Νηυσὶν ὦλι γλαφυρῇσι, ἐπεὶ δ' σθένσιν ἥδε γ' ἑτοίμη
Ἦν νῶϊ ἐφράσαντο, ἐμοῦ ἀκὴ μηνίσαντος.
Φοίνικ' δ' αὖτι πὴ ἄμμι μένων, κατακοιμηθήτω,
Ὄφρά μοι ἐν νήεσσι φίλην δὸ πατρίδ' ἕπηται
Αὔριον, ἢν ἐθέλησιν. ἀνάγκη δ' ὅτι μὴν ἄξω.
Ὡς ἔφαθ', οἳ δ' ἄρα πάντες ἄκην ἐγένοντο σιωπῇ
Μῦθον ἀγασσόμενοι. μάλα γὰρ κρατερῶς ἀπέειπεν.
Οἳ δὲ δὴ μετέειπε γέρων ἱππηλάτα Φοῖνιξ,
Δάκρυ ἀναπρήσας. περὶ γὰρ δέος ἦλθε νηυσὶν Ἀχαιῶν.
Εἰ μὲν δὴ νόσου γε μετὰ φρεσὶ φάσθ' ἰμὲ Ἀχιλλεῦ
Βάλλεαι, ὃ δ' ἔστι πάμπαν ἀμώσιον νηυσὶ θοῇσι
Πῦρ ἐθέλεις ἀΐδηλον, ἐπεὶ χόλος ἔμπεσε θυμῷ.
Πῶς ἂν ἔπειτ' ἔγὼ σεῖο φίλον τέκος αὖθι λιποίμην
Οἶος; σὶ δὲ μ' ἔπεμπε γέρων ἱππηλάτα Πηλεύς
Ἡματι τῷ, ὅτέ σ' ἐκ Φθίης Ἀγαμέμνονι πέμπε
Νήπιον, ὄπωπα δ' ἀβλῆ ὁμοιΐδ πολέμοιο,
Οὐδ' ἀγοράων, ἵνα τ' ἄνδρες ἀρείπρεπέες τελέθουσι.
Τὸν νέκ' ἐμὲ προέηκε, διδασκήμεναί τάδ' ἕπεα τά,
Μῦθόν τε ῥητῆρ' ἔμεναι, πρηκτῆρά τε δρήγων.

Ὡς ἂν

ἢ ἐκκλησιῶν. ἀριπρεπέες.] διαπρέποντες, ἐπιδήλοι. τελέθουσιν.] ὑπάρχουσι, γίγνονται. μῦθον τε ῥητῆρ' ἔμεναι.] αὐτὶ ἢ διδάσκαλον δεύτερον λόγων, ὧν δεῖ λέγειν. πρηκτῆρά τε.] καὶ δραστικὸν ὀργῶν, ἃ δεῖ πράσσειν.

ὡς ὡς

ὡς ἂν ἔπειτ᾽ ἀπὸ σεῖο φίλον τέκος οὐκ ἐθέλοιμι λείπεσθαι.] διὸ οὐκ ἀπολειφθήσομαί σου. ὑποσταίη.] ὑπόσχοιτο. ἀποξύσας.] ἀφελών. νέον ἡβώοντα.] ἀκμάζοντα, σώζοντα. νείκεα.] φιλονεικίας, ἀπειλάς. φεύγων νείκεα πατρὸς Ἀμύντορος.] Φοῖνιξ ὁ Ἀμύντορος ὃς ἐξέπεσε τῆς οἰκίας γῆς διὰ ταύτην τὴν αἰτίαν, τοῦ πατρὸς αὐτοῦ παλλακίδα μὲν ὀνόματι Κλυτίαν ἀγαπῶντος. Ἱπποδάμειαν δὲ, ἐξ ἧς τὸν Φοίνικα ἔτεκε, συνόντος. δεηθείσης τῆς μητρὸς τῇ παλλακίδι τοῦ παιδὸς Κλυτίᾳ ἐμίγη. γνοὺς δὲ Ἀμύντωρ ἐπηράσατο τῷ παιδὶ δυστυχίαν περὶ τέκνων γονήν. δείσας δὲ Φοῖνιξ τὸν πατέρα καὶ τὰς ὑπ᾽ αὐτοῦ γενομένας ἀράς, φεύγει πρὸς Πηλέα. ὃς ὑποδεξάμενος αὐτὸν διὰ τὴν συγγένειαν, δίδωσιν αὐτῷ τὴν Δολοπίαν χώραν. καὶ Ἀχιλλέα τὸν υἱὸν μικρὸν ὄντα, εἰς ἀνατροφὴν παραδίδωσιν. Ὀρμενίδαο.] ὁρμένου παιδός. περιχώσατο.] περισσῶς ὠργίσθη. ἀτιμάζεσκεν.] ἠτίμαζε. προμιγῆναι.] συνελθεῖν, μιγῆναι. ἐχθήρειε.] μισήσειεν. πιθόμην.] ἐπείσθην. ὀϊσθείς.] ὑπονοήσας. στυγεράς.] μισητάς, φρικτάς. ἐπεκέκλετο.] ἐπεκαλεῖτο. ἐριννύς.] καταχθόνιοι δαίμονες τιμωρητικοὶ τῶν πατρικῶν ἀσεβημάτων. ὧν τὰ ὀνόματα, Ἀληκτώ, Τισιφόνη, Μέγαιρα. γεγαῶτα.] γεγεννημένον. ἐφέσσεσθαι.] ἐπικαθεσθῆναι. θεοὶ δ᾽ ἐτέλειον ἐπαράς.] ἐπετέλουν δὲ οἱ θεοὶ τὰς κατάρας αὐτοῦ. Ζεύς τε καταχθόνιος.] ὁ Πλούτων. καὶ ἐπαινή.] ἐπίφοβος, δεινή. αἰνὸν γὰρ τὸ δεινόν. ἢ ἣν οὐκ ἄν τις ἐπαινέσειεν, ἀντίφρασις ὁ τρόπος. ἢ ὑπερβολικῶς. ἣν ἄν τις φησὶν ἐπαινεῖν παραιτήσαιτο. ἐρητύετο.] ἠρεμίᾳ κατείχετο. στρωφᾶσθαι.] ἀναστρέφεσθαι, διάγειν. ἔται.] ἑταῖροι, πολῖται. ἀνεψιοί.] ἀδελφῶν υἱοί. ὡς Ἀχιλλεὺς καὶ Αἴας. ἀδελφιδοῖ δὲ οἱ ἀδελφῶν παῖδες. ὡς Ὀρέστης Μενελάου. ἀμφὶς ἐόντες.] περὶ ἐμὲ ὄντες, παρόντες. ἴφια.] ἰσχυρά, εὐτραφῆ. ἕλικας.] μέλανας. ἢ ἑλικοειδῆ τὰ κέρατα ἔχοντας. εὑόμενοι.] φλογιζόμενοι, ὀπτώμενοι. τανύοντο.] ἐξετείνοντο. κεράμων.] πίθων. μέθυ.] οἶνος. εἰνάνυχες.] ἐπὶ ἐννέα νύκτας. ἀμειβόμενοι.] ἐξ ἀμοιβῆς φυλάσσοντες ὅ ἐστιν ἐκ διαδοχῆς. ἔσβη.] ἐπαύσατο, ἐσβέσθη. αἰθούσῃ.] αἴθουσαι αἱ ὑπὸ τοῦ ἡλίου καταυγαζόμεναι στοαὶ παρὰ τὸ αἴθεσθαι. εὐερκέος.] ἀσφαλῆ περίβολον ἐχούσης. προδόμῳ.] τῷ προσόδῳ τοῦ θαλάμου. διέχει τὴν τάξιν. θάλαμος μὲν γὰρ ὁ ἔσω οἶκος τῆς αὐλῆς. τὸ δὲ πρὸ αὐτοῦ πρόδομος. αἴθουσα δὲ περίστυλον τοῦτ᾽ ἔστι πρὸς ἥλιον τετραμμένη στοὰ παρὰ τὸ αἴθεσθαι ὅ ἐστι φλέγεσθαι. πυκινῶς.] ἐπιμελῶς, ἀσφαλῶς. ὑπέρθορον.] ὑπερηλάμην, ἐξέφυγον. Ἑλλάδος.] Ἑλλὰς καὶ Φθία πόλεις τῆς Θετταλίας. ὃς Πηλῆα ἄνακτα.] ἀντὶ τοῦ πρὸς τὸν Πηλέα ἱκέτης παραγενόμενος καὶ ἱκετεύσας. ὤπασε.] παρέσχεν, ἔδωκε.

Ὡς ἂν ἔπειτ᾽ ἀπὸ σεῖο φίλον τέκος οὐκ ἐθέλοιμι
Λείπεσθ᾽, οὐδ᾽ εἴ κέν μοι ὑποσταίη θεὸς αὐτὸς
Γῆρας ἀποξύσας, θήσειν νέον ἡβώοντα,
Οἷον ὅτε πρῶτον λίπον Ἑλλάδα καλλιγύναικα,
Φεύγων νείκεα πατρὸς Ἀμύντορος Ὀρμενίδαο.
Ὅς μοι παλλακίδος περιχώσατο καλλικόμοιο,
Τὴν αὐτὸς φιλέεσκεν, ἀτιμάζεσκε δ᾽ ἄκοιτιν,
Μητέρ᾽ ἐμήν. ἡ δ᾽ αἰὲν ἐμὲ λισσέσκετο γούνων
Παλλακίδι προμιγῆναι, ἵν᾽ ἐχθήρειε γέροντα.
Τῇ πιθόμην καὶ ἔρεξα. πατὴρ δ᾽ ἐμὸς αὐτίκ᾽ ὀϊσθεὶς
Πολλὰ κατηρᾶτο, στυγερὰς δ᾽ ἐπεκέκλετ᾽ Ἐριννῦς,
Μή ποτε γούνασιν οἷσιν ἐφέσσεσθαι φίλον υἱὸν
Ἐξ ἐμέθεν γεγαῶτα. θεοὶ δ᾽ ἐτέλειον ἐπαράς,
Ζεύς τε καταχθόνιος, καὶ ἐπαινὴ Περσεφόνεια.
Ἔνθα μοι οὐκέτι πάμπαν ἐρητύετ᾽ ἐν φρεσὶ θυμὸς
Πατρὸς χωομένοιο κατὰ μέγαρα στρωφᾶσθαι.
Ἦ μὲν πολλὰ ἔται καὶ ἀνεψιοὶ ἀμφὶς ἐόντες,
Αὐτοῦ λισσόμενοι κατερήτυον ἐν μεγάροισι.
Πολλὰ δὲ ἴφια μῆλα καὶ εἰλίποδας ἕλικας βοῦς
Ἔσφαζον. πολλοὶ δὲ σύες θαλέθοντες ἀλοιφῇ
Εὑόμενοι, τανύοντο διὰ φλογὸς Ἡφαίστοιο.
Πολλὸν δ᾽ ἐκ κεράμων μέθυ πίνετο τοῖο γέροντος.
Εἰνάνυχες δέ μοι ἀμφ᾽ αὐτῷ παρὰ νύκτας ἴαυον.
Οἱ μὲν ἀμειβόμενοι φυλακὰς ἔχον. οὐδέ ποτ᾽ ἔσβη
Πῦρ. ἕτερον μὲν ὑπ᾽ αἰθούσῃ εὐερκέος αὐλῆς,
Ἄλλ᾽ ὅδ᾽ ἐνὶ προδόμῳ, πρόσθεν θαλάμοιο θυράων.
Ἀλλ᾽ ὅτε δὴ δεκάτη μοι ἐπήλυθε νὺξ ἐρεβεννή,
Καὶ τότ᾽ ἐγὼ θαλάμοιο θύρας πυκινῶς ἀραρυίας
Ῥήξας, ἐξῆλθον, καὶ ὑπέρθορον ἑρκίον αὐλῆς,
Ῥεῖα, λαθὼν φύλακάς τ᾽ ἄνδρας, δμῳάς τε γυναῖκας.
Φεῦγον. ἔπειτ᾽ ἀπάνευθε δι᾽ Ἑλλάδος εὐρυχόροιο,
Φθίην δ᾽ ἐξικόμην ἐριβώλακα μητέρα μήλων,
Ἐς Πηλῆα ἄναχθ᾽, ὁ δέ με πρόφρων ὑπέδεκτο,
Καί με φίλησ᾽, ὡς εἴ τε πατὴρ ὃν παῖδα φιλήσῃ
Μοῦνον, τηλύγετον πολλοῖσιν ἐπὶ κτεάτεσσι.
Καί μ᾽ ἀφνειὸν ἔθηκε, πολὺν δέ μοι ὤπασε λαόν.
Ναῖον δ᾽ ἐσχατιὴν Φθίης, Δολόπεσσιν ἀνάσσων.

Καί σε

τοσοῦτον

τοσοῦτον ἔθηκα.] τηλικοῦτον ἐποίησα. ἔστι δὲ ποσότης ἀντὶ πηλικότητος. ἐσχατιήν.] τὰ ἔσχατα μέρη. ἐπιάκιλε.] ἐφόμοιε. πάσασθαι.] γεύσασθαι. ὄψου.] προσοψήματος. προσφαγίου. ἄσαιμι.] πληρώσαιμι. κορέσαιμι. προταμών.] ἤτοι ἀποκόψας. ἢ τὸ σκληρὸν τῆς τροφῆς προκατεργασάμενος. κατέδευσας.] διάβροχον ἐποίησας. κατέβρεξας. ἀποβλύζων.] ἀπεμῶν. ἐκβάλλων. ὀνοματοποιία ὁ τρόπος. ἐν νηπιέῃ ἀλεγεινῇ.] ἐν τῇ χαλεπῇ παιδοτροφίᾳ. ἀλεγεινῇ.] ἀλγεινῇ. ἐκ τοῦ ποιεῖν ἀλγεῖν τὴν ψυχήν. ἐξετέλειον.] ἔδωκαν. δάμασον.] κατάπραυνον. νηλεές.] ἀπηνές. ἀπότομον. στρεπτοί.] εὐμετάστρεπτοι. εὐμετάβλητοι. εὔπιστοι. ἐναντίον τὸ. "στρεπτοὶ δὲ καὶ "θεοὶ αὐτοί. τῶν γὰρ αἶψα θεῶν τρέπε"ται νόος. λύοιτο δ᾽ ἂν προσώπῳ, ὅτι τὸ μὲν ὁ ποιητής φησιν. ἐκεῖνο δὲ ὁ Φοῖνιξ λέγει. ἐν καιρῷ ὀργιζομένου Ἀχιλλέως, εἰκότως, καὶ τοὺς θεοὺς πείθεσθαι. θύεσσι.] θυμιάμασι. θυσίαις. εὐχωλῇς.] εὐχαῖς. εὐχωλαῖς. ἀγανῇσι.] προσηνέσι. πρᾳέσι. παρατρωπῶσι.] περιτρέπουσι. πείθουσιν. ὑπερβήῃ.] παρέλθῃ. Λιταί.] θεαὶ οὕτως ἐπικαλούμεναι. καὶ γάρ τε Λιταί εἰσι Διὸς κοῦραι.] ἀνειδωλοποιεῖ τὰς λιτὰς ὡς δαίμονάς τινας. χωλὰς μὲν οὖν αὐτὰς κέκληκε, διὰ τὸ βραδέως καὶ μόλις προσιέναι καὶ γονυκλινεῖς λιτανεύειν τούτους, οὓς ἂν προηδικηκότες ὦσι. ῥυσὰς καὶ διαστρόφους τὰς ὄψεις, ἐπεὶ βαρέως καὶ οὐ γεγηθότι τῷ προσώπῳ. οὐ δὲ ὀρθῷ τῷ βλέμματι προσορᾶν δύνανται τοὺς προηδικημένους. παρ᾽ ὧν αἰτοῦνται συγγνώμην. Διὸς δὲ θυγατέρας γενεαλογεῖ. ὥστε σεβασμιωτέρας φαίνεσθαι. χωλαί.] χωλοποιοί. Ῥυσαί.] ῥυτίδας ἔχουσαι. ῥυτίδες δὲ καλοῦνται αἱ ἐπὶ τοῦ μετώπου τοῦ δέρματος συστροφαί. παραβλῶπες.] παρεγμέναι. διάστροφοι τοὺς ὀφθαλμούς, ἐπειδὴ οἱ ἱκετεύοντες ὑπὲρ τοῦ ἐλεεινὸν φαίνεσθαι, προσίασιν οἰκτροὶ τὰ σχήματα αὐτοῦ καὶ τὰς θέας ἔχοντες. μετόπισθ᾽.] ἐξόπισθεν. ἐξ ὑστέρου. ἀλέγουσι.] φροντίζουσι. κιοῦσαι.] ἐλθοῦσαι. σθεναρή.] ἰσχυρά. ἀρτίπος.] ἄρτιος καὶ ὑγιὴς τοῖς ποσίν. ὁλόκληρος. οὕνεκα.] διότι. ὑπεκπροθέει.] ὑπερτρέχει. προλαμβάνει. φθάνει.] προήκει. προλαμβάνει. ἐξακέονται.] ἰῶνται ἀποθεραπεύουσι. αἰδέσεται.] αἰδεσθῇ. στερεῶς.] ἰσχυρῶς. σκληρῶς. ἀποείπῃ.] ἀπαρνήσηται. ἀπείπῃ. ἀποτίσῃ.] δίκην ἀποδῷ. ὅ ἐστι τιμωρίαν. ἐπιγνάμπτει.] πραΰνει. ἐπιζαφελῶς.] ἐπιμόνως ηὐξημένως. ἢ ἐξημμένως. ἀπὸ τοῦ φλέγω. ἀπορρίψαντα.] ἀποβαλόντα. κελοίμην.] κελεύσοιμι. χατέουσι.] χρήζουσι. ὑπέστη.] ὑπέσχετο. κρινάμενος.] ἐπιλεξάμενος. μῦθον ἐλέγξῃς.] διό φησι μὴ ἀτιμάσῃς ἡμῶν τὸν ὑπὲρ τῆς ἀξιώσεως λόγον καὶ πρεσβείας. μηδὲ πόδας.]

Καί σε τοσοῦτον ἔθηκα θεοῖς ἐπιείκελ᾽ Ἀχιλλεῦ
Ἐκ θυμοῦ φιλέων, ἐπεὶ οὐκ ἐθέλεσκες ἅμ᾽ ἄλλῳ
Οὔτ᾽ ἐς δαῖτ᾽ ἰέναι, οὔτ᾽ ἐν μεγάροισι πάσασθαι,
Πρίν γ᾽ ὅτε δή σ᾽ ἐπ᾽ ἐμοῖσιν ἐγὼ γούνασσι καθίσσας,
Ὄψου τ᾽ ἄσαιμι προταμών, καὶ οἶνον ἐπισχών.
Πολλάκι μοι κατέδευσας ἐπὶ στήθεσσι χιτῶνα
Οἴνου ἀποβλύζων ἐν νηπιέῃ ἀλεγεινῇ.
Ὣς ἐπὶ σοὶ μάλα πόλλ᾽ ἔπαθον, καὶ πόλλ᾽ ἐμόγησα,
Τὰ φρονέων, ὅ μοι οὔτι θεοὶ γόνον ἐξετέλειον
Ἐξ ἐμεῦ. ἀλλὰ σὲ παῖδα θεοῖς ἐπιείκελ᾽ Ἀχιλλεῦ
Ποιεύμην, ἵνα μοί ποτ᾽ ἀεικέα λοιγὸν ἀμύνῃς.
Ἀλλ᾽ Ἀχιλλεῦ. δάμασον θυμὸν μέγαν, οὐδέ τί σε χρὴ
Νηλεὲς ἦτορ ἔχειν, στρεπτοὶ δέ τε καὶ θεοὶ αὐτοί.
Τῶνπερ καὶ μείζων ἀρετή, τιμή τε, βίη τε.
Καὶ μὲν τοὺς θυέεσσι, καὶ εὐχωλῇς ἀγανῇσι,
Λοιβῇ τε, κνίσσῃ τε, παρατρωπῶσ᾽ ἄνθρωποι
Λισσόμενοι, ὅτε κέν τις ὑπερβήῃ, καὶ ἁμάρτῃ.
Καὶ γάρ τε Λιταί εἰσι Διὸς κοῦραι μεγάλοιο,
Χωλαί τε, ῥυσαί τε, παραβλῶπές τ᾽ ὀφθαλμώ,
Αἵ ῥά τε καὶ μετόπισθ᾽ Ἄτης ἀλέγουσι κιοῦσαι.
Ἡ δ᾽ Ἄτη, σθεναρή τε, καὶ ἀρτίπος. οὕνεκα πάσας
Πολλὸν ὑπεκπροθέει, φθάνει δέ τε πᾶσαν ἐπ᾽ αἶαν
Βλάπτουσ᾽ ἀνθρώπους, αἱ δ᾽ ἐξακέονται ὀπίσσω.
Ὃς μέν τ᾽ αἰδέσεται κούρας Διὸς ἆσσον ἰούσας,
Τὸν δὲ μέγ᾽ ὤνησαν, καί τ᾽ ἔκλυον εὐξαμένοιο.
Ὃς δέ κ᾽ ἀνήνηται, καί τε στερεῶς ἀποείπῃ.
Λίσσονται δ᾽ ἄρα ταί γε Δία Κρονίωνα κιοῦσαι,
Τῷ ἄτην ἅμ᾽ ἕπεσθαι, ἵνα βλαφθεὶς ἀποτίσῃ.
Ἀλλ᾽ Ἀχιλεῦ, πόρε καὶ σὺ Διὸς κούρῃσιν ἕπεσθαι
Τιμήν, ἥτ᾽ ἄλλων περ ἐπιγνάμπτει νόον ἐσθλῶν.
Εἰ μὲν γὰρ μὴ δῶρα φέροι, τὰ δ᾽ ὄπισθ᾽ ὀνομάζοι
Ἀτρείδης, ἀλλ᾽ αἰὲν ἐπιζαφελῶς χαλεπαίνοι
Οὐκ ἂν ἔγωγέ σε μῆνιν ἀπορρίψαντα, κελοίμην
Ἀργείοισιν ἀμυνέμεναι χατέουσί περ ἔμπης.
Νῦν δ᾽ ἅμα τ᾽ αὐτίκα πολλὰ δίδοι, τὰ δ᾽ ὄπισθεν ὑπέστη
Ἄνδρας δὲ λίσσεσθαι ἐπιπροέηκεν ἀρίστους,
Κρινάμενος κατὰ λαὸν Ἀχαιϊκόν, οἵ τε σοὶ αὐτῷ
Φίλτατοι Ἀργείων, τῶν μὴ σύ γε μῦθον ἐλέγξῃς,
Μηδὲ πόδας, πρὶν δ᾽ οὔτι νεμεσσητὸν κεχολῶσθαι.

Οὕτω

μήδε τῶν ἐνθάδε ἄφιξιν. πρὶν δ' οὔτι νεμεσητόν περ ἐχολῶσθαι.] πρότερον ἢ οὐ μεμηδὸς ὑπῆρχεν ἀργεῖοις. ἢ πρόσθεν.] ἢ πρὸ ὑμῶν. ἐπευθόμενοι. ἐπευθόμενοι. ἠκούσαμεν. ἀκουσταί.] ἠκούσαμεν. ἀκουστοί.] ἀλλοίοις ἀνθρώποις. πάλαι.] πρὸ πολλοῦ. ἐπίρρημα χρόνου ἀπλῶς πάλαι. οὕτοι νέον γε.] οὐ νεωστί. ὡς ἔμ.] ὡς ἐγένετο. κουρῆτες.] Ακαρνᾶνες. οἱ ἐν Πλευρῶνι πόλει τῆς Αἰτολίας οἰκοῦντες ὠνομάσθησαν ἢ οὕτως, παρὰ τὸ μὴ πέρεσθαι τὰς πάρας. Αἰτωλοί. οἱ Καλυδῶνιοι. ἐπεὶ ἦκε οἱ Κουρῆτες Αἰτωλοὶ ὑπῆρχον ἀμφυλίᾳ ὄντος τοῦ πολέμου. ἡ οὖν Καλυδὼν πρώτη πόλις ἦν Αἰτωλίας. Κρῆτες τε μάχοντο καὶ Αἰτωλοί.] Οἰνεὺς Αἰτωλίας ἀνυπάκτως τὰς ἀπαρχὰς ἔτησίων καρπῶν τοῖς θεοῖς θύων, Ἀρτέμιδι μόνῃ κατέλιπεν. ἢ ἢ θεὸς ὀργισθεῖσα, μέγα τοῖς Αἰτωλοῖς συὸς χρῆμα ἔπεμψεν. ὃς οὐ μόνον τῶν χώραν ἀλλὰ καὶ τοὺς ἐνοικοῦντας ἀνέφθειρε. Καλυδῶνιοι ἢ καὶ Πλευρώνιοι προῆλθον ἐπὶ τοῦτον. Μελέαγρος ἢ ὁ Οἰνέως, πρῶτος ἐπιτυχὼν γέρας τε ἢ συὸς ἀκροθίνια λαβὼν τῶν κεφαλὴν καὶ τὸ δέρας Ἀταλάντῃ δι' ἔρωτα ἀπῶρται. καὶ αὐτὴ γὰρ συνεξῆλθεν αὐτοῖς ἐπικυνηγίαν. οἱ ἢ Θεστίου μὲν παῖδες, ἀδελφοὶ ἢ δὲ Μελεάγρου μητρὸς Ἀλθαίας, ὀργίλως, ἐπὶ τούτῳ διαστάντες ἐπεβούλευον τῷ Μελεάγρῳ. ὁ ἢ προγονὸς, ὃς μὲν ἀπέκτεινεν. οὗς ἢ ἐς φυγὴν τραπῆναι ἐποίησι. διόσκ. Πλευρώνιοι τοῖς Καλυδωνίοις ἐπεστράτευον. Μελέαγρος ἢ κατ' ἀρχὰς τῇ μητρὶ μηνίων οὐκ ἐβούθη τῇ πατρίδι. πορθουμένης ἢ ἤδη δὲ πόλεως, παιδεῖς ὑπὸ Κλεοπάτρας δὲ γυναικὸς προσελθών, ὃς μὲ ἀνέπλεμ ὃς ἢ ἀνάγκασε διώκων κατὰ κρημνῶν ἐνεχθῆναι. Ἀλθαία ἢ μηνίσασα τῷ παιδὶ, τὸν ὑπὸ μοιρῶν ἀναδομένην λᾶαν κατέφλεξεν. ὃν ἢ ἐπεπομένον. ἐκείνης κατακαούσης, καὶ τὸν Μελέαγρον ἀποθανεῖν. φθαρέντος ἢ τοῦ παιδὸς, Ἀλθαία μετανοήσασα, ἑαυτὸν ἀνῃρεῖ. μενεχάρμαι.] ὑπομονητικοί ἐν μάχαις. πολεμικοί. ἐναρίζον.] ἐφόνευον. θαλύσια.] τὰς ὑπὲρ εὐθαλείας καὶ εὐφορίας τῶν καρπῶν ἀναδομένας θυσίας μετὰ τὸν συγκομιδὴν τῶν καρπῶν τοῖς τε ἄλλοις καὶ τῇ Δήμητρι.

οὕτω τῷ πρόσθεν ἐπευθόμεθα κλέα ἀνδρῶν
Ἡρώων, ὅτε κέρ τιν' ἐπῳχάφελος χόλος ἵκοι,
Δωρητοί τε γένοντο, πρηκτῆρες τ' ἐπέεσσι.
Μέμνημαι τόγε ἔργον ἐγὼ πάλαι, ἔστι νέον γε.
Ὡς ἦεν, ἐν δ' ὑμῖν ἐρέω πᾶσιν τε φίλοισι.
Κουρῆτες τ' ἐμάχοντο, καὶ Αἰτωλοὶ μενεχάρμαι
Ἀμφὶ πόλιν Καλυδῶνα, καὶ ἀλλήλους ἐνάριζον.
Αἰτωλοὶ μὲν ἀμυνόμενοι Καλυδῶνος ἐραννῆς,
Κουρῆτες δὲ, διαπραθέειν μεμαῶτες Ἀρηϊ.
Καὶ γὰρ τοῖσι κακὸν χρυσόθρονος Ἀρτεμις ὦρσε
Χωσαμένη. ὃ οἱ οὔτι θαλύσια γυνῷ ἀλωῆς
Οἰνεὺς ῥέξ', ἄλλοι δὲ θεοὶ δαίνυθ' ἑκατόμβας,
Οἶη δ' ὅη ἔρρεξε Διὸς κούρῃ μεγάλοιο,
Ἢ λάθετ', ἢ ὄκ ᾠήσατο, ἀάσατο δὲ μέγα θυμῷ.
Ἡ δ' ἐχολωσαμένη δῖον γόνος ἰοχέαιρα,
Ὧρσεν ὃν κλυτόξυνον σῦν ἄγριον ἀργιόδοντα,
Ὃς κακὰ πολλ' ἔρδεσκεν ἐθὼν Οἰνῆος ἀλωήν.
Πολλὰ δ' ὅγε πρόθελυμνα χαμαὶ βάλε δίφρεα μακρὰ
Αὐτῇσιν ῥίζῃσι, καὶ αὐτοῖς ἄνθεσι μήλων.
Τόν δ' υἱὸς Οἰνῆος ἐπέκτεινεν Μελέαγρος
Πολλέων ἐκ πολίων θηρήτορας ἀνδρας ἀγείρας,
Καὶ κύνας. οὐ μὲν γάρ κ' ἐδάμη πάντοισι βροτῆσιν
Τόσσος ἔην. πολλοὺς δὲ τανυῆς ἐπέβησ' ἀλεγεινῆς.
Ἧος δ' ἀμφ' αὐτῷ θῆκε πολὺν κέλαδον, καὶ ἀϋτὴν
Ἀμφὶ συὸς κεφαλῇ, καὶ δ' ἔρματι λευκήνῃσι,
Κῆρύτου τε μεσηγύ, καὶ Αἰτωλῶν μεγαθύμων.
Ὄφρα μὲν δὴν Μελέαγρος ἀρηίφιλος πολέμιζε,
Τόφρα δὲ Κρῆτεσι κακῶς ἦν. οὐδ' ἐδύναντο
Τείχεος ἔκτοθεν μίμνειν, πολέες περ ἐόντες.

Αλλ' 40

γυνῷ ἀλωῆς.] ἐν τῷ γονιμωτάτῳ καὶ καρπίμῳ χωρίῳ ἢ γῆς. ἔρρεξεν.] ἐτέλεσεν. ᾗ λάθετ' ἢ οὐκ ἐνόησεν.] ἤτοι ἐννοήσας θῦσαι, ἐπελάθετο. ἢ οὐδ' ὅλως ἐπενόησεν. ἀάσατο ἢ μέγα.] ἐβλάβη ἢ μεγάλως. δῖον γένος.] Διὸς θυγάτηρ. ἰοχέαιρα.] βέλεσι χαίρουσα. τοξότης. χλουνίν. κατὰ τὸ ἔτυμον χλοεύουσαν, τὸν ἐν τῇ χλόῃ εὐναζόμενον. εὐτραφῆ. ἢ τὸν ἀφρισῶντα. οἱ ἢ τὸν τομίαν, ἄλλοι ἢ τὸν ἐπιχλοῦνα, χωρὶς οὔτως καλουμένῳ ἐν διατρίβοντα. ἀργιόδοντα.] λευκοὺς ὀδόντας ἔχοντα. ἔρδεσκεν.] ἐργάζετο. ἔπραττεν. ἔθων.] ἢ ἔθους κατατρέχων. καὶ βλάπτων. ἀλωήν.] κοινῶς τὸν καρποφόρον χῶρον. προθέλυμνα.] προῤῥίζια. ἐπάλληλα. καὶ πυκνά. ἄνθεσι μήλων. τοῖς καρποῖς. θηρήτορας. κυνηγέτας. τόσσος ἦεν.] κυκλοῦτο ἢ ἦν. πυρῆς ἐπέβησεν.] ἀντὶ τοῦ πυρὸς ἐπεβίβασεν, ἀνέπλεμ αὐτούς. κέλαδον.] ταραχήν, βόρυβον. ἀμφὶ συὸς κεφαλῇ καὶ ἔρματι.] ὡς καὶ τὴν κεφαλὴν τῷ ἔρματι προσεχόμενος. ταῦτα ἢ συνέκειτο δοθῆναι ἀριστεῖα τῷ πρώτῳ βαλόντι τὸν σῦν. λαβὼν ἢ αὐτὰ ὁ Μελέαγρος, ἐδωρήσατο Ἀταλάντῃ τῇ Ἰάσου Ἀρκάδι τὸ γένος. λοχίσαντες ἢ αὐτὸν οἱ μήτρωες τοῦ Μελεάγρου, ἀφέλοντο τὸ γέρας τὴν κόρην ἐφ' ᾧ ὀργισθεὶς ὁ Μελέαγρος, διεχρήσατο αὐτούς. λυπηθεῖσα ἢ ἐπὶ τοῖς ἀδελφοῖς ἡ Ἀλθαία ἡ τοῦ Μελεάγρου μήτηρ, κατέφλεξε τὸν ὑπὸ μοιρῶν αὐτῇ λοθέντα δαλόν. ὄντα συνεκτικὸν τῆς Μελεάγρου ζωῆς. ὧ συνδιεφθάρη

συνδιεφθάρη καὶ ὁ Μελέαγρος. λαχνήεντι.] δασεῖ. ἕλυ.] ὑπασπίῳ, ἐλάσεμ. ἔκ ἢ ὀδόντων.] αὐτὶ τοῦ ἐκτὸς, ἔξω. εἰλάων.] ὡς ἤψω αἴγειδα ποιεῖ, ἐμπίπρησι. πῦκα πρὸ φρονέοντων.] σωφρονούντων, συνετῶν. Ἀλθάην.] Ἀλθαία ἡ μήτηρ τοῦ Μελεάγρου, ἡ δὲ Κλεοπάτρα Ἰδου καὶ Μαρπήσσης θυγατρὸς, Μελεάγρου ἢ γυνή. κῆτο.] ἀχθος διετέλει. πόρε Μαρπήσσης.] καὶ τὰ ἑξῆς. Εὔηνος Ἄρεος παῖς, βασιλεὺς Αἰτωλίας, ἔγημε θυγατέρα σύμπειτε Μαρπησσαν τὸνομα, τὸν μνηστευομένων αὐτὴν προκαλέσατο εἰς ἁρματηλασίαν ἀγῶνα. λέγων ἐκδώσειν τῷ διακρίναντι αὐτὸν διώκοντα. τὸν ἢ λειφθέντας παρατομῶν, ἐπετίθει τὰς κεφαλὰς ὧδε ἢ τάχα θεὸς οἰνίας, ὡς καταπλήξειε τοὺς λοιποὺς. πολλῶν τοίνυν ἤδη ἀνῃρημένων, Ἰδας λόγῳ μὲν Ἀφαρέως υἱός, τῇ ἢ ἀληθείᾳ Ποσειδῶνος, τελευταῖος λαβὼν παρὰ ἢ πατρὸς ἵππους ταχυναυτούντας, ὑπέστη τὴν πόρην, χορεύσας ἐν Ἀρτέμιδι. Εὔηνος ἢ ὡς ἐν ἀληθείᾳ παραλαβὼν, ἀποσφάξας τοὺς ἵππους ὃς εἶχεν, ἐνετόμ ἐρρίψεν ἐς τὸ Λυκόρμαν ποταμὸν, ὃς ἀπὸ κώμης Εὔηνος προσηγορεύθη. διαπεφευγότι ἢ τῷ Ἰδᾳ τὸ κίνδυνον, Ἀπόλλων ἀναντιόητο πρὸ τῆς πόρης βαλόμενος ἁρπάσειν αὐτὴν. πορευόντων ἢ καὶ ἐς μάχην, Ζεὺς ἢ τάλαντα ἔστησε δύο κῆρε ἐν αἴσῃ, ἔν τε Ἰδᾳ καὶ Ἀπόλλωνι. ἔνθα ἢ ἐπεὶ ἐνόησε Μαρπησσα τὸ τοῦ Διὸς σταθμιον, ἐς Ἀπόλλωνα ἔβλεψε. καὶ ἐκεῖνος ἐπεὶ ἐνόησε τὴν Μαρπησσαν ἐς αὐτὸν βλέπουσαν, ἐκ τοῦ ἅρματος ἐξαναβὰς, ἐπεδίωκε τὸν Ἰδαν. ἐκ δὲ τούτου ἐκεῖνος μὲν ἔφευγε, Ζεὺς ἢ ἐκέλευσε τὴν Μαρπησσαν ἀποστῆναι τοῦ Ἀπόλλωνος. ἐκείνη ἢ ἐπεὶ ἐνόησε τὸν Ἀπόλλωνα ἐγγὺς ὄντα, ἔφη πρὸς τὸν Δία· Ἀλλ' ὅτε δὴ Μελέαγρον ἔδυ χόλος, ὅς τε καὶ ἄλλων
Οἰδάνει ἐν στήθεσσι νόον πύκα περ φρονεόντων,
Ἤτοι ὁ μητρὶ Φόλῃ Ἀλθαίᾳ χώσατο κῆρ,
Κεῖτο παρὰ μνηστῇ ἀλόχῳ καλῇ Κλεοπάτρῃ,
Κούρῃ Μαρπίσσης καλλισφύρου Εὐηνίνης,
Ἴδεώ θ', ὃς κάρτιστος ὑπ' ἀνθρώπους γράφεται ἀνδρῶν,
Τῶν τότε. καὶ ῥ' ὧν κῆτος ἀνὰ πίον εἵλετο τόξον
Φοίβος Ἀπόλλων, καλλισφύρου εἵνεκα νύμφης.
Τὼ, δὲ τότ' ἐν μεγάροισι πατὴρ, καὶ πότνια μήτηρ,
Ἀλκυόνην καλέεσκον ἐπώνυμον. ὄνεκ' ἄρ αὐτῇ
Μήτηρ Ἀλκυόνος πολυπενθέος οἷ τοκος ἔλαχε
Κλαῖ', ὅτε μιν ἑκάεργος ἀνήρπασε Φοῖβος Ἀπόλλων.
Τῇ, ὄγε πρὸ κατέλεκτο, χόλον θυμαλγέα πῶσαν,
Ἐξ ἀρέων μητρὸς κεχολωμένου. ἦ ῥα θεοῖσι
Πολλὰ ἀχέσσ', ἠρᾶτο πατὴρ γενετῆρι φίλῳ,
Πολλὰ δὲ καὶ γαῖαν πολυφόρβην χερσὶν ἀλοία
Κικλήσκων' ἀΐδην, καὶ ἐπαινὴν Περσεφόνειαν,
Πρόχνυ καθεζομένη. δεύοντο δὲ δάκρυσι κόλποι,
Παιδὶ δόμων θάνατον. τῇ δ' ἠερφοῖτις ἐρινὺς
Ἔκλυεν ἐξ ἐρέβεσφιν, ἀμείλιχον ἦτορ ἔχουσα.
Τῶν δ' ἐτάχ' ἀμφὶ πύλας ὁμαδος, καὶ δοῦπος ὀρώρει
Πύργων βαλλομένων. τόνδ' ἐνίσσοντο γέροντες
Αἰτωλῶν. πέμπον δὲ θεῶν ἱερῆας ἀρίστους
Ἐξελθεῖν, καὶ ἀμοιβαί, ὑποσχόμενοι μέγα δῶρον,

Ὁππόθι

ἐπεὶ ἑαυτῷ, θεὸς ἐβούλετο νομίζεσθαι. διόσπερ ὅτε γαμετὴ διακριθέντος αὐτῇ ἐκάλει Δία. πανδῶρον Ἥραν τὴν γυναῖκα. Ζεὺς ἢ ἀγανακτήσας, μετέβαλεν αὐτὰς ὡς ὄρνεα χωρὶς ἀλλήλων βιῶντα. ἐκλήθη ἢ ἡ μὲ Ἀλκυόνη, ὁ δὲ κήυξ. παρὰ ἢ τοῖς ἀγγελοῖς ἡ Ἀλκυόνος τεκτόσης, συμβάντος ἐπελθόντος τὰ κύματα, τὰ ἔγγονα οὐδὲ κατασύρειν. Ζεὺς ἢ θεασάμενος αὐτὴν πλησιάσας, κατακλεύσας, ἐπέταξε τοῖς ἀνέμοις καθ' ὃν καιρὸν ἡ Ἀλκυόνη τίκτει μὴ πνεῖν. μέχρι τεσσαρεσκαίδεκα ἡμέρων ἢ χειμῶν ἐξανυσάμενος. ἔρπτε ἢ Ἀλκυὼν, παρὰ τὸ ἐν ἁλὶ νύσσειν. οἱ ἢ γονεῖς ἀπὸ τῶν αὐτῇ συμβεβηκότων ἔτως ἐκάλεσαν αὐτὴν Κλεοπάτραν. ὡς μεγαπένθη. καὶ ὄρνεα ἐκλαγε δὲ ἢ αὔλαρα Ἰδαν, ὅτε αὐτὴν ἥρπασεν Ἀπόλλων. πολυπενθέος.] ἐπιπολὺ πενθέσης. οἷτον.] μέρον συμφορᾶς. παρακατέλεκτο.] παρέκειτο. πάσαν.] πεπάνων, παρυγορῶν, ἢ συνέχων. ἐξ ἀρέων μητρὸς κεχολωμένος.] διὰ τὰς ἢ μητρὸς καταράς ὀργισμένου. ἀχέσσα.] λυπεμένη. κασιγνήτοιο φόνοιο.] διὰ τὸν φόνον τῶν ἀδελφῶν. ἀπέκτεινε μὲ γὰρ Μελέαγρος τοὺς μήτρωας. ἢ αὐτὶ ἢ ὑπὸρ κασιγνητικοῦ φόνου, ἐπεὶ γὰρ ἐς ἴλιον ὁ αὐξηρημένος ἡ Ἀλθαίας ἀδελφὸς, ἀλλὰ πλήσιος. Ἰφικλῆς Πολυφαΐτης, Φαίνης, Εὐρύπυλος, Πλήξιππος. πολυφόρβην.] πολλὰς φέρουσαν, ὅθεν καὶ ἱπποφόρβια λαλεῖται τὰ ἵππους τρέφοντα χωρία. χθονὶ ἀλοία.] τῶν χθονὶ ἐτυπῆν. ὅθεν καὶ πατραλοίας ὁ τὸν πατέρα τύπτων. σύκονται ἢ οἱ ὄρνεις τοῖς μὲ ἠρανίοις θεοῖς αἰὼ τὰς χῆρας αὐίσκοντες, μεγάλ' ἐκέτευσε. τοῖς ἢ θαλασσίοις, πολλὰ δὲ μητέρα φίλην ἠρήσατο χῆρας ἐργεννὺς, ἃς θάλασσαν ἀπολονέτι. τοῖς καταχθονίοις ἢ πόπτοντες τὸν γλῶ, ὡς ἐνθάδε φησί. κικλήσκουσα.] ἐπικαλουμένη. ἐπαινὴν.] φοβερά. πρόχνυ.] ἐς γόνατα. δύοντο.] ἐβρέχοντο. ἠερφοῖτις ὀρινύς.] ἐκ τοῦ σπόρος ὀρχομένη. ἀέρα τοῦ. ἔρπεται δὲ ἐρινὺς, ἤτοι παρὰ τὸ ἐν τῇ ὀρᾷ νάειν καὶ οἰκεῖν. ὃ ἐστὶ τῇ γῇ. κατεχθονία γὰρ ἡ πλάνη. ἢ οἱονεὶ ἀρανὲς τις ἔσα καὶ τὰ αἴσια αὐίσασα καὶ ἐκ τελέσα. ἐξ ὀρίδυσιν.] ἐκ τοῦ σπόρους. ἀμάλιχον.] ἀπηνῆς, σκληρόν.

Ὀπτόθι πότα τὸν πεδίον Καλυδῶνος ἐραννῆς.
Ἔνθά μιν ἤνωγον τέμνῳ περικαλλὲς ἑλέσθαι
Πρωτηνοτάγορον. τὸ μὲν ἤμισυ οἰνοπέδοιο,
Ἥμισυ δέ, ψιλὴν αἶσαν πεδίοιο τανύσθαι.
Πολλὰ δέ μιν λιτάνευε γέρων ἱππηλάτα Οἰνεύς,
Οὐδὸν ὑπερβαίνοντα ὑψηρεφέος θαλάμοιο,
Σείων πολλητὰς σανίδας, γουνούμενός ῥ' υἱόν.
Πολλὰ δὲ τόν γε κασίγνητοι, καὶ πότνια μήτηρ,
Ἐλίσσοντ', ὁ δὲ μᾶλλον ἀνάινετο, πολλὰ δ' ἑταῖροι,
Οἳ οἱ κεδνότατοι, καὶ φίλτατοι ἦσαν ἁπάντων. 10
Ἀλλ' οὐδ' ὣς τοῦ, θυμὸν ἐνὶ στήθεσσιν ἔπειθον.
Πρίν γ' ὅτε δὴ θάλαμον πύκα βάλλον. τοῖσι δ' ὦρτο πύρ
Βαῖνον κεκρῆτες. καὶ ἐνέπρηθον μέγαν αἶσυ. (γωμ
Καὶ τότε δὴ Μελεάγροιο εὐζώνου πρὸς κοίτις,
Λιστὸ ὀδυρομένη, καὶ οἱ κατέλεξεν ἅπαντα
Κήδε', ὅσ' ἀνθρώποισι πέλει, πόλιν ἁλόντων.
Ἄνδρας μὲν κτείνασι, πόλιν δέ τε πῦρ ἀμαθύσῃ,
Τέκνα δέ τ' ἄλλοι ἄγουσι, βαθυζώνους τε γυναῖκας.
Τοῦδ' ἀρείνῳ θυμὸς ἀκόντος κακὰ ῥέζειν. 20
Βῆ δ' ἰέναι. χροϊοῦ δ' ὣς τε ἐδύσατο θαλπωφανόωντα.
Ὡς ὁ μὲν Αἰτωλῆσιν ἀπήμυνε κακὸν ἦμαρ,
Εἶξας ᾧ θυμῷ, τοῖ δ' οὐκέτι δῶρ' ἐτέλεσσαν
Πολλά τε καὶ χαρίεντα. κακὸν δ' ἤμυνε καὶ αὐτούς.
Ἀλλὰ σὺ μήμοι ταῦτα νόει φρεσί. μὴ δέ σε δαίμων
Ἐντανύσειε πρέψαι. φίλος. κάκιον δὲ κεν εἴη
Νηυσὶ κακομηνῆσιν ἀμυνέμεν, ἀλλ' ὦνα δίδρωσκε
Ἔρχεο. ἴσον γάρ σε θεῷ πίσυσιν Ἀχαιοί.
Εἰδλὴν δ' ἄτερ δώρων πόλεμον φθίσηνορα δλύκε. 30
Οὐκ ἔθ' ὁμῶς τιμῆς ἕσεαι. πόλεμον περ ἀλαλκών.
Τὸν δ' ἀπαμειβόμενος, προσέφη πόδας ὠκὺς Ἀχιλ-
Φοίνιξ ἄπατα γεραιέ, διοτρεφὲς. ὄτι με τοῦτος (λεύς.
Χρεὼ τιμᾶς. φρονέω δὲ τετιμῆσθαι Διὸς αἴσῃ,
Ἥμ' ἔξει. παρὰ νηυσὶ Κορωνίσιν, εἰσόκ' ἀϋτμὴ
Ἐν στήθεσι μολύνῃ, καί μοι φίλα γυῖα τέτηκε.
Ἄλλο δέ τοι ἐρέω, σύ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσι.
Μήμοι σύγχει θυμὸν ὀδυρόμενον, καὶ ἀχεύων,
Ἀτρείδῃ ἥρωϊ φέρων χάριν. ὄδ' ἔτι σε χρὴ
Τὸν φιλέειν, ἵνα μήμοι ἀπέχθεσθαι φιλέοντι.
Καλὸν τοι σὺν ἐμοὶ τὸν, κήδειν, ὥς κε μὲ κήδῃ.
Ἶσον ἐμοὶ βασίλευε, καὶ ἥμισυ μείρεο τιμῆς.
Οὗτοι δ' ἀγγελέουσι. σύ δ' αὐτόθι λέξεο μίμνων
Εὐνῇ ἐνὶ μαλακῇ, ἅμα δ' ἠοῖ φαινομένῃφι,
Φρασσόμεθ' ἤκε νεώμεθ' ἐφ' ἡμέτερ'. ἤκε μένωμεν.
Ἦ καὶ Πατρόκλῳ ὄγ' ἐπ' ὀφρύσι νδῦσε σιωπῇ, 50
Φοίνικι ξορέσαι πυκινὸν λέχος, ὄφρα τάχιστα

Ἐκκλι-

Ἐκ κλισίης νόσοιο μεδοίατο. τοῖσι δ' ἄρ Αἴας
Ἀντίθεος Τελαμωνιάδης μετὰ μῦθον ἔειπε.
Διογενὲς Λαερτιάδη πολυμήχαν' Ὀδυσσεῦ,
Ἴομεν, ἢ γάρ μοι δοκέει μύθοιο τελευτή.
Τῇ δὲ γ' ὁδῷ κρανέεσθαι, ἅπαγε εἶπας δὲ τάχιστα
Χρὴ μῦθον. Δαναοῖσι κακὰ δὴ κάγαθὸν περ ἐόντα,
Οἵπερ νῦν ἔασιν ὑποδιδεγμένοι. αὐτὰρ Ἀχιλλεύς,
Ἄγριον ᾧ στήθεσι δέτο μεγαλήτορα θυμόν,
Σχετλίῃ, οὐδὲ μετατρέπεται φιλότητος ἑταίρων,
Τῆς, ἣ μιν πρὶν νηυσὶν ἐπίμεμψ' ἔξοχον ἄλλων.
Νηλὴς. ἦ μὲν τίς τε κασιγνήτοιο φόνοιο
Ποινήν, ἢ υἱοῦ ταμέσθ' ἐδέξατο τεθνειῶτος.
Καί ῥ' ὁ μὲν, ἐν δήμῳ πολέι αὐτοῦ πολλ' ἀποτίσας.
Τῷ δέ τ' ἐρητύετο κραδίη, καὶ θυμὸς ἀγήνωρ,
Ποινὴν δ' ἐξαμολύσ. σοὶ δ' ἄλλην τόν, ἣν τάχα
Θυμὸν ἐνὶ στήθεσι θεοὶ θέσαν εἵνεκα κούρης
Οἴης. νῦν δέ τοι ἑπτὰ πρόχυμοι ἔξοχ' ἀείσας,
Ἄλλά τε πολλ' ὦν τῆσι. σὺ δ' ἴλαος ἐνθέο θυμόν.
Αἰδέεσθαι δὲ μέλαθρον, ὑποφῆτοι δέ τοι εἰμὲν
Πληθύος ἐκ Δαναῶν, μέμαμεν δέ τοι ἔξοχον ἄλλων,
Κήδιστοί δ' ἐμέναι, καὶ φίλτατοι, ὅσσοι Ἀχαιοί.
Τὸν δ' ἀπαμειβόμενος, προσέφη πόδας ὠκὺς Ἀχιλλεύς.
Αἶαν διογενὲς, Τελαμώνιε, κοίρανε λαῶν,
Πάντα τί μοι κῆρ θυμὸν ἐείσω μυθήσασθαι.
Ἀλλά μοι οἰδάνεται κραδίη χόλῳ, ὁππότ' ἐκείνου
Μνήσομαι, ὅς μ' ἀσύφηλον ἐν Ἀργείοισιν ἔρεξεν
Ἀτρείδης. ὡσείπερ ἀτίμητον μετανάστην.
Ἀλλ' ὑμεῖς ἔρχεσθε, καὶ ἀγγελίην ἀπόφασθε.
Οὐ γὰρ πρίν πολέμοιο μεδήσομαι αἱματόεντος,
Πρίν γ' υἱὸν Πριάμοιο δαΐφρονος Ἕκτορα δῖον
Μυρμιδόνων ἐπί τε κλισίας, καὶ νῆας ἱκέσθαι
Κτείνοντ' Ἀργείους, κατά τε σμύξαι πυρὶ νῆας.
Ἀμφὶ δέ τοι τ' ἐμὴν κλισίην, καὶ νηῒ μελαίνῃ
Ἕκτορα καὶ μεμαῶτα μάχης δήσεσθαι οἴω.
Ὣς ἔφαθ', οἱ δὲ ἕκαστος ἕλὼν δέπας ἀμφικύπελλον,
Σπείσαντες, πρὰς νῆας ἴσαν πάλιν, ἦρχε δ' Ὀδυσσεύς.
Πάτροκλος δ' ἑτάροισιν, ἰδὲ δμωῇσι κέλευσε
Φοίνικι στορέσαι πυκινὸν λέχος ὄφρ', ἧσι τάχιστα.
Αἳ δ' ὣς πειθόμεναι, στόρεσαν λέχος ὡς ἐκέλευσε,
Κώεά τε, ῥῆγός τε, λίνοιό τε λεπτὸν ἄωτον.
Ἔνθ' ὅ γ' ἔρων κατέλεκτο. ἀτὰρ δίαν ἐμιμνεν.
Αὐτὰρ Ἀχιλλεὺς, εὖδε μυχῷ κλισίης εὐπήκτῳ.
Τῷ δ' ἄρα παρκατέλεκτο γυνὴ, τὴν Λεσβόθεν ἦγε
Φορβαντος θυγάτηρ Διομήδη καλλιπάρῃ.
Πάτροκλος δ' ἑτέρωθεν ἐλέξατο, παρὰ δ' ἄρα καὶ τῷ,
Ἰφις ἐϋζώνῳ, τὴν οἱ πόρε δῖος Ἀχιλλεύς,

Σκῦρον

μεδοίατο.] πρόνοιαν ποιήσαντο. φροντίσαιμεν. μύθοιο τελευτή.] τὸ τέλος ἀπὸ λόγου. πρανέεσθαι.] τέλος λήψεσθαι. τελειωθήσεσθαι. μεταξὺ ἑτέρων. ἐπιστροφὴν ποιεῖται. φροντίζει. ὑπολήγ.] ἀνιηρὸς. σκληρός. ποινήν.] ἀντίκτισιν. τιμωρίαν. ἔλαβέ τις ὑπὲρ ἀδελφικοῦ φόνου. ἀλλικτόν.] ἀπαράπαυστον. ἀδιάπαυτον. εἶπεν κούρης οἵης.] ἤτοι ὁποίας ἐρωμενικῶς. ἢ μιᾶς κόρης. ἐπὶ τῆσι.] πρὸς ταύτας. ἄλκομαι.] ἀλέομαι. ἐνθέο.] ποίησον. αἰδέσεται.] αἰδεσθήτω. μέλαθρον.] συνεκδοχικῶς οἰκίαν. ὑποφῆτοι.] ὑπὸ τῶν αὐγῶν σ' ἐγνωμ. κήδιστοι. οἰκειότατοι, φροντιστικώτατοι. πάντα τι μοὶ κατὰ θυμὸν ἐείσω.] ἅπαντά μοι καθικόντως ἐλόξας ἐρεῖν. οἰδάνεται.] πληροῦται ὑπὸ ὀργῆς. ἐκ μεταφορᾶς τῶν φλεγμονῆς ἢ καμάτου. οἰδήμα. ἀσύφηλον.] ἀδόκιμον. ἀμαθῆ. οἱ δ' ἀντὶ τοῦ ἀσυφήλως ὅ ἐστιν ὑβριστικῶς. ἀτίμητον.] ἄτιμον, ἢ τὸν ἐν τιμήματι πολιτείας οὐ συναριθμούμενον. τιμητικοὶ γὰρ ἦσαν λοῦντο οἱ ἐν ταῖς πολιτείαις. μετανάστην.] μέτοικον. φυγάδα. ἀπόφασθε.] ἀπαγγέλατε. μεδήσομαι.] πρόνοιαν ποιήσομαι. κατά τε σμύξαι.] κατακαῦσαι. σχήσεσθαι. ἀποσχεθῆναι. κώεα.] κώδια, ἤτοι προβάτων ἔρματα. ἢ ἱρηται ἀπὸ τοῦ ἐγκεῖσθαι, ἤτοι ἐγκοιμᾶσθαι. ῥῆγος. τὸ βεβαμμένον ἱμάτιον. ἢ ῥηγᾶς οἱ βαφεῖς. λίνοιό τε λεπτὸν ἄωτον.] περιφραστικῶς λινοῦν πορφυροῦν. μυχῷ κλισίης.] ἐν τῷ ἐνδοτάτῳ τόπῳ τῆς σκηνῆς. παρακατέλεκτο.] παρεκοιμήθη. παρεκλίθη. Λεσβόθεν.] Λέσβος νῆσος πλησίον Ἀσίας.

Σκῦρον.] Σκῦρος δὲ νῦν μὲν Φρυγίας, πρότερον δὲ Κιλικίας. ἔστι καὶ νῆσος τῆ Κυπλάδων. ἣν οὐ πορθήσασα ἀλλ' ἀρπαγικῶς καταδραμὼν ἀλαφυραγώγησεν. ἀπέβαν.] ὑψηλήν. Ἐνυῷ· πτολίεθρον.] ὑπὸ Ἐνυόος· βασιλευθέσαν. ἣν ἦ οὗτος υἱὸς Διονύσου. κυπίλλοις.] ποστηρίοις. παρὰ τὸν ποιλότητα ἀναταδόν.] ἀναταντες. πολύαμνε.] πολλοῦ ἐπαίνου ἄξιε. ἀπέκατε.] ἀπηγόρευσε. σθένει.] καταπαῦσαι ἡ μεταφορὰ ἀπὸ τῆ πυρός. πιμπλάνεται μένεος.] πλησθῆναι ὀργῆς. σὲ δ' ἀνάγκη ταῦτα ἀναγγέλλει.] ἡ κατάταξις ἐκφαυλίζων. ὁ παραπροβάλει ἡ Ὀδυσσεὺς, ἀλλ' ὁ πρὸς αὐτὸν ἔπος ὁ Ἀχιλλεὺς ταῦτα ἀναγγέλλει. ἡ κατάταξις ἦ διατὶ καὶ πῶν πρὸς Αἴαντα Ἀχιλλέως ἀπόκρισιν Ὀδυσσεὺς οὐ λέγει. ῥητέον οὖν ὅτι σκληρῶς αὐτῷ ἀπεκρίνατο λεκτέον ἦ ηκει πρὸς τοὺς ῥητοῦντας τίνος ἕνεκεν ἄλλοι τινὲς οὐκ ἐπρίσθησαν ἀλλ' οὗτοι. ὡς οἰκειότροι τῆ ἄλλων καὶ φρονιμώτροι καὶ ἱκανοὶ τὸ λυσπεθεῖς ἴσως πεῖσαι τῆ ἥρωος. ἠπέλησε.] ἀλωρήσατο. ἅπαξ. χάρα ἐὴν ὑπέρισχεν.] ὑπόρασπίζει αὐτῇ. λήτου.] εὑρήσετε. ἐξ οὗ τινὲς καὶ τῶν Δόμητρα ἀλκὼ λέγουσι. διὰ τὸ τοὺς ἐντυχάνοντας αὐτῇ ζητοῦσι πῶν θυγατέρα λέγειν ἀλήθεις δ' ἐστὶν εὑρήσεις. Αἴας καὶ κήρυκε ἀλῶν.] θέλων τὸν Ἀγαμέμνονα σπέψαθαι ὡσρὶ τῆ ὡρακτέων ἐνεχείρησε τὸν Αἴαντα σιωπᾶν.] τετιμωρημένοι. μὴ ὄφελες. ἀντὶ τῆ μὴ ὤφειλες. ἀεὶ γὰρ ἀντισασιώτης τῆ Ἀχιλλέως ὁ Διομήδης εὑρίσκεται. ἀγήνωρ.] ἄγαν αὐθάδης, καὶ ὑπερόπτης. ὑβριστής. ἢ ὁ ἀγαπῶν πῶν ἀνορέαν ἄγαν πῶν ἀνδρείαν, ἀγανορίησιν ἐνῆκας.] αὐθάδη νῦν ἐποίησας αὐτὸν πλέον καὶ ὑπερήφανον. ἵησιν.] ἀπέλθῃ. ἤκε μένη. ἐὰν μένῃ. ἅπαξ δὲ αὖτε μαχήσεται.] ἐκὼς Αἴαντος αὐτῷ νεύσαντος ὅτι μένει λευτεργούντα ὡροθέναι αὐτά. τειταρπόμενοι.] ἐς τέρψιν ἐλυσθῆτες. κικορεσμένοι. τὸ γὰρ μένω· ὅθεν καὶ ἀλκή.] ἦτο γὰρ δυνάμεός ἐστιν. ὕπνε πῶν.] ἀνάπαυσιν ἦ ὕπνε, ὡσρὶφερα γικῶς.

Σκῦρον ἑλὼν ἀπέβαν Ἐνυῷ πτολίεθρον.
Οἳ δ' ὅτε δὴ κλισίησιν ὑφ' Ἀτρεΐδαο γένοντο,
Τὸν μὲν ἄρα χρυσόθρονος ὑπτέλλοις ὕπνος Ἀχαιῶν
Δεσθὲ χατ' ἄλλοθεν ἄλλος ἀναστάδον, ἐκτ' ἐρέοντο.
Πρῶτος δ' ἔξερέεινεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων.
Εἰπ' ἄγε μὲ ὦ πολύαιν' Ὀδυσεῦ, μέγα κῦδος Ἀχαιῶν
Ἦ ῥ' ἐθέλει νήεσσιν ἀμυνέμεναι δήιον πῦρ,
Ἦ ἀπέειπε, χόλος δέ' ἔχει μεγαλήτορα θυμόν;
Τὸν δ' αὖτε προσέειπε πολύτλας δῖος Ὀδυσεύς.
Ἀτρεΐδη κύδιστε ἄναξ ἀνδρῶν Ἀγαμέμνον,
Κεῖνος δ' ὄκ ἐθέλει σβέσσαι χόλον· ἀλλ' ἔτι μᾶλλον
Πιμπλάνεται μένεος. σὲ δ' ἀπώσεται, ἠδὲ σὰ δῶρα.
Αὐτὸν σὲ φράζεσθαι ἄμ' Ἀργείοισιν ἄνωγεν.
Οππως κεν νῆάς τε σόας, καὶ λαὸν Ἀχαιῶν.
Αὐτὸς δ' ἠπείλησεν ἀνὶ νοῒ φαινομένῃφι
Νῆας ἐϋσσέλμους ἅλαδ' ἑλκέμεν ἀμφιλίσσας.
Καί δ' ἂν τῆς ἄλλοισιν ἔφη πρὰμυθήσασθαι
Οἵκαδ' ἀποπλέειν, ἐπεὶ οὔκέτ' ἀνέπ δήετε τέκμωρ
Ἰλίου ἀπεινῆς. μάλα γὰρ ἔθεν εὐρύοπα Ζεὺς
Χεῖρά ἑὴν ὑπερέσχε. τεθαρσήκασι δὲ λαοί.
Ὣς ἔφατ', εἰσὶ δ' οἵδε τά δ' ἐπέμερ, οἱμοι ἔπονται.
Αἴας, καὶ κήρυκε δύω τετιμένω ἄμφω.
Φοίνιξ δ' αὖθ' ὁ γέρων κατέλεξατο. ὡς γὰρ ἀνώγει,
Ὄφρα οἱ ὦ νήεσσι φίλην ἐς πατρίδ' ἕπηται.
Αὔριον, ἢν ἐθέλησιν ἀνάγκη δ' οὔτι μιν ἄξει.
Ὡς ἔφαθ', οἱ δ' ἄρα πάντες ἀκὴν ἐγρύοντο σιωπῇ
Μῦθον ἀγασσάμενοι, μάλα γὰρ κρατερῶς ἀγόρευσε.
Δὴν δ' ἄνεω ἦσαν τετιηότες υἱες Ἀχαιῶν.
Ὀξὺ δὲ δὴ μετέειπε βοὴν ἀγαθὸς Διομήδης.
Ἀτρεΐδη κύδιστε ἄναξ ἀνδρῶν Ἀγαμέμνον,
Μὴ ὄφελες λίσσεσθαι ἀμύμονα Πηλείωνα,
Μυρία δῶρα διδόντα, ὅδ' ἀγήνωρ ἐσσι σὺ ἄλλως.
Νῦν αὖ μὴν μᾶλλον μᾶλλον ἀγυνορίησιν ἐνῆκας.
Ἀλλ' ἤτοι κεῖνον μὲν ἐάσομεν, ἦκεν ἰῶσιν,
Ἠὲ μεθίη. τό τε δ' αὖτε μαχήσεται ὁππότε κέν μιν
Θυμὸς ἐνὶ στήθεσσιν ἀνώγῃ καὶ θεὸς ὄρσῃ.
Ἀλλ' ἄγεθ' ὡς αὖ ἐγὼ εἶπω, πειθώμεθα πάντες.
Νῦν μὲν κοιμήσασθε τετραπόμενοι φίλον ἦτορ,
Σίτου καὶ οἴνοιο. τὸ γὰρ μένος ἐσθλὸν ἐείκει.
Αὐτὰρ ἐπὴν κε φανῇ καλὴ ῥοδοδάκτυλος ἠὼς
Καρπαλίμως πὸ νεῶν ἐχέμεν λαόν τε, καὶ ἵππους
Ὀτρύνειν, καὶ δ' αὐτὸς ἐνὶ πρώτοισι μάχεσθαι.
Ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἐπεύνεσσαν Βασιλῆες,
Μῦθον ἀγασσάμενοι Διομήδεος ἱπποδάμοιο.
Καὶ τότε δὴ σπείσαντες, ἔβαν κλισίηνδε ἕκαστος.
Ἔνθα δ' ἐκοιμήσαντο, καὶ ὕπνος δῶρον ἔλοντο.

ΙΛΙΑΔΟΣ

ΥΠΟΘΕΣΙΣ ΤΗΣ Κ ΤΟΥ
ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

Ἀγαμέμνων ἀγρυπνήσας, αὐτίκα τοὺς ἀρίστους τῶν Ἑλλήνων καὶ τὸν Μενέλαον ἐκάλει ἐπὶ δὲ τάφρα συμβουλευσάμενοι, ὠμπασι κατασπόπας εἰς τὸ τῶν Τρώων στρατόπεδον Ὀδυσσέα καὶ Διομήδην. οἱ, Δόλωνα μὲν συναντήσαντες, ἀναιρῶσι. πυθόμενοι δὲ παρ' αὐτοῦ Ῥῆσόν τινα βασιλέα καὶ Θρᾴκας παραγενέσθαι, ἐνθα τε, ἐστρατοπεδεῦσαντο. ἐπελθόντες δολοφονοῦσι τὸν Ῥῆσον καὶ τῶν ἑτάρων τινάς. τούς τε ἵππους αὐτοῦ ἀπελάσαντες εἰς τὸν ναύσταθμον παραγίνονται.

ΣΧΟΛΙΑ ΕΙΣ ΤΗΝ Κ ΤΟΥ
ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΝ.

Εἰσάκις γὰρ ὦλε πρύμνῃ μεγακήτει νηΐ,
Εἰσορόων πόνον αἰπὺν ἰὼκέ τε λακρυόεσσαν.
Αἶψα δ' ἑτάρου ἑὸν Πατροκλῆα προσέειπεν,
φθεγξάμενος παρὰ νηός. ὁδὲ κλισίηθεν ἀκούσας,
Ἐκμολεν ἶσος Αρῆϊ, κακὴ δ' ἄρα οἱ πέλεν ἀρχή.
Τὸν πρότερος προσέειπε Μενοιτίου ἀλκιμος υἱός.
Τίπτε μοι κικλήσκεις Αχιλεῦ, τί δέ σε χρεὼ ἐμεῖο.
Τὸν δ' ἀπαμειϐόμενος, προσέφη πόδας ὠκὺς Αχιλλεύς.
Δῖε Μενοιτιάδη κατὰ θυμὸν κεχαρισμένε θυμῷ,
Νῦν εἶσ πολὺ γόνατ' ἐμά, ἐπισσεῦαι Αχαιὸς
Λισσομένους. χρειὼ γὰρ ἱκάνει τάδε ἔτ' ἀνεκτός.
Ἀλλ' ἴϑι νῦν Πάτροκλε Διὶ φίλε Νέσορ ἐρεῖο,
Ὅν τινα τοι τρώσας ἄγει Βεβλημένον ἐκ πολέμοιο.
Ἦ τοι μὲν τάγ' ὄπιϑε Μαχάονι πάντα ἔοικε.
Τῷ Ασκληπιάδην. ἀτὰρ οὐκ ἴδον ὄμματα φωτός.
Ἵπποι γάρ με παρήϊξαν πρόσσω μεμαῶτες.
Ὣς φάτο, Πάτροκλος δὲ φίλῳ ἐπιπείϑετ' ἑταίρῳ.
Βῆ δὲ θέειν παρά τε κλισίας, καὶ νῆας Αχαιῶν.
Οἱσιν δ' ὅτε δὴ κλισίηφι Νηλιάδεω ἀφίκοντο,
Αὐτοῖσίν ῥ' ἀπέϐησαν ἐὺ χϑόνα πολυβοτείρην.
Ἵππους δ' Εὐρυμέδων θεράπων λύε τοῖο γέροντος,
Ἐξόχεων, οἱσὶ δ' ἰδρῶ ἀπεψύχοντο χιτῶνες,
Στάντε πρὸ πνοιὴν παρὰ δῖν' ἅλός, αὐτὰρ ἔπειτα
Ἐς κλισίην ἐλθόντες, ἓδρῃ κλισμοῖσι κάθιζον,
Τοῖσι δὲ τεύχε κυκειὼ ἐϋπλόκαμος Ἑκαμήδη.

Τὴν

Τήν ἄρετ' ἐκ Τρώων διοτρεφέων γέρων. ὅτε πέρσεν Ἀχιλλεὺς
Θυγατέρ' Ἀρσινόου μεγαλήτορος. ἦν οἱ Ἀχαιοὶ
Ἔξελον οὕνεκα βουλῇ ἀρισεύεσκεν ἀπούρων.
Ἦ, σφωΐν πρῶτον μὲν, ὦ πρόϊλε πράπιδι ζαρ,
Καλὴν, κυανόπεζαν, εὐξέστην, αὐτὰρ ἐπ' αὐτῇ,
Χάλκειον κάνεον. ὦ δὲ, κρόμυον ποτῷ ὄψον,
Ἥδε μέλι χλωρόν. πάρασθ' ἀλφίτου ἱερὸν ἀκτήν.
Πᾶρ δὲ, δ' ἔπας πεπαλὼς, ὁ οἰνοθεν ἦν ὄγδοος
Χρυσείοις ἥλοισι πεπαρμένον. ἄατα δ' αὐτοῦ,
Τέσσαρ' ἔσαν, δοιαὶ δὲ πελειάδες ἀμφὶς ἔνασσον,
Χρύσειαι νεμέθοντο. δίνω δ' ὑπὸ πυθμένες ἦσαν.
Ἄλλος μὲν μογέων ἀποκινήσασκε τραπέζης,
Γλῆσον ἐὸν, Νέσωρ δ' ὁ γέρων ἀμογητὶ ἄειρεν
Ἐν τῷ ῥά σφι κύκησε γυνὴ εἰκυῖα θεῇσιν,
Οἴνῳ πραμνείῳ, ὦ δ' ἄλγεον κνᾶ τυρόν,
Κνίσι χαλκείῃ. ὦ δ' ἄλφιτα λευκὰ πάλυνε.
Πινέμεναι δ' ἐκέλευσεν, ἐπεί ῥ' ὤπλισε κυκειῶ,
Τῶ δ' ἐπεὶ δὴ πίνον τ' ἀφέτην πολυκηδέα δίψαν,
Μύθοισιν τέρποντο πρὸς ἀλλήλους ἀγέποντες
Πάτροκλος δὲ, θύρῃσιν ἐφίστατο ἰσόθεος φώς
Τὸν δ' εἰσιδὼν ὄγε μεῖος ἀπὸ θρόνου ὦρτο φαεινοῦ.
Ἓς δ' ἄγε χειρὸς ἑλὼν, κατὰ δ' ἕδριάασθαι ἄνωγεν
Πάτροκλος δ' ἐτέρωθεν ἀνήνειτο εἶπέ τε μῦθον,
Οὐχ' ἕδος ὄδε γεραιὲ διοτρεφὲς, ὀδέ με πείσεις
Αἰδοῖος νεμέσσητος, ὅ, με πολέεσσι πυθέσθαι,
Ὄφρα τοι τόν τ' ἄγω βεβλημένον, ἀλλὰ καὶ αὐτὸς
Γινώσκω. ὁρόω δὲ Μαχάονα ποιμένα λαῶν
Νῦν δὲ, ἕπος ἐρέων πάλιν ἄγγελος εἶμ' Ἀχιλῆϊ
Εὖ δὲ σὺ οἶσθα γεραιὲ διοτρεφὲς, οἷός ἐκεῖνος
Δεινὸς ἀνήρ, τάχα κεν, καὶ ἀναίτιον ἀτιόωτο.
Τόνδ' αὖτε προσέειπε γερήνιος ἱππότα Νέστωρ.
Τίπτε τ' ἄρ ὧδ' Ἀχιλεὺς ὀλοφύρεται υἷας Ἀχαιῶν.
Ὅσσοι δὴ βελέεσσι βεβλήατο, νόσφι ποι οἵδε
Πήνθε, ὅσσον ὄρωρε νηῒ σρατόν. οἱ γὰρ ἄριστοι
Ἐν νηυσὶν κέαται βεβλημένοι, ἀτάρμυοί τε.
Βέβληται μὲν ὁ Τυδέος κρατερὸς Διομήδης.
Οὕτασαι δ' Ὀδυσεὺς δουρικλυτὸς, ἠδ' Ἀγαμέμνων
Βέκληται δὲ καὶ Εὐρύπυλος κῆρι μεδὼν ὀϊστῷ.
Τὸν δ' ἄλλον ἐγὼ νέον ἤγαγον ἐκ πολέμοιο,
Ἰῷ ἐπὰ νευρῇ βεβλημένον. αὐτὰρ Ἀχιλλεὺς

Ἑδλό

ἑξελον.] ἐβάρυτον ἐσίωπαν. ἐπιπροΐηλεν.] ἐπ' αὐτῷ παρέθηκε. κυανόπεζαν.] κυανῷ τὸς πόδας κεχρισμένην μιλανόστεμ. κρόμυον ποτῷ ὄψον.] ποτικὸν ὄψον. ὅ ἐστι προσφάγιον. λίψους παρασκευασθέν, πᾶν ὃ τὸ μετὰ ἄρτου ἐσθιόμενον, ὄψον καλεῖται. ὅθεν ὁ τὸ κρόμυον ἢ πρὸς τὰ μὴ ἁλικὰ ἁρμόζον ὕδατα, ὡς ἀλεξιφάρμακον. μέλι χλωρόν.] πρόσφατον. νέον. ὅτου γὰρ ἡ ὥρας χλωρὸν τυρὸν λέγομεν ἢ νέον. διατί ὁ Πάτροκλον ὁ Ἀχιλλεὺς πέμπει. ῥητέον ὅτι ἁπλῶς οἰκονομίαν. ἐπειδὴ γὰρ ἄπρακτος ἡ πρεσβεία γεγένηται, διὰ Πατρόκλου βούλεται Νέστορα ἢ τὸ ἰατρεῦσαι, ὅπερ ἐκ ἐποίησαν οἱ πρέσβεις. ὥστε προσκονόμησε ἢ τὸ ποιητὴς οὕτως. ἵνα μὴ Νέστορος τιὸν ἢ λόγῳ δύναμιν παράσχῃ πρὸς Ἀχιλλέα δόξῃ μετ' ἐυλόγου προφάσεως εἰς ἢ πόλεμον ἐλάσειν. ἀλφίτου ἰσρὸν ἄκτήν.] ἤτοι ἄλφιτα, σχηματισμῶς ἀπὸ ἢ ἰδιάσεως ἀμπέλου οὕτω καλουμένης ἢ ἀπὸ ἢ ἀναδενδράδων ἔπειτα. πρίμνον γὰρ ἢ ὑφίτην καλοῦσιν ἄλλοι ἢ ἀπὸ Πράμνης ἔπος, Πράμνιος ἢ ὅρος ἐν τῇ Ἰκαρίᾳ οἰνοφόρον. πυήσει. μαχαρίῳ τυροτόμῳ. πάλινε.] κατέπασσεν ἐπὶ τῷ κυκεῶνι. καὶ γὰρ μετ' οἶνα καὶ μετὰ βρομοῦ αὐτὰ ἐσθίουσιν. ὤπλησεν.] ἤτοι μασε. πολυκαμάτου.] ἐκ ῥαντικήν. ἐννέποντες.] ἐπαγγέλλοντες. λέγοντες. εἰς δ' ἄγε.] ἐσύγαγε δέ. κατὰ δ' ἑδριάασθαι.] καθέζεσθαι, ἀνάνευτο.] ἀπηρνεῖτο. εἴρηται παρὰ τὸ ἀνανεύειν. οὐχ ἕδος.οὐχ ἕστι καιρὸς μοι νῦν ἢ καθέζεσθαι. ἕδος γὰρ ἡ κάθεδρα νῦν. νεμεσητός.] φιλομεμφής. ἢ μεμψίμοιρος, ὅ, μεν.] ὅστις με. πάλιν ἄγγελος. εἰς τοὐπίσω ἄγγελος. ἀναίτιον αἰτιάσατο.] καὶ τὸν μὴ αἴτιον ὡς αἴτιον μέμψοιτο ἄν. ὀλοφύρεται.] οἰκτείρει. ἐλεεῖ. κῆται.] κεῖνται. ἀριστεῖς.

ἄριστοι.] ἀκόντων. μὴ βλωμένων. ἐπισχρὸν.] ἐφεξῆς. ἑς.] λύναμις. γναμπτοῖσι. τοῖς παμπτωμένοις. ἢ νῶ. φιλονεικία. ἐτύχθη.] κατεσκευάσθη. ἐγένετο. ἀμφὶ βοηλασίης.] περὶ βοῶν ἀπελασίας. ὅτ' ἐγὼ κτάνον Ἰτυμονῆα.] Νηλεὺς ὁ Ποσειδῶνος ἱππικώτατος ἢ καθ' αὐτὸν γενόμενος. ἐπεμψεν ἐς Ἦλιν ἵππους ἐς τὸν ὑπ' Αὐγίου συντελούμενον ἀγῶνα. νικησάντων ἢ τούτων, φθονήσας Αὐγέας ἀπέστησε τούτους. καὶ τοὺς ἡνιόχους ἀφῆκεν ἀπράκτους. Νηλεὺς ἦγε νοῦς ἡσυχίαν ἦγε. Νέστωρ ἢ ὁ ἢ παιδικὸς αὐτῷ νεώτατος, στρατὸν ἀθροίσας ἐπῆλθεν Ἤλιδι.

Ἐθλός ἐών, Δαναοῖσι δ' ἀνήλετον, ὀδ' ἐλεαίρει.
Ἦ μὲν ἐς, εἰσόκε δὴν νῆες θοαὶ ἄγχι θαλάσσης,
Ἀργείων ἀέκητι, πυρὸς δήϊον θέρωνται.
Αὐτοί τε κτεινώμεθ' ὦν ἀχέρω, ὀδ' ἐμὴ ἴις,
Ἐδ' οἵη πάρ ἔσκεν ἐνὶ γναμπτοῖσι μέλεσιν.
Εἰ δ' ὡς ἠβώοιμι, βίη δ' ἔμπεδος εἴη,
Ὡς ὁπότ', ἠλείοισι καὶ ἡμῖν νεῖκος ἐτύχθη,
Ἀμφὶ βοηλασίην. ὅτ' ἐγὼ κτάνον Ἰτυμονῆα,
Ἐθλὸν Ὑπειροχίδην, ὃς ῥ' Ἤλιδι ναιετάασκεν.
Ρύσι ἑλαυνόμενοι, ὃδ' ἀμοιβὴν ἦσι βόεσσι.
Ἔβλητ' ἐν πρώτοισιν ἐμῆς ἀπὸ χειρὸς ἄκοντι.
Κάδδη δ' ἔπεσεν, λαοὶ δὲ περίτρεσαν ἀγροιῶται.
Λῃΐδα δ' ἐκ πεδίου σὺν ἑλάσσαμεν ἠλιθάτ' ἀοσμήν.
Πεντήκοντα βοῦς ἀγέλας τόσσα τ' ὠΐεα οἰῶν.
Τόσσα συῶν συβόσια, τόσ' αἰπόλια πλατὺ ἀείρων.
Ἵππας δ' ἑξανθὰς. ἑκάεσσι καὶ πεντήκοντα
Πάσας θηλείας, πολλῶσι δὲ πῶλοι ἑπῆσαν.
Καὶ τὰ μὲν ἠλασάμεθα πρὸ Νηλήϊον εἴσω,
Ἐννύχιοι. πρὸς ἄστυ, γεγήθει δὲ φρεσὶ Νηλεύς.
Οὔνεκά μοι τύχε πολλὰ νέῳ πολέμου δὲ κιόντι.
Κήρυκες δ' ἐλίγαινον ἅμ' ἠοῖ φαινομένῃφι,
Τῶν, ὅμερ οἵσι χρέος ὠφέλεσ' ἦν Ἠλιδὶ δίῃ.
Οἱ δὲ σωαγρόμενοι πυλίῳ ἠγήτορες ἀνδρες,
Δαίτρευον. πολέσιν γὰρ Ἐπειοῖ χρεῖος ὀφείλον.
Ὡς ἡμεῖς ταῦροι κεκακωμένοι ἦν Πύλῳ ἦμεν,
Ἐλθὼν γὰρ ἐκάκωσε Βίη Ἡρακληείη,
Τῷ πρώτῳ ἐτέῳ, καὶ δ' ἔκταθεν, ὅσσοι ἄριστοι.
Δώδεκα γὰρ Νηλῆος ἀμύμονες υἷες ἦμεν.
Τῶν, οἷος λιπόμην, οἱδ' ἄλλοι πάντες ὄλοντο.
Τῶν δ' ὑπερηφανέοντες Ἐπειοὶ χαλκοχίτωνες,
Ἠμέας ὑβρίζοντες ἀπάδαλα μηχανόωντο,
Ἐκ δ' ὁ γέρων ἀγέλην τε βοῶν καὶ ῶϊν μέγ' οἰῶν,
Εἵλετο κεινάμενος τριηκόσι, δὴν δὲ νομῆας,
Καὶ γὰρ χρεῖος μέγ' ὀφείλετ' ἐν Ἠλιδὶ δίῃ,

πρὶν ἐλθεῖν παρὰ τοῖς Γρηνίοις. ἢ ἐπεὶ συνεβούλευσεν εἰσαχθῆναι τὸν Ἡρακλέα. ὡς τινές φασιν. ὑπορηφανίσαντες. ὑπερηφανοῦντες καταφρονοῦντες. ἀτάδαλα.] ὑβριστικά. ἄλλως. κρινομένῳ.] διαχωρίσας ἄρας. καὶ γὰρ τῷ χρεῖος μέγ' ὀφείλετο.] Ἡρακλῆς, προσάξαντος Εὐρυδίκης, ἀνεκάθηρε τὸν Αὐγείου κόπρον. ἀπατοῦντι αὐτῷ τὸν μίσθον, οὐκ ἀπελίδου λέγων ἢ ἐπιταγῆς αὐτὸν ποιήσαι. Φυλεύς ἢ ὁ τούτου παῖς κριτὴς γενόμενος, κατέκρινε τὸν πατέρα. ὁ ἢ ἀγανακτήσας, ἐξέβαλεν αὐτὸν ἀπὸ χώρας. Ἡρακλῆς ἢ ἐπιστρατευσάμενος, Ἦλιν ἐπόρθησε. καὶ μετεπεμψάμενος τὸν Φυλέα ἐκ Δυλιχίου, παρεδίδωσιν αὐτῷ τὴν βασιλείαν. ὀλιγανδρείας ἢ οὔσης διὰ τὸ πολλοὺς ἐν τῷ πολέμῳ συνεφθάρθαι Ἡρακλῆς συγκατέκλινε τὰς ἢ τελευτησάντων γυναῖκας τῷ στρατῷ. οὕτως τε πολλῶν γεννηθέντων, ἐθνικε. Διὶ ἢ ὀλυμπιακὸν ἀγῶνα. καὶ αὐτὸς πρῶτος ἢ ἀγῶνα ἤγαγε. καὶ ἱστορία παρὰ Καλλιμάχῳ.

κηὰ πολλοὺς ἀποκτάνας, ἀπέλασε τοὺς ἵππους. κηὰ ἓκ ὀλίγων ἢ πολεμίων ἀπέσυραν λέαν. ἡ ἱστορία παρὰ Φερεκύδῃ. Ὑπειροχίδην.] Ὑπερόχῃ πᾶλας. ῥύσι ἐλαυνόμενοι.] ἀντὶ ἢ ῥυσιάζων. ὃ ἐστιν ἐνίσχυρα λαμβάνων. ῥύσιον ἢ τὸ ἐνίσχυρόν φησι. πορίτρισαν.] οἱ πορεῖς αὐτὸν διὰ λίος ἐφυγον. ἀγροῖσιν.] ἀγροῖκοι. ἀγρῶται. ἤλιθα πολλήν.] πάνυ πολλήν. πάνυ.] πολυμικα. συβόσια.] τὰ χειροτροφεῖα. Νηλέου.] τῶν ἢ Νηλέως. ἐννύχιοι.] διὰ δὲ νυκτός. λίγαινον.] ἰθύνω.] δξέως ἐκίνυσσον. τοὺς ἡμῶν.] τούτους συνέρχεσθαι. χρέος.] χρέως. λάνευον. ὠφέλετο.] ἐχρεωστεῖτο. λίη.] θαυμαστῶς. ἰσόθεος. ἐν αὐτῇ γὰρ ἐτιμᾶτο ὁλύμπιος Ζεὺς οὗ κὴ πανήγυρις κατὰ τετραετῆ χρόνον ἤγετο τὰ ὀλύμπια. ἔνθα ἠγωνίζοντο οἱ ἀπὸ δὴ Ἑλλάδος πάντες. ἔστι ἢ κὴ πόλις Πελοποννήσου. διὰ τρίνυον.] ἐμέριζον. Ἐπειοί.] οἱ Ἠλεῖοι. ἀπὸ Ἐπειοῦ βασιλέως. οὕτως Ποσειδῶνος κὴ Εὐρυπύλης δὴ Ἐνδυμίωνος πᾶς, οὗ Ἠλεῖος ὁ κτίσας Ἤλιδα. Ἠλεῖος ἢ Ἀλεξίς κὴ Ἐπειεύς. ἀφ' οὗ Ἐπειοί. ὥς φησιν Ἀριστοτέλης ἐν τῷ Πέπλῳ. κικλησκωμένοι.] κακῶς διατιθεμένοι. βεβλαμμένοι. ἐλθὼν γὰρ ἐκάκωσε βίη Ἡρακλείη.] Ἡρακλῆς παρεγένετο εἰς Πύλον χρήζων καθαρσίων. οἱ ἢ Πύλιοι ἀποκλείσαντες τὰς πύλας. ὃν ἐπολέξαντο αὐτόν. ἐφ' ᾧ ὀργισθεὶς ὁ Ἡρακλῆς, ἐπόρθησε Πύλον. συνεμάχῳ ἢ τῷ Νηλέως τρεῖς θεοῦ Ποσειδῶν, Ἥρα, Ἀθηνᾶ νύς. ὡς κὴ ἐν τῇ. φησί. ἢ πρωτέρῳ ἐτέων.] ἐν τῷ φθάσαντι χρόνῳ. λάθε καὶ γὰρ Νηλῆος ἀμύμονες υἷες ἦμεν ἢ οἷος λιπόμην.] τὸν Νέστορά φησι μόνον πορισθῆναι, τῶν ἢ Νηλέως πάλαι. ὅτου ὅτι νέος ὑπάρχων ἐξεμ

Τέσσαρες ἀθληφόροι ἵπποι αὐτοῖσιν ὄχεσφιν
Ἐλθόντες μετ' ἄεθλα. πολὺ πρόσθε δ' ἄγε γὰρ ἔμελλεν
Θεύσεσθαι. τὸς δ' αὖθι ἄναξ ἀνδρῶν Ἀγαμέμνων,
Κάρφεθε. τὸν δ' ἐλάτῃφ ἄρσεν ἀπαχήμενον ἵππων,
Τῶν ὁ γέρων ἔπεσιν κεχολωμένος ἆδε καὶ ὄρνυ,
Ἐξελέτ' ἄσσετε πολλά. τά δ' ἄλλ' ὀΐω λῆμον ἐσώσει
Δαιτρεύειν. μήτις οἱ ἀθεμβόμενον κίοι ἴσγε.
Ἡμεῖς μὲν τὰ ἕκαστα διείπομεν, ἐμμί τε ἄεσαν,
Ἔρδομεν ἱρὰ θεοῖς. οἱ δὲ τρίτῳ ἤματι πάντες
Ἦλθον, ὁμῶς αὐτοί τε πολῆες ἠδὲ μώνυχες ἵπποι
Πασσυδίη. μετὰ δὲ σφι Μολίονε θωρήσσοντο,
Παῖδ' ἔτ' ἐόντ', ὀΐμαλα εἰδότε θέρι δ' ἀλκῆς.
Ἔσι δέ τις Θρυόεσσα πόλις ἀπτὴ ἠλόνῃ,
Τηλοῦ ἐπ' Ἀλφειῷ, νειάτῃ πύλῳ ἠμαθόεντος.
Τῇ, ἀμφεστρατόωντο διαπρύσσαι μεμαῶτες.
Ἀλλ' ὅτε πᾶν τέδιον μετεκίαθον, ἄμμι δ' Ἀθήνη,
Ἄγγελος ἦλθε θέουσ', ἀπ' ὀλύμπου θωρήσσεσθαι
Ἔννυχος, τὸν δ' ἀέκοντα πύλον ἠγὴ λαὸν ἄγειρεν,
Ἀλλὰ μάλ' ἐσυμβλήτην πολεμίζειν. τὸν δέ με Νηλεὺς
Εἶα θωρήσσεσθαι ἀπέκρυψε δέ μοι ἵππους,
Οὐ γάρ πω εἰ μὲ ἔφη ἰδμεν πολεμήια ἔργα,
Ἀλλὰ κὰκ ὤις ἵπποισι μετέπρεπον ἠμετέροισι.
Καὶ τεζοσπόρεων, ἐπεὶ ὣς ἄγε νεῖκος Ἀθήνη.
Ἔσι δέ τις ποταμὸς Μινυήιος εἰς ἅλα βάλλων,
Ἐγγύθεν Ἀρήνης. ὄθι μείναμεν ἠῶ δῖαν.
Ἱππῆες Πυλίων, τάδ' ἐπερρέπεν ἔθνεα πεζῶν,
Ἔνθεν παρσυδίη σὺν τεύχεσι θωρηχθέντες,
Ἐνδυκέως ἱκόμεσθ' ἱερὸν ῥόον Ἀλφειοῖο.
Ἔνθα Διὶ ῥέξαντες ὑπερμενεῖ ἱερὰ καλά.
Ταῦρον δ' Ἀλφειῷ, ταῦρον δὲ Ποσειδάωνι,
Αὐτὰρ Ἀθηναίῃ γλαυκώπιδι βοῦν ἀγελαίην,
Δόρπον ἔπειθ' ἑλόμεσθα κατὰ στρατὸν ἐν τελέεσσι,
Καὶ κατεκοιμήθημεν ἐν ὠπήεσσιν οἵσιν ἕκαστος,
Ἀμφὶ ῥοὰς ποταμοῖ. αὐτὰρ μεγάθυμοι Ἐπειοὶ
Ἀμφίσαν τὸ δὴ ἄστυ διαπρύσσειν μεμαῶτες,
Ἀλλά σφιν πρόπαροιθε φάνη μέγα ὄργυιον Ἄρευς.
Εὖτε γὰρ ἠέλιος φαέθων ὑπερέσσετο γαίης,
Συμφερόμεσθα μάχῃ Διΐ τ' εὐχόμενοι καὶ Ἀθήνῃ.
Ἀλλ' ὅτε δὴ Πυλίῳ καὶ Ἐπειῷ ἔπλετο νεῖκος,
Πρῶτος ἐγὼν ἕλον ἄνδρα. κόμισσε δὲ μώνυχας ἵππους,
Μόλιον ἀκμητῶν, γαμβρὸς δ' ἦν Αὐγείαο,
Πρεσβυτάτην δὲ θύγατρ' εἶχε ξανθὴν Ἀγαμήδην,
Ἣ τόκα φάρμακα ἤδη, ὅσα τρέφει εὐρεῖα χθών,
Τὸν μὲν ἐγὼ προσιόντα, βάλον χαλκήρεϊ δουρί,
Ἠιξεπεσ' ὀπίσω δ' ἐνὶ κονίῃσιν, ἐγὼ δ' ὅ γε ὕφρον ὀρώρει.
Στὴν ῥα μετὰ προμάχοισιν, ἀτὰρ μεγάθυμοι Ἐπειοί,
Ἔτρεσαν

Ἔτρεσαν ἄλλυδις ἄλλη, ἐπεὶ ἴδον ἄνδρα τε σόντα
Ἡγεμόν' ἱππήων, ὃς ἄρισευέσκε μάχεσθαι.
Αὐτὰρ ἐγὼν ὦρσα κελαινὴ λαίλαπι ἴσος,
Πρῶτίστοντα δ' ἕλον δίφρου, δύο δ' ἀμφὶς ἑκάστου
Φῶτες ὀδάξ ἕλον, ὄδιας ἐμῷ ὑπὸ δουρὶ δαμέντες.
Καὶ νύκεν Ἀκτορίωνε Μολίονε παῖδ' ἀλάπαξα,
Εἰ μὴ σφὼ πατὴρ εὐρυκρείων Ἐνοσίχθων,
Ἐκ πολέμου ἐσάωσε καλύψας ἠέρι πολλῷ,
Ἔνθα Ζεὺς Πυλίοισι μέγα κράτος ἐγγυάλιξεν,
Τόφρα γὰρ δὴν ἐπόμεθα διὰ ἀσπιδέων θωρήσσοι.
Κτείνοντές τ' ἀνδρῶν, ἀνάτ' ἴππατα καλὰ λέγοντες,
Ὄφρ' ὧδε Βουπρασίῃ πολυπύρῳ βήσαμεν ἵππους,
Πέτρης τ' Ὀλενίης καὶ Ἀλησίου, ἔνθα Κολώνη
Κέκληται. ὅθεν αὖτις ἀπέτραπε λαὸν Ἀθήνη,
Ἔνθ' ἄνδρα κτείνας τύμακτον λίπον. αὐτὰρ Ἀχαιοί
Ἄψ ἀπὸ Βουπρασίοιο, Πύλον δ' ἔχον ὠκέας ἵππους,
Πάντες δ' εὐχετόωντο θεῶν Διΐ, Νέστορί τ' ἀνδρῶν.
Ὡς ἔον ἔπποτ' ἐνὴν γε μετ' ἀνδράσιν, αὐτὰρ Ἀχιλλεύς,
Οἷος δὴ ἀρετῆς ἀπονήσεται, ἦ τέ μιν οἴω.
Πολλὰ μετακλαύσεσθαι, ἐπεὶ κ' ἀπὸ λαὸς ὄληται.
Ὦ πέπον. ἦ μὲν σοί γε Μυρμιδόνας ὤδ' ἐπέτελλεν
Ἤματι τῷδ', ὅτε σ' ἐκ φθίης Ἀγαμέμνονι πέμπε.
Νῶι δὲ τ' ἐνδοθι ἐόντες, ἐγὼ καὶ δῖος Ὀδυσσεύς,
Πάντα μάλ' ἐν μεγάροις ἠκούομεν ὡς ἐπέτελλε,
Πηλῆος δ' ἱκόμεσθα δόμους εὖ ναιετάοντας,
Λαὸν ἀγειράντες κατ' Ἀχαιΐδα πολυβότειραν.
Ἔνθά δ' ἔπειθ' ἥρως Μενοίτιον εὕρομεν ἔνδον,
Ἣ δὲ σέ, πάρ δὲ δὴ Ἀχιλῆα, γέρων δ' Ἱππολόχη Πηλεύς,
Πίονα μηρί' ἔκηε βοὸς Διὶ τερπικεραύνῳ,
Αὐλῆς ἐν χόρτῳ. ἔχε δὲ χρύσειον ἄλεισον,
Σπένδων αἴθοπα οἶνον ἐπ' αἰθομένοις ἱεροῖσι.
Σφῶι μὲν ἀμφὶ βοὸς ἔπετον κρέα. νῶι δ' ἔπειτα,
Στῆμεν ἐνὶ πρόθυρσι. θάμβησε δ' ἀνόρουσεν Ἀχιλλεύς.
Ἐς δ' ἄγε χειρὸς ἕλων, ἠγεῖτο δ' ἑδριάασθαι ἄνωγεν,
Ξείνια τ' εὖ παρέθηκεν. ἅτε ξείνοις δαῆμις ἐσίν.
Αὐτὰρ ἐπεὶ τάρπημεν ἐδητύος, ἦδε πρόσ ἡμος,
Ἤρχον ἐγὼ μύθοιο, κελεύων ὔμμ' ἅμ' ἕπεσθαι.
Σφὼ δὲ μάλ' ἠθέλετον, τὼ δ' ἄμφω πολλ' ἐπέτελλον.
Πηλεὺς μὲν ὦ παῖδι γέρων ἐπέτελλ' Ἀχιλῆϊ.
Αἰὲν ἀριστεύειν καὶ ὑπείροχον ἔμμεναι ἄλλων.
Σοὶ δ' αὖθ' ὧδ' ἐπέτελλε Μενοίτιος Ἀκτορίδης υἱός.
Τέκνον ἐμόν, γενεῇ μὲν ὑπέρτερός ἐσσι Ἀχιλλεύς,
Πρεσβύτερος δὲ σύ ἐσσι. βίῃ δ' ὅγε πολλὸν ἀμείνων.
Ἀλλ' εὖ οἱ φάσθαι πυκινὸν ἔπος, ἠδ' ὑποθέσθαι,
Καὶ οἱ σημαίνειν. σὸν δὲ πείσεται εἰς ἀγαθόν περ.
Ὡς ἐπέτελλ' ὁ γέρων. σὺ δὲ λήθεαι, ἀλλ' ἔπι καὶ νῦν,
Ταῦτ'

γνοὺς τότε ξίφος καὶ τὰ ὑπολήμματα ταῦτα γὰρ ἐν Τροιζῆνι γνωρίσματα κατέλειπε τὸ μὲν φάρμακον ἀφέλετο τὴν ἡ Μήδειαν δὲ Ἀτθίδων βέλεσιν ἀπέκτεινεν ἡ αὕτη τὴν νῆσον Ηλιάδος Εφύραν, πολυφάρμακον ἐποίησεν αὐτὴν ὀνομασθῆναι, ἡ ἱστορία παρὰ Κράτητι. τρίφει.] γεννᾷ. φύει. ὀδὰξ ἕλον οὐδίας.] τοῖς ὀδοῦσι τὴν γῆν ἐλάκαν δηάσκοντες. Ἀκτορίωνε. Μολίονε.] Ἀκτορος καὶ Μολίονης παῖδες, Κτέατος καὶ Εὐρύτου. κατά τινας ἡ Μολιόνης, καὶ Ποσειδῶνος. ἴσως ἡ μᾶλλον Μολίονας αὐτοὺς ἅτε πολεμικοὺς ἀπὸ τῆς κατὰ τὴν μάχην μολύσεως. οὐχ ὡς οἱ νεώτεροι, ὅτι ἡ μήτηρ αὐτῶν ἐκαλεῖτο Μολιόνη. ἀπὸ μητρὸς γὰρ Ὁμηρος οὐδένα συμαίνει. ἀμὴ σφωε πατὴρ Ἐννοσίχθων ἐσάωσεν. εἰ μὴ ἔσωσεν αὐτοὺς ὁ τῆς ἀληθείας αὐτῶν πατὴρ Ποσειδῶν. δι' ἀσπιδέος πεδίοιο.] ἄντοι ἐπιμήκους καὶ μακρᾶς, ἢ πλατὺς καὶ πρόμηκες ἀπὸ μεταφορᾶς τῆς ἀσπίδος. ἢ ἐν ᾧ τὰ ἀνηρημένων ἀπὸ ἀσπίδος ἐκεῖνοι ἔλεγον τες.] συλλέγοντες. συνάγοντες. Βουπράσιον.] Βουπράσιον καὶ Αλέσιον πόλεις τῆς Ηλιάδος. ἡ ἡ Ωλενία πέτρα τῆς αὐτῆς χώρας μεγίστη. ἀπέτραπεν. ἀπέτρεπεν. ὡς ἔον.] τοιοῦτος ἦν. ἀπονήσεται.] ὄνησιν ἕξει. ἐν ἀπολαύσει γενήσεται. μετακλαύσεσθαι.] ὑστέρων ἀπολυμένων ὄχλων μεταμεληθήσεσθαι. αὐλῆς ἐν χόρτῳ.] ἐν τῷ προηφραγμένῳ τῆς αὐλῆς. χόρτοι ἡ οἱ τρόχαλοι. ἄλεισον.] ἔκπωμα. ποτήριον. αἰθομένοις.] καιομένοις. σφῶι.] ὑμεῖς. ἔπετον.] προῤῥίζωμεν. ἐμπήγνυμεν. ἀνόρουσεν.] ἀνεπήδησεν. ἐς χεῖρα.] ἐπὶ τὴν δεξιάν. ἑδριάασθαι.] καθίσαι. ἄνωγεν.] ἐκέλευσεν. ἐδητύος.] βρώσεως. ἦδε πρόσ ἦμος.] ἐπὶ πολὺ τῆς ἡμέρας. ἤρχον ἐγὼ μύθοιο.] ἐγὼ πρῶτος ἐλάλουν. ὔμμ' ἅμ' ἕπεσθαι.] ὑμᾶς. γενεῇ ὑπέρτερός ἐσσι.] τῷ τῆς γένους ἀξιώματι πράσσων. ἡ νεώτερος Ἰωνες γὰρ ὑπέρτερον τὸν νεώτερον. ὑποθέσθαι. ὑποθέλξαι. συμβουλεῦσαι, παραίφασις.]

παραίφασις.] συμβουλία. παράινεσις. ἐτάερον.] προσυπακουστέον ἀγαθοῦ φίλου. ἐπίφρασιν.] ἔπος. πρόσφατον.] πρόσπλασμα. ἰσχοντες.] ὁμοῦ οὔτες. ἀκμῆτες.] ἀκοπίαστοι. ἵνα σφ' ἀγορή τε θέμιστε.] ὅπως αὐτοῖς τάξις ὠφελιμος ἐπιτραφήσεται περὶ τὰ λιπασήρια ἐγίγνετο. τῇ δὴ καὶ σφι θεῶν ἐτετεύχατο βωμοί.] ὅπου τῇ τελευσάντων ἑκάστων πατρώων θεῶν βωμοὶ κατεσκευασμένοι ἦσαν. ἀντιβόλησεν.] συνέτυχε. σπάζων.] χωλεύων. κύτι.] ὑγρός. ἢ τωλύς. ἵνα δ' νοσέῃ τὸ σῶμα γιγνόμενον. κελάρυζε.] μετὰ ὄχου ἐφέρετο, ὅ ἐστι τοιοῦτος ἀναφερόμενον ὄχει. ἄσειμ.] πορέσειν. πλησθήσειμ. ἀργύτι σιμῷ.] τῷ λευκῷ λίπει. σχήσουσιν. ἐπίσχωσι. κωλύσωσιν. φθίσονται.] ἀναιρεθήσονται. φθαρήσονται. ἄλκαρ.] ἀλέξημα. βούθμιχα. ὄρυνται.] διεγέρεται. αὔξεται. λιαρῷ.] ὠκρατῳ. χλιαρῷ. διὰ καὶ τὸ κεντεῖν Κενταύρων.] τὸ ὑποβρύχιον πᾶν πᾶται ἀντὶ ἀπολύτου ἐστὶν ὁ μόνος ἐν Κενταύροις σίπαι. ὅμοιον δὲ τούτῳ, τὸ μελάντροφον ὑὸς ἀντὶ τοῦ ἰσσα. ἰητροὶ δὲ γάρ.] ἀντὶ τοῦ ἰατρῶν δὲ γάρ. ἀρηϊὰ ἀντὶ γενικῆς. χείζοντα.] χρήζοντα.

ὣς τ'

Τῶν τ' ἔπος Ἀχιλῆι δαΐφρονι ἆπτε πιθέσθαι,
Τίς δ' οἷσ' ἐκὲν οἱ σὺν δαίμονι θυμὸν ὀρίναις,
Παρειπών, ἀγαθὴ δὲ πάφασις ἔνθεν ἑταίρῳ.
Εἰδλε πνα φρεσὶν ἦσι θεοπρόπιον ἀλεείνει,
Καί τινά οἱ παὰρ Ζηνὸς ἐπέφραδε πότνια μήτηρ·
Ἀλλὰ σέπῳ πόεται, ἅμα δ' ἄλλος λαὸς ἑπέσθω
Μυρμιδόνων, ἀὲ πρώτη φόως δαναοῖσι γένηαι.
Καί πι τεύχεα καλὰ δότω πολεμόνδε φέρεσθαι,
Αἴ κέ σε βῇσ', ἴσκοντες ἀποσχόνται πολέμοιο
Τρῶες, ἀὐαπνεύσουσι δ' Ἀρηΐοι ὖιες Ἀχαιῶν
Τειρόμενοι, ὀλίγῳ δέτ' ἀὐάπνευσις πολέμοιο.
Ῥεῖα δ' ἀκμῆτες κεκμηότας ἄνδρας ἀὐτῇ
Ὦσεσθε πρὸπὶ ἄστυ νεῶν ἀπο, κὰκ κλισιάων.
Ὡς φάτο, βῆσ δ' ἄρα θυμὸν ἐνὶ στήθεσσιν ὄρινε.
Βῆ δὲ θέειν παὰ νῆας ἐπ' Αἰακίδην Ἀχιλῆα.
Ἀλλ' ὅτε δὴ ῥ' ἵκ νῆας Ὀδυσῆι θείοιο
Ἰξὲ θεῶν Πάτροκλος, ἵνα σφ' ἀγορή τε θέμις τέ
Ἦν, τῇ δὴ καὶ σφι θεῶν ἐτετεύχατο βωμοί,
Ἔνθά οἱ Εὐρύπυλος βεβλημένος ἀντεβόλησε,
Διογενὴς Εὐαιμονίδης ἦ μογέοντι ὀΐσῳ,
Σκάζων ἐκ πολέμοιο, ἦ δὲ νόστος ῥέεν ἰδρώς
Ὤμων ἦ κεφαλῆς, ἀπὸ δ' ἕλκεος ἀργαλέοιο
Αἷμα μέλαν κελάφυζε νόος γε μεν ἔμπεδος ἦεν,
Τὸν δὲ ἰδὼν ὤκτειρε Μενοιτίου ἄλκιμος υἱός.
Καί ῥ' ὀλοφυρόμενος ἔπεα πτερόεντα προσηύδα·
Ἆ δειλοὶ Δαναοὶ νηλήτορες ἦδὲ μέδοντες.
Ὡς ἄρ' ἐμέλλετε τῆλε φίλων καὶ πατρίδος αἴης,
Ἄσειν ἐν Τροίῃ ταχέας κύας ἀργέτι δημῷ.
Ἀλλ' ἄγε μοι τόδε εἰπὲ διοτρεφὲς Εὐρύπυλ' ἥρως,
Ἦ ἔτι σχήσουσι πολὺριον Ἕκτορ Ἀχαιοί,
Ἦ ἤδη φτίσονται ὑπὸ αὐτοδάρεϊ δαμέντες;
Τὸν δ' αὖτ' Εὐρύπυλος προπνευμένος ἀντίον ηὔδα.
Οὐκέτι διογενὲς Πατρόκλεις ἄλκαρ Ἀχαιῶν
Ἔσεται, ἀλλ' ἐν νυυσὶ μελαίνῃσι πεσέονται.
Οἳ μὲν γὰρ δὴ πάντες ὅσοι πάρος ἦσαν ἄριστοι,
Ἐν νυυσὶ κέαται βεβλημένοι, ὀτρυνομένοιτε,
Χερσὶν ὑπὸ Τρώων, τῶν δὲ ὦγχος ὄρνυται αἰεί,
Ἀλλ' ἐμὲ μὲν σὺ σάωσον ἄγων ὦκα νῆα μέλαιναν
Μηρῶν δ' ἐκταμὲ ὀϊστὸν, ἀπ' αὐτοδάρεος δ' αἷμα μελαινὸν
Νίζ' ὕδατι λιαρῷ, ἐπὶ δ' ἤπια φάρμακα πάσσε
Ἐδλά, τά, σε πρόπι φασὶν Ἀχιλλῆος δαΐφρονος ἔμμεν
Ὃν Χείρων ἐδίδαξε δικαιότατος Κενταύρων.
Ἰητροὶ μὲν γὰρ Ποδαλείριος, ἠδὲ Μαχάων.
Τὸν μὲν γὰρ κλισίῃσιν ὁΐομαι ἕλκος ἔχοντα.
Χρηίζοντα κὰκ αὐτὸν ἀμύμονος ἰητῆρος,
Κεῖθι, ὁδ' ἐν πεδίῳ Τρώων μένει ὀξέα Αρηα.

Τὸν

Τὸν δ' αὖτε προσέειπε Μενοιτίου ἄλκιμος υἱός.
Πῶς τ' ἄρ' ἔοι, τάδε ἔργα, τί ῥέξομεν Εὐρύπυλ' ἥρως;
Ἔρχομαι ὄφρ' Ἀχιλῆι δαΐφρονι μῦθον ἐνίσπω.
Ὀρνύμεν ἐπέτελλε γερηνιος οὖρος Ἀχαιῶν.
Ἀλλ' ὁδ' ὥσπερ σεῖο μεθήσω τειρομένοιο.
Ἦ, καὶ τὸν σθένεος λαβὼν ἄγε ποιμένα λαῶν
Ἐς κλισίην θεράπων δὲ ἰδλίων. τὼ ἐχέτην βοέας.
Ἔνθά μιν ἐκτανύσας ἐκ μηρῶν τάμνε μαχαίρῃ,
Ὀξὺ βέλος πολύπευκες, ἀπ' αὐτοδάρεος δ' αἷμα κελαινὸν,
Νίζ' ὕδατι λιαρῷ, ὧν δὲ ῥίζαν βάλε πικρήν,
Χερσὶ δ' ἰατρίνας ὀλιωθήφατον. ἦ οἳ ἀπάλας
Ἔσχ' ὀδύνας, τὸ μὴ ἕλκος ἐτόρσετο, πάυσατο δ' αἷμα.

ὣς τ' ἄρ' ἔοι.] ὣς ἔτι γένοιτ' ἄμμιθήσω. ἀμελήσω. ὑπέκυενεν.] ὑπέβαλλεν. ὑπέτρωσε. βοάας.] δέρματα βοῶν. βύρσας ἐκτανύσας.] ἐπτάνυσας. ἁπλώσας. πορφυρόπεπλος.] πορφυροῦς ἡχεῖ πάνυ πικρόν. ἐπὶ δὲ ῥίζαν βάλε πικρήν.] ἐπέβαλεν. ἐπίκασεν. πρὸς τὸ ῥιπτοῦντας. πόθεν ἔσχε τὴν ῥίζαν ὁ Πάτροκλος ἔστι λέγειν, ὅτι ἤτοι κατὰ τὸ σιωπώμενον μεταπέμπεται αὐτὴν ἡ γὰρ ἀρχαία ἰατρική, ἣν βοτάνας ἤμ ἤτοι ἑπὰς. αὐτὸν ὡς ἰατρὸν ἐπιφέρεσθαι πρὸς τὰς ἐπικαίρους χρείας. ἢ ὅτι ἐκ Φιλίου ἀνείλετο αὐτὴν ἐξῆς τάχα ἢ ἡκεὶ τὸ ὁποῖα ἦμ ὥλως ἡ ῥίζα. ἧς αὐτὸν κατέπασσε. ἡκεὶ λέγουσιν αὐτὴν εἶναι τὴν παλαιμένην ἀριστολοχίαν ἣν ἡκεὶ ἰσχαιμον καλοῦσι. διατρίψας.] ῥίψας. λύσας. ὀδυνήφατον.] ὀδυνῶν παυστικήν. ἴσχειν.] ἐπίσχειν. ἔπαυσεν. ἐτέρατο.] ᾐμράνετο.

ΥΠΟΘΕΣΙΣ ΤΗΣ Μ ΤΟΥ ΟΜΗ-
ΡΟΥ ΡΑΨΩΙΔΙΑΣ

Ἀποβάντες οἱ Τρῶες τῶν ἵππων, διαβαίνουσι τὴν τάφρον. καὶ τῶν ἀπαισία αὐτοῖς φανέντος οἰωνοῦ, ἡκεὶ εἰ τινες τάξεις διαφθείνετες, προβάλλουσι τῷ τείχει τῶν Ἑλλήνων. ἔνθα Σαρπηδὼν ἐπαλξιν κατασπᾷ. Ἕκτωρ δὲ λίθῳ βαλὼν τὰς πύλας, ἐμβάλλει τοῖς ναυσί. ἡκεὶ οἱ ἄλλοι σὺν αὐτῷ πάντες Τρῶες.

ΣΧΟΛΙΑ ΕΙΣ ΤΗΝ Μ ΤΟΥ
ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΝ

Σ ὁ μὲν ἐν κλισίῃσι Μενοιτίου ἄλκιμος υἱός.] Πατροκλῆς ὁ Μενοιτίου τριφόμενος ἐν Ὀπόεντι τῇ Λοκρίδι, ὡφλίπτησεν ἀνηρίῳ πτάσμασι. πᾶσλα γὰρ ὑλικιώτην Ἀμφιδάμαντος υἱὸν ἀσύμβλ Κλησώνυμον. ἢ ἅστερ τινες. Αἰάνην ὡφλὶ ἀστραγάλων ἀργιδεῖς, ἀπέκτειναν. ὅτι τούτῳ ἦ φυγῶν, εἰς Φθίαν ἀφίκετο. κἀκεῖ κατὰ συγγένειαν Πηλίως, Ἀχιλλεῖ συνῆμ. φιλίαν δ' ὑπερβάλλουσαν πρὸς ἀλλήλους φυλάξαντες, ὁμοῦ ἔπὶ Ἴλιον ἐστράτευσαν. ᾗ ἱστορία παρὰ Ἑλλανικῳ. ὁμιλαδόν.] ἀθρόοι. οἷον κατὰ πλῆθος ἡκεὶ συστροφήν. τάφρος ἐστὶ σχίσειμ Δαναῶν ἡκεὶ τάχος ὑπερθεν.] ἔπλασε τάχος ὁ Ποιητὴς εἰς τιμὴν τοῦ Ἀχιλλέως. κἀκεῖνα τὰ ἀπολλύμενον αὐτὸ ἐσάγει. ἵνα μὴ ἐλείσηται αὐτὸ τὸ ψεῦδος ὡς μὴ γινομένου ὑπὸ τοῦ μεταγενεστέρων ἡκεὶ τὴν ἀπόλειαν αὐτοῦ ἔπεσχήσειν.] ἀνθέξειμ. πωλύσειμ. νεῶν ὑπέρ.] ἀντὶ τοῦ πρὸ τῶν νεῶν. ἢ ὑπὲρ ἀσφαλείας. ἀμφὶ ἢ τάφρον ἔλασαν.] πέρις ἢ τοῦ τείχους ὤρυξαν τάφρον. λείαν. λάφυρα. ῥύοιτο.] φυλάσσοι. τέτυκτο.] κατασκεύασο τῶν νῦ οὗτοι.] ἀντὶ τοῦ, λιὰ σὺ δαμῶς. ἐμπεσόν.] ἑλαῖον. βέβαιον. ὄφρα μὴ Ἕκτωρ ἡκεὶ τὰ ἑξῆς. προαναφωνεῖ τὰ κῦτα ἡκεὶ λιληθότως λέγει τὴν πόρθησιν τῆ Ἰλίου τάφρα.]

τόφρα.] τοτινικαῦτα. μετιόωντο.] ἐβλασύοντο. ἀμαλδύναι.] ἀφανίσαι. ποταμῶν μέν.] περιφρασικῶς ποταμὸς. βοάγεια.] τὰ τῶ βοῶν ἀγρυσύματα. ἦτ' ἴσι τὰς ἐκ βυρσῶν κατασκευασμένας ἀσπίδας. ὁμιλέων.] ὁμίλοι οἱ ἕνα θεὸν ἔχοντες γονέα καὶ ἕνα ἄνθρωπον. ὁμόσε.] ὁμοῦ. ὡς τὸ αὐτό. ἐννῆμαρ δ' ὄρ τεῖχος.] ὠδὶ ἐννέα ἡμέρας. ἔνιοι δ' ἀσαόεως καὶ διὰ τ ἑνὸς ν ἀναγινώσκουσιν ἐνῆμαρ. ἵν' ᾖ μιᾷ ἡμέρᾳ. ὥς τε μεταδῶσι τῶν τ θεῶν ἀϋσαμίν μὴ λυκηθέντων κατασχίσαι λόγῳ. βάτλον.] ὑπὸ τ Ἑλλήνων ἐν μιᾷ ἡμέρᾳ γεγονός. οἱ δέ φασι τόσσαρας διὰ τ τοσαμὸς ἀσάγει. καὶ θεὸς παρίσκοιμ. ἐχ ἵνα μόνον ἀφανίσῃ τὸ τῆχος, ἀλλὰ μὴ τ τόπον διὰ τὸ μὴ ἦ ἴχνος φανιῶσαι. ἔμ.] ἔβρεχε. συνεχές.] συνεχῶς, ἐπιμόνως. ἀλίπλοα.] τῇ θαλάσσῃ ἐπιπλέοντα. θάη.] ποιήσῃ. θεμέλια.] θεμέλια. Ιασὶ δὲ Δίαλες φησίν. βεβλήαται.] κορμῶν. λάων.] λίθων. ἀγχάρρων.] ἄγαν ῥοώδη. ὅ ἐστι σφοδρὰ ῥεύματα ἔχοντα. ἠϊόνα.] ἀγιαλόν. ὅτω ἢ καλῆτ' ὁ παραθαλάσσιος καὶ ὁ θυσιμὸς τόπος παρὰ τὸ ἰέναι. καρρόον.] κατὰ τ ῥεῦμ. ἰεμ.] ἀφίεσαν. διέβησε.] ἐβήσατο, διεγνώρισε. ἀνακίχρη.] ἔχει. δέρατα πύργων βαλλόμενα.] ἤτοι τὰ δόρατα ἔχει τὰ ἐπὶ τῶν πύργων ἀποντιβόμενα, ἢ τὰ ἐνφυσιόμενα τοῖς πύργοις ξύλα, ἔχει τοῖς δόρασι βαλλόμενα.

Διὸς μαχήν.] τῇ Διὸς γνώμῃ τὰς ψυχὰς κεκακωμένοι. μάτιγι ἢ τῷ κεραυνῷ. ἑλιχθέντες.] συγκεκλεισμένοι. ἰσχανόωντο.] κατέχοντο, ἐπίβουλοβλεμεαίνων.] ἐπιῤῥωνύμενος. πυργηδόν.] πύργος δίκην ἐντάξει. ἀρτύναντες.] παρασκευάσαντες, ἑτοιμάσαντες. βαμάς.] συνεχῆς, συνεχάς. ἀγκωνίν.] ἢ ἄγαν πρόσω μία, ἀϋδρία. ταρφέα.] πυκνά. ὅππτ' ἰθύσῃ.] ὅπως δ' ἂν ἐνορμήσῃ. τῇτ' ἴησι.] κατὰ τ ἴστο ἴησιν, ὅ ἐστιν ὑποχωρῆσιν. ἐλύσετο.] ἐῤῥέφετο. χρεμίτιζον.] ἰδιάζουσαν φωνὴν ἐπιτίλλει. ἀπὸ γὰρ δεισθέντος.] αὐτὶ τ ἀς δ' ἐος ἦγε καὶ φόβον. ὑπὸ θορέειν.] ὑποδραμεῖν. ῥηϊδίην.] ῥᾳδίως, εὐκόλως. κρύμνοι.] αἱ ὄχθαι. ἐπηρεφέες.] ὑψηλοί. μεγάλοι. ὀρύφεα.] ἐπιπύκνωτα.

ἕρμοσον.]

Τόφρα δὲ καὶ μέγα τεῖχος Ἀχαιῶν ἔμπεδον ἦεν,
Αὐτὰρ ἐπεὶ πῦρ μὲν Τρώων θάνον ὅσσοι ἄριστοι,
πολλοὶ δ' Ἀργείων οἱ μὲν δάμεν, οἵδε δ' ἔλιπόντο,
Πέρθεν δὲ Πελάσγιον πόλις ἐνάτῳ ἠματι δῇ,
Ἀργεῖοι δ' ἂν νηυσὶ φίλην ἐς πατρίδ' ἔβησαν,
Δὴ τότε μητιόωντο Ποσειδάωνι καὶ Ἀπόλλωνι,
Τεῖχος ἀμαλδύναι ποταμῶν μένος εἰσαγαγόντες,
Ὅσσοι ἀπ' Ἰδαίων ὀρέων ἅλαδε πρὸ ἔασι,
Ῥῆσός θ', Ἑπτάπορός τε, Κάρησός τε, Ῥοδίος τε,
Γρήνικός τε, καὶ Αἴσηπος, δῖός τε Σκάμανδρος,
Καὶ Σιμόεις, ὅθι πολλὰ βοάγρια καὶ τρυφάλειαι
Κάππεσον ἠνορέῃσι, καὶ ἡμιθέων γένος ἀνδρῶν.
Τῶν πάντων ὁμόσε ῥόματ' ἔτραπε Φοῖβος Ἀπόλλων,
Ἐννῆμαρ δ' ἐς τεῖχος ἰὴ ῥόον· ὗε δ' ἀρ' Ζεὺς
Συνεχές, ὄφρά κε θᾶσσον ἁλίπλοα τείχεα θείη.
Αὐτὸς δ' Ἐννοσίγαιος, ἔχων χάρεσι τρίαινα
Ἡγεῖτ'. ἐκ δ' ἄρα πάντα θεμείλια κύμασι πέμπε
Φιτρῶν καὶ λάων, τά ῥ' ὑπὸ θέσαν μογέοντες Ἀχαιοί.
Λεῖα δ' ἐποίησεν πὰρ ἀγάῤῥοον Ἑλλήσποντον·
Αὖτις δ' ἠϊόνα μεγάλην ψαμάθοισι κάλυψε,
Τεῖχος ἀμαλδύνας, ποταμὸν δ' ἔτρεψε νέεσθαι
Καλλίῤῥοον, ἦχι πρόσθεν ἴφι καλλίῤῥοον ὕδωρ,
Ὡς ἄρ' ἔμελλον ὄπιθε Ποσειδάων καὶ Ἀπόλλων
Θήσεσθαι, τότε δ' ἀμφὶ μάχη, ὠρώπι τε δηΐδιος,
Τείχεος ἐύδμητον καναχίζε δὲ δόρατα πύργων
Βαλλόμενα, Δαναοὶ δὲ Διὸς μάστιγι δαμέντες,
Νηυσὶν ὠκὺς κλαφυρῇσιν ἐέλμενοι ἰσχανόωντο,
Ἕκτορα δ' εἰσιόντες κρατερὸν μήστωρα φόβοιο,
Αὐτὰρ ὁ γ' ὡς τὸ πρόσθεν ἐμάρναντο ἶσος ἀέλλῃ,
Ὡς δ' ὅταν ἠὲ κύνες ἠὲ καὶ ὠμοβόροι θῆρες ὀτρύνῃσι,
Κάπριος ἠὲ λέων τρέφεται δηΐοισι βλεμεαίνων,
Οἵ ῥ' ἔτε πυργηδὸν σφέας αὐτοὺς ἀρτύναντες,
Ἀντίοι ἴσαντα καὶ ἀκοντίζουσι θαμειὰς
Αἰχμὰς ἐκ χειρῶν, τοῦ δ' ὄστεα κυδάλιμον κῆρ
Ταρβεῖ, οὐδὲ φοβεῖται, ἀγηνορίη δέ μιν ἔκτα.
Ταρφέα τε τρέφεται σίχας ἀνδρῶν πειρίζων.
Ὅππτ' ἰθύσῃ, τῇ τ' εἴκουσι σίχες ἀνδρῶν.
Ὡς Ἕκτωρ ἀν' ὅμιλον ἴων ἐλίσσετ' ἐταίρους,
Τάφρου ἐπερχομένων διαβαινέμεν. οὐδὲ οἱ ἵπποι
Τόλμων ὠκύποδες. μάλα δὲ χρεμέτιζον ἐπ' ἄκρῃ
Χείλεϊ ἑστεῶτες. ἀχὴ γὰρ δεδίασσε τάφρου
Εὐρεῖ'. ὅτ' ἄρ' ὑπερθορέειν ἁδινὸν. ὅτε πρῶτα
Ῥηϊδίη, κρημνοὶ γὰρ ἐπηρεφέες πολὺ πᾶσαν,
Ἔστασαν ἀμφοτέρωθεν. ὕπερθεν δὲ σπολόπεσσιν
Ὀξέσιν ἠρήρει. τοὺς ἔστασαν υἷες Ἀχαιῶν,
Πυκνὸς καὶ μεγάλους, δηΐων ἀνδρῶν ἀλεωρήν.

Ἔνθ' ἄκρον

Ἔνθ' οὔκεμ' ῥέα ἵππος ἐϋτροχον ἅρμα τιτύνων
Ἐσβαίη, θείοι δὲ μιὴν οἰνοπα καὶ τελέσσαι.
Δὴ τότε Πουλυδάμας θρασὺν Ἕκτορα ἆσσον ἰόντα,
Ἕκτορ τ' ἠδ' ἄλλοι Τρώων ἀγοί, ἠδ' ὠκυπόρων,
Ἀφραδέως δῆθ' ταῦτα παρίστασο ἵππους ἀρηΐφατον δὲ μάλ' ἀργαλέον πρήσσειν, σκόλοπες γὰρ ἔασιν αὐτῇ
Ὀξέες ἐσταότες, ποτὶ δ' αὐτοῖσι τεῖχος Ἀχαιῶν.
Ἔνθ' ὔπως ὄχεσφι κατελθέμεν ἅρμα τε μάχεσθαι
Ἵππευσι, σεῦ θ' ὁμῶς πρόσσω ἔμεν ὅτε πρώσσεσθαι οἴω.
Εἰ μὲν γὰρ δὴ πᾶγχυ κακὰ φρονέων ἀλαπάζει
Ζεὺς ὑψιβρεμέτης. Τρώεσσι δὲ βούλεται ἀρήγειν.
Ἦ τ' ἂν ἔγωγ' ἐθέλοιμι καὶ αὐτόθι πάντα γενέσθαι,
Νωνύμνους ἀπολέσθαι ἀπ' Ἀργεος ἠθάδ' Ἀχαιούς.
Εἰδὲ χ' ὑποστρέψωσι, φαλίωξις δὲ γένηται
Ἐκ νηῶν, καὶ τάφρῳ ἐνιπλήξωμεν ὁρυκτῇ.
Οὐκέτ' ἔπειτ' οἴω, δ' ἄγγελον ἀπονέεσθαι
Ἄψορρον ποτὶ ἄστυ, ἑλιθρέντων τῶν Ἀχαιῶν.
Ἀλλ' ἄγεθ' ὡς ἂν ἐγὼ εἴπω πειθώμεθα πάντες.
Ἵππους μὲν θεράποντες ἐρυκόντων ἐπὶ τάφρῳ,
Αὐτοὶ δὲ πρυλέες σὺν τεύχεσι θωρηχθέντες,
Ἕκτορι πάντες ἑπώμεθ' ἀολλέες, αὐτὰρ Ἀχαιοὶ
Οὐ μενέουσ', εἰ δὴ σφιν ὀλέθρου πείρατ' ἐφῆπται.
Ὡς φάτο Πουλυδάμας, ἄδε δ' Ἕκτορι μῦθος ἀπήμων.
Αὐτίκα δ' ἆρ ὄχεσφι σὺν τεύχεσιν ἅλτο χαμᾶζε,
Οὐδὲ μὲν ἄλλοι Τρῶες ἐφ' ἵπποις ἠγερέθοντο,
Ἀλλ' ἀποβάντες ὄρουσαν, ἐπεὶ ἴδον Ἕκτορα δῖον,
Ἡνιόχω μὲν ἕπειτα ἑῷ ἐπετέλλετ' ἔπος θ',
Ἵππους εὖ κατὰ κόσμον ἐρυκέμεν αὖθι παρ' αὐτάς.
Οἱ δὲ σὺν πάντες, σφέας αὐτοὺς ἀρτύναντες,
Πρῶτα μὲν κοσμηθέντες, ἅμ' ἡγεμόνεσσιν ἕποντο.
Οἱ δ' ἅμ' Ἕκτορ ἴσαν, θ' ἅμ' ἀμύμονι Πουλυδάμαντι
Οἵ πλεῖσοι καὶ ἄριστοι ἔσαν. μέμασαν δὲ μάλιστα
Τεῖχος ῥηξάμενοι κοίλης ἂν νηυσὶ μάχεσθαι.
Καὶ σφιν Κεβριόνης τρίτος εἵπετο, πὰρ δ' ἄρ' ὄχεσφιν
Ἄλλον Κεβρίονα χερείονα πάλλιπεν Ἕκτωρ,
Τῶν δ' ἑτέρων, Πάρις ἦρχε, καὶ Ἀλκάθοος, θ' Ἀγήνωρ,
Τῶν δὲ τρίτων, Ἑλενος θ' Δηίφοβος θεοειδὴς,
υἱε δύω Πριάμοιο. τρίτος δ' ἦν Ἀσιος ἥρως.
Ἄσιος Υρτακίδης, ὃν Ἀρίσβηθεν φέρον ἵπποι,
Αἰθωνες, μεγάλοι, ποταμοῦ ἄπο Σελλήεντος,
Τῶν δὲ τετάρτων ἦρχεν ἐϋς πάϊς Ἀγχίαο
Αἰνείας. ἅμα τῶ γε, δύω Ἀντήνορος υἷε
Ἀρχέλοχός τ', Ἀκάμας τε μάχης εὖ εἰδότε πάσης
Σαρπηδὼν δ' ἡγήσατ' ἀγακλειτῷ σὺν κόρῳ.
Πρὸς δ' ἕλετο Γλαῦκον, θ' ἁρήιον Ἀσκροπαῖον.
Οἱ γὰρ οἱ ἔξοχα ἔσαντο διακριδὸν ἔμ πρέσσοι

Τῶν

ἕρμοσον. ἀλεερῆν.] φυλακήν. ἐκπλησιν. ἀποφυγήν. μενοίνεον. προεῖν μοῦνον. ἐνήργεον. ἐ τελέεσιν.] ἐ τελέουσιν. ὅ ἐστι παρέλθοιεν. ἔπι.] προσιφθέγξατο. ἀφραδέως.] ἀπρονοήτως ἀπάρως τέθν.] σύνομα. πρώσσεσθαι.] ἐπιτυθήσεσθαι. τρῶμα γὰρ ὁ ἔσται. ἀλαπάζει.] κενοῖ. πορθεῖ. νωνύμνους.] ἀνωνύμους. καλίωξις.] κάλιμ δίωξις. οὕτω γὰρ καλεῖται ἡ τ διωκόντων φυγή. ἐνιπλήξωμεν.] ἐμπέσωμεν. ἄψορρον.] ἐς τοὖπίσω ὁρμήσαντα. ἑλιχθέντων.] ὑποστραφέντων. ἐρυκόντων.] αὐτὶ τ ἐμποδίζοντες. ἐρικέτωσαν. ὅ ἐστι κατιχέτωσαν. πρυλέες.] πεζοὶ ὁπλῖται. ἄδις.] ἔρισιν. ἀπύμων.] ἄλυπος. ἠγερέθοντο.] ἀπαυσορεῦντο. ἐκρέμαντο. ἀρτύναντες.] παρασκευάσαντες. τάξαντες. πέντε χα.] εἰς πέντε τάξεις. Πάρις.] ὁ Ἀλέξανδρος. κατὰ γαστρὸς ἦχσε ὁ Ἑκάβη, ὀναρ ἰδομένη ὅτι ἔτικε πλαλὸν, ἀφ' οὗ κατεφλέχθη πᾶσα ἡ πόλις. τὸ οὖν τεχθὲν, οὐ γνώμῃ τ μάντεων ὀρθεύθη ἀλλὰ γνώμῃ θεῶν. ὃ ὑπὸ τ εὐρύοπος τραφὲν βακόλοι. ἄρκτον γὰρ αὐτῷ γάλα ἐπισχοῦσαν διασάμενον, ἀνέθρεψεν. ἐκλήθη οὖν Πάρις, οὐχ ὅτι, ὡς τινές φασι, ἐν πύρᾳ ἐτράφη. ἀλλ' ὅτι, τ μέρον παρῆλθεν. ὕστερον ὁ Ἀλέξανδρος, ὅτι τῇ πατρίδι ἐλέξησεν, ὅ ἐστιν ἐβοήθησε πολέμῳ ἐπελθόντος. πρὸς δ' ἅλετο.] προσίλαβε ἢ εἰσαντο.] ἔδοξαν. κατεφάνησαν. διακριδόν.] ὥστε διακεκρίθαι καὶ φανερὸν εἶναι πᾶσιν.

ἐπρεπε.]

Τῶν

τῶν ἄλλων, μετάγ' αὐτ. ὃς δ' ἔπρεπε δῆμα πάντων
Οἵσι τ' ἐπὶ ἀλλήλοις ἄρορε τυκτῆσι βόεσσι,
Βάν ῥ' ἰθὺς Δαναῶν λελιημένοι. οὐδὲ ἔφαντο
Σχήσεσθ', ἀλλ' ὧν νυσὶ μελαινῃσι πεσέεσθαι.
Ἔνθ' ἄλλοι τρῶες τυλέκλητοί τ' ἐπίκαροι,
Βαλῆι Πάλυλλάμαντος ἀμωμήτοιο πίθοντο.
Αλλ' οὐκ Υρτακίδης ἔθελ' Ασιον ὄρκαμον αὐδῆσαι
Αὖθι λιπεῖν ἵππους τε, καὶ ἡνίοχον θεράποντα.
Αλλὰ σὺν αὐτοῖσιν πέλασεν νηεσι θοῆσι
Νήπιος· οὐδ' ἄρ ἔμελλε κακὰς ὑπὸ κῆρας ἀλύξας,
Ἵπποισιν καὶ ὄχεσφιν ἀγαλλόμενος πρὸ νηῶν,
Ἦλθ' ἀπονοσφίσειν ποτὶ Ιλιον ἠνεμόεσσαν.
Πρόσθεν γάρ μιν μοῖρα δυσώνυμος ἀμφεκάλυψεν.
Ἔγχει Ἰδομενῆος ἀγαυοῦ Δευκαλίδαο.
Εἶσατο γὰρ νηῶν ἐπ' ἀριστερὰ τῇ περ Αχαιοί.
Ἐκ πεδίου νίσοντο σὺν ἵπποισι καὶ ὄχεσφιν.
Τῇ ῥ' ἵππους τε καὶ ἅρμα δι' ἴλασεν. ὀδὲ τύλῃσιν
Εὗρ' ὠκεκλιμένας σανίδας καὶ μακρὸν ὀχῆα.
Αλλ' ἀναπεπταμένας ἔχον αὐέρες εἴπερ ἑταίρου.
Ἐκ πολέμου φεύγοντα σαώσειαν μετὰ νῆας.
Τῇ ῥ' ἰθὺς φρονέων ἵππους ἔχε, τοὶ δ' ἅμ' ἕποντο
Οξέα κεκληγότες. ἔφαντο γὰρ οὐκέτ' Αχαιὸς
Σχήσεσθ' ἀλλ' ὧν νυσὶ μελαίνῃσιν πεσέεσθαι
Νήπιοι. ὧν δὲ τύλῃσι δύ' ἀέρας εὗρεν ἀρίστους,
Ὑιας ὑπερθύμους Λαπιθάων ἀχμητάων.
Τὸν μὲν Πειρίθοος ὑὶς κρατερὸν Πολυποίτην.
Τὸν δὲ Λεοντῆα βροτολοιγῷ ἶσον Αρηι.
Τὼ μὲν ἄρα πρὸ πάροιθε πυλάων ὑψηλάων
Ἕστασαν. ὡς ὅτε τε δρύες ὄρεσσιν ὑψικάρηνοι.
Αἵτ' ἄνεμον μίμνουσι καὶ ὑετὸν ἤματα πάντα,
Ῥίζῃσιν μεγάλῃσι διηνεκέος ἀραρυῖαι,
Ὡς ἄρα τὼ χείρεσσι πεποιθότε ἠδὲ βίηφι,
Μίμνον ἐπερχόμενον μέγαν Ασιον οὐδὲ ἐφέβοντο.
Οἵσι δὲ ἰθὺς πρὸς τεῖχος εὐδμήτου βοὰς ἄνας
Ὑψόσ' ἀναχόμενοι, ἔκιον μεγάλῳ ἀλαλητῷ,
Ἄσιον ἀμφὶ ἄνακτα καὶ Ιαμενὸν καὶ Ορέσταν,
Ασιάδην τ' Απάμαντα, Θοωνά τε, Οἰνόμαόν τε.
Οἳ δ' ἦτοι εἶως μὲν ἐϋκνήμιδας Αχαιοὺς
Ὄρνυον, ὑψόρου ἑόντες ἀμωϊεδὰς πρὸς νηῶν.
Αὐτὰρ ἐπεὶ λὴ τεῖχος ἐπεσυμβλήθησαν φόβησαν
Τρῶας, ἀτὰρ Δαναῶν γήθετο ἰαχή τε φόβος τε.
Ἐκ δὲ τῶ, ἀΐξαντε πυλάων πρόδε μαχέσθην,
Αγροτέροισι σύεσσιν ἐοικότες. τὼ τ' ὀρέσσιν,
Ἀνδρῶν ἠδὲ κυνῶν δέχαται κολοσυρτὸν ἰόντα,
Δοχμώτ' Αἴσσοντε πρὸς σφέων, ἄγνυτο ὕλη
Πρυμνὴ ἐκτάμνοντες ὑπὰ δέ τε κόμπος ὀδόντων

Γίνεται

ἔπρεπε.] διέπρεπεν. ἄραρον.] ἠσφαλήσαντο. ἤρμοσαν. τυκτῆσι βόεσσι.] ταῖς εἰργασμέναις βύρσαις. λέγει δὲ ταῖς ἀσπίσιν. οὐδέ ποτε δὲ βοῦν ἁπλῶς λέγει τὴν ἀσπίδα. ἀλλὰ μετάτινος ὃς οὗ γνωρίζεται βῶν ἀγαλλένην. λελιημένοι.] παρωρμημένοι. ἐνθρμοι. σχήσεσθαι.] σχεθῆναι. πωλυθῆναι. πέλασσε.] προσήγγυσε. προσήλθεν. ἀλύξας.] διαφυγών. δυσώνυμος.] χαλεπή. Δευκαλίδαο.] Δευκαλίωνος παιδός. γίγνονται ἢ ἐκ Πύρρας καὶ Δευκαλίωνος, ὡς φησιν Απολλόδωρος παῖδες. Ελλην μὲν πρῶτος, ὃν ἐκ Διὸς ἔνιοι γεγενῆσθαι λέγασι. δεύτερος ἦ Αμφικτύων ὁ μετὰ Κραναὸν βασιλεύσας τῆς Αττικῆς. δυγάτηρ ἦ, πρωτογένεια. εἵσατο ὥρμησε. σημαίνει ἦ γ. εἵσατο, ἀντὶ τοῦ ὥρμησεν. εἵσατο γὰρ νηῶν ἐπ' ἀριστερά εἵσατο ἀντὶ τοῦ ἐφάνη. εἵσατο δ' ὡς τε ῥινόν. εἵσατο, ἔγνω. εἴσομαι εἰ κάμε. Οἰνομάου. ὁ χᾶα.] τὸν συνεκτικὸν τῆς βύρας μονχλόν. ἰθύς.] ἐπ' εὐθείας. ἔφαντο.] παρεγένοντο. κεκληγότες.] κεκραγότες. Λαπιθάων.] Λαπίθαι ἥρωες Αχαιοὶ ἀπὸ Λαπίθου τοῦ Απόλλωνος καὶ Στίλβης νύμφης τὸ γένος ἔχοντες. ὑψικάρηνοι.] μακραί. δεινικέσσιν.] ἐπιμήκεσιν. ἀραρυῖαι.] ἁρμοσμέναι. βέβαιαι. ἰφθεῖσαι. ἰφθεῖσαι.] ἐφευγον. βόας αὔας.] βύρσας ξηρὰς. ἦτ' ἐστὶν ἀσπίδας. ἐκιον.] ἐπῆσαν. εἶως.] ἕως. πρὶν ἐλθεῖν τοὺς βαρβάρους. ἐνδον.] ἕως τε χῶν. ἐν ᾧ τὸ αἰξαντε.] βιαθέντας ὑπ αὐτοί. δέχαται. ἐκδέχονται κολοσυρτὸν.] παρὰ τὸ τὰ κῶλα ἐπισύρειν. ὃ τὸν κολῳὸν ἤγουν τὸν συριγμόν. ἰόντα. ἐπερχόμενον. δοχμῶ τ' αἴσσοντε.] εἰς πλάγιον ὁρμῶντες. ἄγνυτο.] κατακλώσιν. κατατάσσουσι. πρυμνήν.] ἐν ριζῶν. ἰσχάτην. ὑπαὶ δέ.] ὑπὸ ἦ ὀδόντων. κόμπος.] ψόφος.

λαοῖσι

Γίνεται εἰσόκε τις Βαλὼν ἐκ θυμὸν ἕληται.
Ὡς τῶν κύμπεν χαλκὸς ὧν σιδήρῳ φαεινός,
Ἄντην βαλλομένων, μάλα γὰρ κρατερῶς ἐμάχοντο,
Λαοῖσι καθυπερθε πεποιθότες, ἠδὲ βίηφι.
Οἵσ' αἶγας χερμαδίοισιν εὐσθμήτων ἀκὴ τύγωσιν,
Βάλλοντ' ἀμῶσάμενοι σφῶν τ' αὐτῶν καὶ κλισιάων,
Νηῶν τ' ὠκυπόρων, νιφάδες δ' ὡς πίπτουσι βραχεῖ,
Ἄστ' ἄνεμος ζάης νέφεα σκιόωντα δονήσας,
Ταρφειὰς κατέχευε ὧν χθονὶ πολυβοτείρῃ,
Ὡς τῶν ἐκ χειρῶν βέλε' ἔρρεον ἠμὲν Αχαιῶν,
Ἠδὲ καὶ ἐκ θρώων, κόρυθες δ' ἀμφ' αὐτῶν ἀὐτεῶν,
Βάλλοντο μυλάκεσι, καὶ ἀσπίδες ὀμφαλόεσσαι.
Δὴ ῥὰ τότ' ὤμωξέν τε, καὶ ὦ πεπλήγετο μηρώ.
Ἄσιος Υρτακίδης. καὶ ἀλαστήσας ἔπος ηὔδα.
Ζεῦ πάτερ ἦ ῥάου καὶ σὺ φιλοψευδὴς ἐγένεο
Μᾶλλ, ὃ γὰρ ἐγὼ γ' ἐφάμην ἥρωας Αχαιοὺς
Σχήσειν, ἠμὲ τόρον γε μιῷ καὶ χεῖρας ἀάπτους,
Οἵδ' ὥσε σφῆκες μέζον ἄλοχοι ἠδὲ μέλισσαι,
Οἰκία ποιήσωνται ὁδῷ ὧν παιπαλόεσσι,
Οὐδ' ἀπολείπουσι κοῖλον δόμον, ἀλλὰ μένοντες
Ἀνδρας θηρητῆρας ἀμωνται περὶ τέκνων,
Ὡς οἵ γ' ἂν ἐθέλησι πυλάων καὶ δύ' ἐόντε
Χάσασθαι, πρίν γ' ἢ κατακτάμεν', ἢ ἁλῶναι,
Ὡς ἔφατ', οὐδὲ Διὸς πῶθεν φρένα ταῦτ' ἀγορεύων,
Ἐκπεφ γὰρ οἱ, θυμὸς ἐβάλλετο κύδεϊ ὀρέξαι,
Ἄλλοι δ' ἄμφ' ἄλλῃσι μάχην ἐμάχοντο πύλῃσιν,
Αργαλέον δὲ με ταῦτα θεὸν ὡς πάντ' ἀγορεῦσαι.
Πάντῃ γὰρ περὶ τεῖχος ὀρώρει θεσπιδαὴς πῦρ
Λάϊνον. Αργεῖοι δὲ καὶ ἀχνύμενοί περ ἀνάγκῃ,
Νῆας ἀμυνάν τε, θεοὶ δ' ἀκαχήατο θυμόν
Πάντες, ὅσοι Δαναοῖσι μάχης ὠδίτατρόθοι ἦσαν,
Σὺν δ' ἔβαλον Λαπίθαι πόλεμον καὶ δηϊοτῆτα.
Ἔνθ' αὖ Πειρίθοος υἱὸς κρατεροῦ Πολυποίτης,
Δουρὶ βάλ' Δάμασον κυνέης διὰ χαλκοπαρήου.
Οὐδ' ἄρα χαλκείη κόρυς ἔσχεθεν, ἀλλὰ διὰ πᾶν
Αἰχμὴ χαλκείη ἦλθ' ὀστέον, ἐγκέφαλον δὲ
Ἔνδυθ' ἅπαν πεπάλακτο, διάμασσε δὲ μιν μεμαῶτα.
Αὐτὰρ ἔπειτα Πύλωνα καὶ Ὄρμενον ἀξ γνάμψεν
Υἱὸς δ' Αντιμάχοιο, Λεοντεὺς ὄζος Αρηος,
Ἱππομάχου βάλε δουρὶ κατὰ ζωστῆρα τυχήσας,
Αὐτὰρ ἐκ κολεοῖο ἐρυσσάμενος ξίφος ὀξύ,
Ἀνδροφόνην μὲν πρῶτον ἐπαΐξας διὰ ὁμίλου,
Πλῆξ' αὐτοχεδὸν ἰόντ, ὀδὰξ δ' ἄρ, ὕπτιος ὔδει ἐρείδη.
Αὐτὰρ ἔπειτα Μύωνα, καὶ Ἰαμενὸν, καὶ Ορέστην,
Πάντας ἐπασσυτέρους πέλασον χθονὶ πολυβοτείρῃ,
Οφρ' οἱ ὧν γήθεϊζον ἀπ' ὤτεα μαρμαίροντα,

Τόφρ'

λαοῖσι καθυπέρθε πεποιθότες.] τοῖς ἀπὸ τοῦ τείχους ὄχλοις θαρροῦντες. καθυπέρθε. ἐμπροσθεν. ὁρᾶσι.] ἐς τὴν γῆν. βαίης.] μεγάλως πνέων, βίᾳ. κόρυθες δ' ἀμφ' αὐτῶν.] αἱ πρανιοφαλαῖαι ἢ αὐτῶν ξηρὸν ἔχον ἀσπίδιον, τοῦ ῥινὸς ἔχων. αὐτῶν.] ξηρὸν. μυλάκεσι.] βαχίσι λίθοις. ἁλαστήσας.] διανοπαθήσας. φιλοψευδὴς.] ψεύστης. σχήσειν.] ἐπισχεῖν. μέσον αἰόλος.] ποικίλοι τὰ μέσα τοῦ σώματος. ἀσὶ γὰρ ἐπῳδομένοι τῇ ξανθοὶ ἀφ' ὁ σύνηγγυς. ὡς καὶ ἀλλαχοῦ φησι. αἰόλον ἵππον. ἄμεινον ἢ ἀνδρείαν τὸν σύνηγγυς. ὀδῷ ὀδὰξ.] αὐτὶ τοῦ παρὰ τὴν ὁδόν. παιπαλόεσσαν.] τῇ πολλὰς ἐπῳμὰς ἐχούσῃ, τῇ βαχίᾳ. σίκυα.] πῶν φωλεός. καὶ κοῖλον δόμον τὴν σφηκίαν φησί. ἀνηρητῆρας.] τοὺς ὀρυχθέντας. χάσασθαι.] χωρισθῆναι. θεσπιδαὴς.] θεῖον τὸ ὑπὸ θεῶν αἴσιον πλόμενον. ἀκαχήατο.] ἐλελύπηντο. χαλκοπαρήου.] χαλκᾶς παραγνάθους ἔχόσης. ἔσχεθεν.] ἐπίσχεν, ἐκωλύθη. τυχήσας.] ἐπιτυχών. ὧν τοῦ σχεδίου.] ἐκ ἦ πλησίον, ἐκ χειρός. ἐπασσυτέρους.] ἐπ' ἀλλήλοις. ὑψιπέτης.]

† πίστε

ὑψιπέτης.] εἰς ὕψος πετόμενος. τῷ ὑ τόνῳ ἀναγνωστέον ὡς νεφεληγερέτης. ὑψιπέτη. ἢ ἀπὸ ὕψους πεπτωκώς. ἔεργω.] ἀφορίζω. ὥς τε φάνεσθαι μέσον αὐτ. ἐπ' ἀριστερὰ λαὸν ἐέργω.] ὑποχωρῆσαι συμφέρον. προσπεμένων, ἀριστερὰ γὰρ σημεῖα τὰ ἀπάισια. λιγὺ δὲ τὰ συμφέροντα. ῥητέον δὲ πῶς ὁ Ζεὺς ἐπικρατησέρους δῆλον ποιῆσαι τοὺς Τρῶας σημεῖον αὐτοῖς κωλυτικὸν ἀποστέλλει. φησὶ γὰρ, ὅφις γάρ σφιν ἐπῆλθε πορισθέντας μεμαῶσι. καὶ ῥητέον ὅτε νίκην μὴ ἐβούλετο τοῖς Τρωσίν. βλαβῆναι δὲ τὸ λέγος τῶν Ἑλλήνων. οὐ γὰρ κατὰ προαίρεσιν αὐτοὺς ἐμίσει ἀλλὰ χαριζόμενος Θέτιδι. φοινήεντα φονευτικόν. ἢ πυρρόν. κῶψιν.] ἑλίκωπα ἐπληξεν. ἔχοντα.] κρατέοντα. ἰδὼν ἑαυτὸν. καμφθάς. ἀπὸ ἔθειν.] ἀπὸ ἑαυτῶν. κλάξας.] βοήσας. αἰόλεον ὄφιν.] ἢ ποικίλον καὶ πολύσκιον πέπονθε δὲ τοῦτο τέλος ὁ στίχος. ἔχων. τὸν ἐν μέσῳ βραχέων πυρρίχιον. καὶ καλεῖ δὲ μίτρος. ἔοντα φραζομένῳ.] τὰ ἀγαθὰ συμβαλεύοντι. λῷον.] νῦν τὸν δικαστὴν. παρέξ.] ἔξω ἢ δίκαιον ἀμμορίην. ἀΐξειν.] αὔξειν. μὴ ἰόμεν.] μὴ ἀπέλθωμεν. ῥηξόμεθα.] διαῤῥήξομεν. οὐ κόσμῳ.] οὐ κατὰ τὸ δίκαιον. αὐτὰ κέλευθα.] τὰς αὐτὰς ὁδούς. ὑποκρίνατο.] ἀντὶ ἢ ἀπεκρίνατο. βλεπόμενον τὸ σημεῖον. θεοπρόπος.] ὁ ἐκ βάσεως καὶ νοίας μαντευόμενος. ὁ χρησμῳδός. νῦν δὲ οἰωνιστής. εἰδὼς τὸ δράσων.] ἐπιστάμων εἰκ παρατηρήσεως σημείων. Πολυδάμα σύ μοι οἶκ' ἐμοὶ φίλα ταῦτ' ἀγορεύεις.] Ἡρακλέης παρθέσαντο Ἴλιον, Πρίαμος δὲ Λαομέδοντος παραλαβὼν τὴν βασιλείαν, ἐπεμψεν εἰς Δελφοὺς μαντευσόμενος περὶ τῶν ἐπιόντων. οἱ δὲ πορευθέντες. χρησμὸν λαμβάνουσι. τὴν Πάνθου ἕνα τῶν Δελφῶν ἄγουσι, ὅπως κατὰ τὸ συνεχὲς μαντεύηται Πριάμῳ. ὑμᾶς δὲ οὕτως θυγατέρα Κλυτίς προνόμην, Πολυδάμαντα γενεᾷ τήν τε μαντικὴν ἀναδιδάσκει λέγεται δὲ μιᾷ νυκτὶ ἢ τὸν τε καὶ τὸν Ἕκτορα γεννηθῆναι. ἀπὸ σπορᾶς.] ἀπόκρισεως. ἐξ ἄρα ἅλισαν.] ἐξάλισαν δηλ. πανυστερόγεροι.] ἐπιμήκεις πτέρυγας ἔχοντες. εἶτ' ἔπι δηλ. ἴωσι πρὸς ἠῶ τ' ἠελίόν τε.] δηλ. τὰ ἀνατολικὰ καλεῖ. ἀριστερὰ δὲ τὰ δυτικά. πρὸς ἠῶ.] πρὸς ἀνατολήν. ποτὶ ῥόον. πρὸς ἅλα δυσμάς. μενεδήϊε.]

Τόφρ' οἵ Παλυδάμαντι καὶ Ἕκτορι κάρτει ἕποντο,
Οἵ πλεῖοι καὶ ἄριστοι ἔσαν. μέμασαν δὲ μάλιστα
Τεῖχός τε ῥῆξαι, καὶ ἐνιπρῆσαι πυρὶ νῆας.
Οἴωνῷ δ' ἐπὶ μεμβλῶτι ἐφεστάότες πρὸς τὰ φρῶ,
Ὄρνις γάρ σφιν ἐπῆλθε πρήνσεμνος μεμαῶσιν,
Αἰετὸς ὑψιπέτης ἐπ' ἀριστερὰ λαὸν ἐέργων,
Φοινήεντα δράκοντα φέρων ὀνύχεσι πέλωρον,
Ζωὸν ἔτ' ἀσπαίροντα. καὶ οὔπω λήθετο χάρμης.
Κόψε γὰρ αὐτὸν ἔχοντα κατὰ στῆθος παρὰ δειρήν,
Ἰλινωθεὶς ὀπίσω, ὅθι οἱ ἀκρ ἔθειρ ἦκε χαμάζε.
Ἀλγήσας δὲ μάλ' ὦκα μέσῳ δ' ἐνὶ κάβαλ' ὁμίλῳ.
Αὐτὸς δὲ κλάγξας πέτετο πνοιῇσ' ἀνέμοιο.
Τρῶες δ' ἐρρίγησαν, ὅπως ἴδον αἰόλον ὄφιν
Κείμενον ἐν μέσοισι, Διὸς τέρας αἰγιόχοιο.
Δὴ τότε Παλυδάμας θρασὺν Ἕκτορα εἶπε παρασταδόν.
Ἕκτορ ἀεὶ μέν πως μοι ὦν πλήσσεις ἀγορῇσιν
Ἐν δαλὰ φραζομένῳ. ἐπεὶ οὐδὲ μὲν οὐδὲ ἔοικεν,
Δῆμον ἐόντα πρὸ ἕξ ἀγορεύεμεν, ὅτ' ἐν βουλῇ,
Οὔτε ποτ' ἐν πολέμῳ. σὸν δὲ κράτος ἀμφὶς ἀέξειν.
Νῦν δ' ὦν τ' ἀγρέω ὡς μοι δοκεῖ εἶναι ἄριστα.
Μηδ' ὅμερ Δαναοῖσι μαχησόμενοι πρὸς νηῶν.
Ὡς γὰρ ἐκτελέεσθαί οἶμαι, εἰ ἐτέόν γε
Τρωσὶν ὄρνις ἐπῆλθε πρήνσεμνος μεμαῶσιν
Αἰετὸς ὑψιπέτης, ἐπ' ἀριστερὰ λαὸν ἐέργων.
Φοινήεντα δράκοντα φέρων ὀνύχεσι πέλωρον
Ζωὸν, ἀφαρ δ' ἀφέηκε πάρος φίλα οἰκί' ἐνέσθαι
Οὐδ' ἐτέλεσε φέρων δόμεναι τεκέεσσιν ἑοῖσιν,
Ὣς ἡμεῖς εἴ περ κε σὺν νηυσὶ καὶ τεῖχος Ἀχαιῶν
Ῥηξόμεθα θύρῃ μεγάλῳ, εἴξωσι δ' Ἀχαιοί.
Οὐ κόσμῳ πρὸ νεῶν φιν ἐλευσόμεθ' αὐτὰ κέλευθα.
Πολλὸς γ' Τρώων καταλείψομεν, οὓς κεν Ἀχαιοὶ
Χαλκῷ δηϊώσσουσιν ἀμυνόμενοι περὶ νηῶν,
Ὧ δ' ἔχ' ὑποκρίνατο θεοπρόπος, ὅς σάφα θυμῷ
Εἰδείη τεράων, καὶ οἱ πίθοιατο λαοί.
Τόν δ' ἄρ' ὑπόδρα ἰδὼν, προσέφη κορυθαίολος Ἕκτωρ
Παλυδάμα, σὺ μὲν ἐκ ἐτ' ἐμοὶ φίλα ταῦτ' ἀγορεύεις.
Οἶσθα δὲ ἄλλον μῦθον ἀμείνονα τόν δ' ἐνόησας,
Εἰδ' ἐτεὸν δὴ τοῦτον ἀρ' σπουδῇς ἀγορεύεις,
Ἐξάρα δή τοι εἶπεν ἐνὶ φρεσὶν ὤλεσαν αὐτοί.
Ὃς κέλεαι Ζηνὸς μὲν ἐριγδούποιο λαθέσθαι
Βουλέων. ἃς τέ μοι αὐτὸς ὑπέσχετο καὶ κατένευσε.
Τὼ γ' οἰωνοῖσι τανυπτερύγεσι κελεύεις
Πείθεσθαι. τῶν ὅτι μετατρέπομ' οὐδ' ἀλεγίζω,
Εἴτ' ὦν δεξι ἰόωσι πρὸς ἠῶ τ' ἠελίόν τε,
Εἴτ' ἐπ' ἀριστερὰ, τοίγε ποτὶ ζόφον ἠερόεντα.
Ἡμεῖς δὲ μεγάλοιο Διὸς πείθώμεθα βουλῇ,
Ὃς πᾶσι θνητοῖσι καὶ ἀθανάτοισιν ἀνάσσει

Εἷς οἰωνὸς ἄριστος, ἀμυνέσθαι περὶ πάτρης.
Τίπτε σὺ δείδοικας πόλεμον καὶ δηϊοτῆτα.
Εἴπερ γάρ τ' ἄλλοι γε πορὶ κτεινώμεθα πάντες
Νηυσὶν ἐπ' Ἀργείων, σοί γ' ὀ θυμὸς ἐς ἀποδεύεται.
Οὐ γάρ τοι κραδίη μεθέμεν μάχης, οὐδὲ μαχήμων.
Εἰ δὲ σὺ γ' ἠϊστῆτος ἀφέξεαι, ἠὲ τιν' ἄλλον
Παρφάμενος ἐπέεσσιν ἀποτρέψεις πολέμοιο,
Αὐτίκ' ἐμῷ ὑπὸ δουρὶ τυπεὶς ἀπὸ θυμὸν ὀλέσσεις.
Ὣς ἄρα φωνήσας ἡγήσατο. τοὶ δ' ἅμ' ἕποντο,
Ἠχῇ θεσπεσίῃ. τῶν ἦ Ζεὺς τορπικέραυνος
Ὦρσεν ἀπ' Ἰδαίων ὀρέων ἀνέμοιο θύελλαν,
Ἥ ῥ' ἰθὺς νηῶν κονίην φέρεν. αὐτὰρ Ἀχαιῶν
Θέλγε νόον. Τρωσὶ δὲ καὶ Ἕκτορι κῦδος ὄπαζε.
Τῶ πρὸ δὴ τεράεσσι πεποιθότες, ἠδὲ βίηφι,
Ῥηγνυδαὶ μέγα τεῖχος Ἀχαιῶν πειρήτιζον.
Κρόσσας μὲν πύργων ἔρυον, καὶ ἔρειπον ἐπάλξεις,
Στήλας τε πρόβλητας ἐμόχλεον. ἃς ἄρ Ἀχαιοὶ
Πρῶτας ὧν γαίῃ θέσαν ἔμπλεαι ἔχματα πύργων.
Τὰς οἵ γ' ὦν ἔρυον, ἔλπονθ δὲ τεῖχος Ἀχαιῶν
Ῥήξειν. οὐδὲ νύπω Δαναοὶ χάζοντο κελεύθου.
Ἀλλ' οἵγε ῥινοῖσι βοῶν φράξαντες ἐπάλξεις,
Βάλλον ἐπ' αὐτάων δηλήσς ὑπὸ τεῖχος ἰόντας.
Ἀμφοτέρω δ' Αἴαντε κελευτίωντ' ἀνὰ πύργους
Πάντοσε, φοιτήτην μυδόωντες Ἀχαιῶν.
Ἄλλον μειλιχίοις, ἄλλον στερεοῖς ἐπέεσσι
Νείκεον, ὅν τινα πάγχυ μάχης μεθέοντα ἴδοιεν.
Ὦ φίλοι Ἀργείων, ὅς τ' ἔξοχος, ὅς τε, μέσηες,
Ὅς τε χερειότερος. ἐπεὶ ὅπῃ πάντες ὁμοῖοι
Ἀνέρες ὧν πολέμῳ, νῦν ἔπλετο ἔργον ἅπασι.
Καὶ δ' αὐτοὶ τὸ δὴ πάντ γινώσκετε, μήτις ὀπίσσω
Τετράφθω ποτὶ νῆας ὁμοκλητῆρος ἀκούων.
Ἀλλὰ πρόσω ἴεσθε, καὶ ἀλλήλοισι κέλεσθε,
Αἴκεν Ζεὺς δώῃσιν ὀλύμπιος ἀστεροπητής.
Νῆας ἀπωσαμένους δηΐους πῶς τις ἔτι δείδιε.
Ὣς τὼγε πρόβοῶντε, μάχην ὤτρυνον Ἀχαιῶν.
Τῶν δ' ὥς τε νιφάδες χιόνος πίπτουσι θαμειαὶ
Ἠματι χειμερίῳ, ὅτε τ' ὦρετο μητίετα Ζεὺς
Νιφέμεν ἀνθρώποισι πιφαυσκόμενος τὰ ἃ κῆλα,
Κοιμήσας δ' ἀνέμους χέει ἐμπεδον ὄφρα καλύψῃ,
Ὑψηλῶν ὀρέων κορυφὰς. καὶ πρώονας ἄκρους,
Καὶ πεδία λωτεῦντα, καὶ ἀνδρῶν πίονα ἔργα,
Καὶ ἑφ' ἁλὸς πολιῆς κέχυται λιμέσι τε καὶ ἀκταῖς,
Κῦμα δὲ μιν προσπλάζον ἐρύκεται, ἄλλα τε πάντα
Εἰλύαται, ὅταν ὗσ' ὑπορὸς, ὅτ' ὦκα βρίσῃ Διὸς ὄμβρος,
Ὣς τῶν ἀμφοτέρωσε λίθοι ῥωγῶντο θαμειαί.
Αἱ μὲν ἄρ' ἐς Τρῶας, αἱ δ' ἐκ Τρώων ἐς Ἀχαιούς

Βαλλομένων.

μενεδήϊε.] μένων τοὺς πολεμίους ἐν τῇ μάχῃ. πολεμικὸς. πεφράδμενος.] παραλογισάμενος. πάσας. ἁλαμένας. πληγάς. θέλγε.] ὑπάτ. κ. ἔβλαπτε. πειρήτιζον.] διάπειραν ἐποιοῦντο. κρόσσας.] τὰς ὑπερβόσους πλίνθους. πύργων ἔρυον.] ἀντὶ ἢ ὅτι τοὺς πύργους ἔλκον. παρετίθεσαν. ἔρειπον.] κατέβαλλον. κατέστρεφον. ἐπάλξεις.] τοὺς προμαχῶνας ἢ τειχῶν. στήλας.] ὀρθοὺς λίθους παρὰ τὸ ἑστάναι. λέγει δὲ τοὺς θεμελιώδεις. ὕθεν καὶ προβλῆτας αὐτοὺς φησι παρὰ τὸ προβεβλῆσθαι. ἐμόχλευον.] διὰ μοχλῶν ἐκίνουν. ἔχματα.] ἐρείσματα. αὖ ἔρυον.] ἐξεβαλλον. κιλευτιδώοντο.] παρεπιλεύοντο. φοιτήτην.] ἐμμανῶς ἐπήρχοντο. στερεοῖς. ἐπιτεταμένοις. σκληροῖς. μυδόεις.] μέσος. κατὰ δύναμιν. τετράφθω.] τραπέσθω. δρομικὴ τροπή.] ἢ ἐγκελευόμενος. ἢ δ' ἐπειλοῦντος. πρόσω ἴεσθε. ἐς τὸ μπροσθεν ἔρχεσθε καὶ ὁρμᾶτε. δηΐδαι.] δηῶσαι. προβοῶντες.] ἐμπροσθεν ἢ λοιπῶν βοῶντες. ἢ προμαχίζοντες. βοὴ γὰρ ἡ μάχη ἀπὸ ἢ παρὰ πολυθοΐντος. ὥρετο.] ὥρμησε. πρὸ εὐμενέθη. πιφαυσκόμενος.] φανεροποιῶν. ἐμφανιζόμενος. τὰ δὲ κῆλα.] τὰ αὐτὰ σημεῖα καὶ βέλη. ἃ ἐπιπέμπει κατὰ χόλον. βλητὴ ἢ νῦν ἔρηκε ἢ χειμῶνα. πρώνας.] προβολὰς ὀρῶν. ὀξυχάς. λωτεῦντα.] ἀνθοῦντα. πίονα ἔργα.] νῦν γεώργια. προσπλάζον.] προσορχόμενον. προσρηγνύμενον. ἐρύκεται.] ἀντὶ ἢ ἐρύκει κατέχει. εἰλύαται.] κεκάλυπται. ἐπιβρίσῃ. ἐπιβαρήσῃ, πολὺς καὶ μέγας ἐπέλθῃ. διὸς ὄμβρος.] ὁ χειμὼν νῦν. ποτῶντο. ἐπέτοντο. ἐφέροντο. λίθοι δαμειαί. πυκναὶ λίθοι. θηλυκῶς δὲ φησιν. ἐλιξεμ.]

ἐλιξιμ.] μίλασιμ. ὑ εἰλοῦσι τοὺς πόλας ἐμ τῃ πορείᾳ. ἐντοσθιμ.] ἐσωθεμ. βοείας.] βύρσας. ῥάβδοισι.] τοῖς ναυδσιμ οἷς εἴχοντο ἀ ἀσπίδες. ἀβλήτον.] ὑβ ἑλασμάτων κατασκευαδθασαμ. ἀβλάπτυχον. ὕλασι.] κατασκεύασιμ. ἐντοσθε ὑ βοείας ῥάψε θαμείας χρυσείοις ῥάβδοισιμ.] ἐπὶ τ πτύχῶμ, αἱ μ ἦσ χαλκοῦ ὑπῆρχομ. αἱ ὑ ἦσ βύρσης. διατοῦτο, ἐρ ῥαψῳ αὐτὰς τοῖς ῥάβδοις. κέλεται.] ἀναγκάζει. πορικύκλομ.] ὡς τε ἐμ τῳ ῥαφῆς κύκλομ ἀποτελεῖδαι. πειρήσοντα.] πεῖραμ λαμβάνομ.

πυκινὸμ δόμομ.] ἀσφαλῆ. λέγει ὑ τῶμ ἐπαυλιμ. παρ αὐτόφι. παρ αὐτοῖς. βώτορας.] βοσκήτορας. βουκόλους δούρεισι.] δόρασιμ. ἀπὸ ὀνοματικῆς τῳ δόρυ, ἡ γενικὴ δόρυ ὃ καὶ δορός. ἀπὸ ὑ τ Λόρατος, καὶ δόρασι πλατυντικῶς. ἀπείρητος.] ἄπειρον ἐπιβολῆς. ἄπειρος.] μέμονε.] προεθυμήδη. δίωδαι.] διωχθῆναι. ἕλκη.] πρεσβεία, τεμῖ φυταλιᾶς.] ἀμπελοφύτοις γῆς. ναυσειρῆς.] ἐμπύρ. θέρμῃς. διὰ τὸ θέρμὸμ τ ἀγωνιζομένωμ. πύκα θωρυκτάωμ.] ἐπιμελῶς τεθωρακισμένωμ. πολεμικῶμ. ἑξατον.] ὑβ ἀίρειν. φέλοιμι.] παρεσκευάζοιμι, πέμποιμι. ὑέτῳ. ὑ τινί. κῦδος. δόξαμ. τιμήμ. ὀρέξομεμ.] πόρισοίσωμεμ. παράσχωμεμ. πάπτηνε.] πόρισε βλέψατο. ἀρήμ.] βλάβῃν, ὀξυτόνως. ἀμῦναι.] ἀμύνειν. ἀποτρέψῃ ἀποῤῥήτω.] ἀπλήστως.

οὔ πως

Βαλλομένῳ. τὸ δὲ τεῖχος ὑπὲρ πᾶμ δὴ πῶς ὀρώρει,
οὐδ᾽ ἄνπω πότε γε Τρῶες ἠὲ φαίδιμος Ἕκτωρ,
Τείχεος ἐρρήξαντο πύλας καὶ μακρὸμ ὀχῆα,
Εἰ μὴ ἄρ ἧόμ Σαρπηδόνα μητίετα Ζεὺς,
Ὧρσεμ ἐπ᾽ Ἀργείοισι λέοντ᾽ ὡς Βεσσὶ ἕλιξιμ.
Αὐτίκα δ᾽ ἀσπίδας μὲμ πρόδ᾽ ἔχετο πᾶν πρόσε ἴσηνμ,
Καλὴμ χαλκείημ ἐξήλατον. ἦμ δ᾽ ἄρα χαλκεὺς
Ἤλασεμ, ᾧ ῥ᾽ ὅδε δὲ βοείας ῥάψε θαμειάς.
Χρυσείοις ῥάβδοισι διηνεκέσι πολυκύκλου.
Τήμ, ἀῤ᾽ ὄγε πρόδε χόμὴν, δίνο δ᾽ ὄρε πτάσσωμ,
Βῆ ῥ᾽ ἴμεμ ὡς τε λέωμ ὀρεσιτρόφος, ὅστ᾽ ὠδ᾽ εὐὴς
Δηρόμ ἔῃ πρειῶμ, κέλεται δὲ ἑ θυμὸς ἀγήνωρ,
Μήλωμ πειρήσοντα, ⁊ ἐς πυκινόμ δόμομ ἐλθεῖμ.
Εἴπῃ γάρ γ᾽ εὕρησι παρ᾽ ὠτόφι βώτορας ἂμ δμῳας
Σὺμ κυσὶ ⁊ δ᾽ ὀρεσι φυλάσσοντας πρὸς μῆλα,
Οὔ ῥάτ᾽ ἀπείργητος μέμονε σταθμοῖο δίεσδαι.
Ἀλλ᾽ ὅγ᾽ ἄρ᾽ ἢ ἤρπαξε μετάλμενος, ἢὲ καὶ αὖτὸς
Ἔβλητ᾽ ᾧ πρώτοισι βοῆς ἀπὸ χειρὸς ἄκοντι,
Ὧς ῥὰ τότ᾽ αὖπίθεομ Σαρπηδόνα θυμὸς ἀνῆκε
Τείχεος ἐπαίξαι, διά τε ῥῆξαδαι ἐπάλξεις.
Αὐτίκα δὲ, Γλαῦκομ πρόσεφη πᾶσί Ἰπολόχοις.
Γλαῦκε, τίη δὴ νῶι τετιμήμεδα μάλιστα.
Ἕδρῃ τε, κρέασίν τε, ἰδὲ πλείοις δ᾽ ἐπάεσιμ
Ἐμ Λυκίῃ. πάντες δὲ θεὸς ὡς εἰσορόωσι.
Καὶ τέμενος νεμόμεδα μέγα, Ξάνθοιο παρ᾽ ὄχθας,
Καλὸμ φυταλιῆς, ⁊ ἀρούρης πυροφόροιο.
Τῶ, νῦ χρὴ Λυκίοισι μετὰ πρώτοισιμ ἐόντας,
Ἑστάμεμ, ἠδὲ μάχης καυσείρης ἀντιβολῆσαι,
Ὄφρά τις ὧδ᾽ εἴπῃ Λυκίωμ πύκα θωρηκτάωμ.
Οὐ μὰμ ἀκλειεῖς Λυκίημ κατακοιρανέουσιμ.
Ἠμὲ τοὶ βασιλῆες, ἔδουσί τε πίονα μῆλα.
Οἴνομ δ᾽ ἔξαιτομ μελιηδέα. ἀλλ᾽ ἄῤα καὶ ἴς
Ἐσθλὴ, ἐπεὶ Λυκίοισι μετὰ πρώτοισι μάχονται.
Ὦ πέπομ, εἰ μὲμ γὰρ πόλεμομ πόδε τόμ δε φυγόντες,
Αἰεὶ δ᾽ ἠμὲλλομεμ ἀγήρῳ ἀθανάτῳ τε
Ἔσταδ᾽, ὅτε κεμ αὐτὸς μὲ πρώτοισι μαχοίμημ,
Οὔτέ κε σε στέλλοιμι μάχημ ἐς κυδιάνειραμ.
Νῦμ δ᾽ ἔμπης μ᾽ κῆρες ἐφεστᾶσι θανάτοιο
Μυρίαι. ἃς οὐκ ἔστι φυγεῖμ βροτὸμ ὀδ᾽ ὑπαλύξαι
Ἴομεμ, ἠέτῳ κῦδος ὀρέξομεμ, ἢέ τις ἡμῖμ.
Ὣς ἔφατ᾽. ὀδ᾽ ἐ Γλαῦκος ἀπετράπετ᾽, ὀδ᾽ ἀπίθησε.
Τῷ δ᾽ ἰθὺς βήτημ Λυκίωμ μέγα ἔθνος ἄγοντε,
Τὸς δὲ ἰδ᾽ ὦμ, ῥίγησε᾽ ἰὸς Πετεῶο Μενεσθεύς.
Τὸ γὰρ δὴ πρὸς πύργομ ἰὼμ κακότητα φέροντες.
Πάπτηνεμ δ᾽ ἀνὰ πύργομ Ἀχαιῶμ, εἴ πιν᾽ ἴδοιτο
Ἡγεμόνωμ. ὃς τίς οἱ ἀρὴμ ἑτάροισιμ ἀμῦναι.
Ἐς δ᾽ ὤόγε᾽ Αἴαντε δύω πολέμου ἀκορήτω

Ἑστάότας.

Ἑστάότας. Τὸ ὑκρὸμ τὲ νέομ κλισίηθεμ ἰόντας
Ἐγγύθεμ. ἀλλ᾽ ὅπως οἱ ἐὴμ βώσαντι γενωνεῖμ.
Τόοσ᾽ γὰρ τύπ᾽ ἦεν ἀϋτὴ δ᾽ οὐρανὸμ ἶκε.
Βαλλομένωμ ⁊ κείωμ τε καὶ ἱππομόρωμ τρυφαλείῳ,
Καὶ πυλέωμ. πάσας γὰρ ἐπώχετο. τοὶ δὲ κατ᾽ αὐτὰς
Ἱσάμενοι πειρῶντο βίᾳ ῥῆξαντες ὀχεσδεῖμ.
Αἴψα δ᾽ ἐπ᾽ Αἴαντα πτῶσε λιπερνὴς Θοώτης.
Ἔρχετο δ᾽ ἴς Θοῶτα, θεῳ Αἴαντε κάλεσσομ,
Ἀμφοτέρω μὲμ μᾶλλομ. ὅ γὰρ κ᾽ ὄχ᾽ ἀρίσομ ἅπάντωμ
Εἴη. ἐπεὶ τάχα τῆδε τετεύξεται ἀμφὶς ὄλεθρος.
Ὡδε γὰρ ἔβεισαμ Λυκίωμ ἀγοί, οἵ τὸ πάρος περ
Ζαχρηεῖς τελέεδσι ⁊ κρατερὰς ὑσμίνας.
Εἰ δὲ σφὶ καὶ κεῖδι πόνος ⁊ νεῖκος ὄρωρεμ.
Ἀλλά περ οἵος ἔτω Τελαμώνιος ἄλκιμος Αἴας
Καὶ οἱ Τεύκρος ἄμ᾽ ἐσθλὸς ἐπ᾽ εὐδὼ πόξωμ εὖ εἰδώς.
Ὣς ἔφατ᾽. ὀδ᾽ ἀῤα οἱ κῆρυξ ἀπίθησεμ ἀκούσας.
Βῆ δὲ θέειμ πρὰ τεῖχος Ἀχαιῶμ χαλκοχιτώνωμ.
Στῆ δὲ παρ᾽ Αἰάντεσσι κιὼμ. εἶδαρ δὲ πόσίν δ᾽.
Αἴαντ᾽ Ἀργείωμ ἡγήτορε χαλκοχιτώνωμ.
Ἠνώγει Πετεῶο διοτρεφὲς Φείλος υἱός.
Κεῖσ᾽ ἰμὲν, ὅφρα πόνοιο μινυνθάδεος αὐτιάσητον
Ἀμφοτέρω μὲν μᾶλλομ. ὅ γάρ κ᾽ ὄχ᾽ ἀρίσομ ἅπάντωμ
Εἴη. ἐπεὶ τάχα κεῖδι τετεύξεται ἀμφὶς ὄλεθρος.
Ὡδε γὰρ ἔβεισαμ Λυκίωμ ἀγοί. οἵ τὸ πάρος περ,
Ζαχρηεῖς τελέεδσι ⁊ κρατερὰς ὑσμίνας.
Εἰ δὲ καὶ ᾧδε καὶ εἶδι πόλεμος καὶ νεῖκος ὄρωρεμ
Ἀλλά περ οἷος ἔτω Τελαμώνιος ἄλκιμος Αἴας.
Καὶ οἱ Τεύκρος ἄμ᾽ ἐσθλὸς ἐπ᾽ εὐδὼ πόξωμ εὖ εἰδώς.
Ὣς ἔφαδ᾽, ὀδ᾽ ἀπίθησε μέγας Τελαμώνιος Αἴας.
Αὐτίκ᾽ Οἰλιάδῃμ ἔπεα πτερόεντα προσηύδα.
Αἶαν, σφὼῒ μὲν αὖδι σὺ καὶ ὁ κρατερὸς Λυκομήδης,
Ἑστάότες Δαναοὺς, ὀτρύνετομ ἴφι μάχεδαι.
Αὐτὰρ ἐγὼ κεῖσ᾽ εἶμι καὶ αὐτίόω πολέμοιο.
Αἶψα δ᾽ ἐλεύσομαι αὖτις, ἐπὴν εὖ τοῖς ἐπαμύσω.
Ὣς ἄῤα φωνήσας ἀπέβη Τελαμώνιος Αἴας,
Καὶ οἱ Τεῦκρος ἅμ᾽ ἦε ⁊ ἀσίγνητος καὶ ὁπάτρος
Τοῖς δ᾽ ἅμα Πανδίων Τεύκρου φέρε καμπύλα τόξα,
Εὖτε Μυκηδῆος μεγαθύμου πύργομ ἱκόντο.
Τείχεος ἐντὸς ἰόντες, ἐπειγομένοισι δ᾽ ἵκοντο.
Οἳδ᾽ ἐπ᾽ ἐπάλξεις βαῖνομ ἐρεμνῇ λαίλαπι ἴδοι,
Ἴφθιμοι Λυκίωμ ἡγήτορες ἠδὲ μέδοντες.
Σφὼ δ᾽ ἐβάλοντο μάχεδαι ἐναντίομ, ὦρτο δ᾽ ἀϋτὴ.
Αἴας δὲ πρῶτος Τελαμώνιος ἄνδρα κατέκτα,
Σαρπήδοντος ἑταῖρομ ἐπικλῆα μεγάθυμομ
Μαρμάρεω ἐκρυόεντι βαλὼμ, ὃ ῥα τείχεος ἐντὸς,
Κεῖτο μέγας πᾶ᾽ ἔπαλξιμ ὑπέρτατος. ὀδ᾽ ἑ μιμ ῥέα

Χερσὶμ

Χερσὶν ἐπ' ἀμφοτέρῃσι ἔχοι ἀνὴρ, ὅ δὲ μάλ' ἥβῳ·
Οἷοι νῦν βροτοὶ εἰσ', ὅσ' ἀρ ὑψόθεν ἔμβαλ' ἀέθλους.
Θλάσσε δὲ τετράφαλον κυνέην. σὺν δ' ὀστέ' ἄραξε.
Γάντ' ἄμυδις κεφαλῆς. ὃδ' ἀρνοδυπῆϊ ἐοικώς.
Κάππεσ' ἀφ' ὑψηλῆ πύργου, λίπεν δ' ὀστέα θυμός.
Τοῦ δὲ Γλαῦκον πρατὸν πὰϊδ' Ἱππολόχοιο,
Ἰὼ ἐπεσυμένον βάλε τείχεος ὑψηλοῖο.
Ἦ ῥ' ἴδε γυμνωθέντα βραχίονα. παῦσε δὲ χάρμης.
Ἀψ δ' ἀπὸ τείχεος ἆλτο λαθὼν, ἵνα μήτις Ἀχαιῶν
Βλήμενον ἀθρήσειε καὶ εὐχετόῳ τ' ἐπέεσσι.
Σαρπήδονι δ' ἀχθος γλυκὺ, γλαυκῇ ἀπιόντι.
Αὐτίκ' ἐπεὶ τ' ᾐσθησεν, ὅμως δ' ὁ λήθετο χάρμης.
Ἀλλ' ὅγε Θεστορίδην Ἀλκμάονα δίῳ τυχήσας
Νύξ', ἐκ δ' ἔασσεν ἔγχος. ὁ δ' ἐσσύμενος πέσε δουρί.
Γρυπὸς. ἀμφὶ δὲ οἱ βρόχε τεύχεα ποικίλα χαλκῷ.
Σαρπηδὼν δ' ἄρ' ἐπάλξεις ἕλων χερσὶν εἰσαρήρεισι.
Ἕλκε. πὰν δ' ἔαγε πᾶσα δ' ἰαμπὴς. αὐτὰρ ὑπῆρθεν
Τεῖχος. ἐγυμνώθη, πολέεσσι δὲ θῆκε κέλευθον.
Τὸν δ' Αἴας καὶ Τεῦκρος ὁμαρτήσαντ'. ὁ μὲν ἰῷ
Βεβλήκει τελαμῶνα πολὺ σάκεσφι φαεινόν.
Ἀσπίδος ἀμφιβρότοιο. ἀλλὰ Ζεὺς κῆρας ἄμυνε
Πατρὸς ἓοῦ, μὴ νηυσὶν ὑπὸ πρύμνῃσι δαμείη.
Αἴας δ' ἀσπίδα νύξεν ἐπάλμενος, ἡ δὲ δι' ἀτρὸς
Ἤλυθεν ἐγχείη. συφελίξε δέ μιν μεμαῶτα.
Χώρησεν δ' ἄρα τυτθὸν ἐπάλξιος, ὅ δ' ὄγε πάμπαν
Χάζετ'. ἐπεὶ οἱ θυμὸς ἐέλπετο κῦδος ἀρέσθαι.
Κέκλετο δ' αὖτε θεοῖσιν ἐλιξάμενος λυκίοισιν.
Ὦ Λύκιοι. τί δ' ἄρ ὧδε μεθίετε θούριδος ἀλκῆς.
Ἀργαλέον δὲ μοι ἔσσι καὶ ἰφθίμῳ περ ἐόντι.
Μούνῳ ῥηξάμενόν γε θοὰς νηυσὶ κέλευθον.
Ἀλλ' ἑπόμαρτε σθένος. πλεόνων δέ τοι ὄρνυ' ἄμεινον.
Ὡς ἔφαθ'. οἱ δὲ ἄνακτος ὑποδείσαντες ὁμοκλὴν,
Μᾶλλον ἐπέβησαν βουληφόρον ἀμφὶ ἄνακτα.
Ἀργεῖοι δ' ἐτρώθων ἐκ ἀρτεμέων φάλαγγας.
Τείχεος ἐν ποδὶ μέγα δέ σφισι φαίνετο ἔργον.
Οὔτε γὰρ ἴφθιμοι Λύκιοι Δαναῶν ἐδύναντο
Τεῖχος ῥηξάμενοι θοὰς πρὸς νῆας κέλευθον.
Οὔτε ποτ' ἀϊχμητὰ Δαναοὶ Λυκίους ἐδύναντο
Τείχεος ἄμ πρῶθι ἐόντας. ἐπεὶ τὰ πρῶτα πελάσθην.
Ἀλλ' ὥς τ' ἀμφ' ἔροισι δύ' ἀνέρε δηριάασθον
Μέτρ' ἐν χερσὶν ἔχοντε διξήμεν ἐν ἀρούρῃ.
Ὥστ' ὀλίγῳ ἐνὶ χώρῳ ἐρίζετον πολὺ ἴσης,
Ὡς ἄρα τοὶ, διέεργον ἐπάλξιες, οἵδ' ὑπὲρ αὐτέων.
Δηΐῳ ἀλλήλων ἀμφὶ σάκεσι βοείοις
Ἀσπίδας εὐκύκλους. λαισήϊά τε πτερόεντα.
Πολλοί δ' ὀτάζοντο ἰῷ χρόα νηλέϊ χαλκῷ.
Ἢ μὲν ὅτῳ τρωθῇσι μετάφρενα γυμνωθείη
Μαρναμένων. πολλοὶ δὲ διαμπερὲς ἀσπίδος αὐτῆς.
Γάντο δὴ πύργοι καὶ ἐπάλξιες, αἵματι φωτῶν
Ἐρράδατ' ἀμφοτέρωθεν ἀκὴ Τρώων καὶ Ἀχαιῶν.
Ἀλλ' οὐδ' ὣς ἐδύναντο φόβον ποιῆσαι Ἀχαιῶν.
Ἀλλ' ἔχον ὥς τε πάλαντα χυὴ χερνῆτις ἀλιθὴς.
Ἥτε σταθμὸν ἔχουσα καὶ εἴριον ἀμφὶς ἀείρει.
Ἰσάζουσ' ἵνα τασσὶν ἀεικέα μισθὸν ἄρηται.
Ὡς μὲν τῶν ἰὴ μάχη τέτατο. πόλεμός τε.
Εἰνὴ δ' ὅτε δὴ Ζεὺς κῦδος ὀπάτερον Ἕκτορι δώκε
Ἐς ἀμίδα. ὃς πρῶτος ἐσήλατο τεῖχος Ἀχαιῶν.
Ἤϋσεν δὲ διαπρύσιον Τρώεσσι μεγαώνας.
Ὄρνυδ' ἱππόδαμοι Τρῶες, ῥῆξαι δὲ τεῖχος
Ἀργείων καὶ νῆας ἐνιέμεν θεσπεσίας πῦρ.
Ὣς φάτ' ἐποτρύνων. οἳδ' ἄσσον πάντες ἄκοντο
Ἴθυσαν δ' ὧν τεῖχος ἀολλέες. οἱ μὲν ἔπειτα
Κρόσσας ἀμφ' ἐπάλξεσιν ἀνακλινέα δ' ὄρασ' ἔχοντες.
Ἕκτωρ δ' ἀρπάξας λάαν φέρεν ὅς ῥα πυλάων
Εἰσήκει πρόσθεν πρυμνὸς παχὺς, αὐτὰρ ὕπερθεν
Ὀξὺς ἔην, τόν δ' ὄκε δύ' ἀνέρε δήμου ἀείρειν.
Ῥεϊδίως ἐπ' ἄμαξαν ἀπ' ὄνείων ὀχλίσειαν
Οἷοι νῦν βροτοὶ εἰσ', ὅδε μιν ῥέα πάλλε καὶ οἷον
Τὸν οἱ ἔλαφρὸν ἔθηκε Κρόνου παῖς ἀγκυλομήτεω.
Ὡς δ' ὅτε ποιμὴν ῥεῖα φέρει πόκον ἀρσενος οἰὸς
Χειρὶ λαβὼν, ἐτόρῃ, ὀλίγον σέ μιν ἄχθος ἐπείγει
Ὣς Ἕκτωρ ἴθυς σανίδων φέρε λᾶαν ἀείρας,
Αἵ ῥα πύλας ἔρυντο πύκα συβαρῶς ἀραρυίας
Δικλίδας ὑψηλὰς, δοιοὶ δ' ὑπερθεν ὀχῆες
Εἶχον ἐπημοιβοί, μία δὲ κληὶς ἐπέρηεν.
Στὰς δὲ μάλ' ἐγγὺς ἰὼν καὶ ἐρεισάμενος βάλε μέσσας
Εὖ διαβὰς, ἵνα μὴ οἱ ἀφαυρότερον βέλος εἴη.
Ῥῆξε δ' ἀπ' ἀμφοτέρας θαιρὰς, πέσε δὲ λίθος ἔσω
Βεβροτόωσι, μέγα δ' ἀμφὶ πύλαι μύκον, οὐδ' ἄρ' ὀχῆες
Ἐσχεθέτην, σανίδες δὲ διέτμαγεν ἄλμυδις ἄλλη,
Λᾶος ὑπαὶ ῥιπῆς. ὁ δ' ἄρ' ἔσορε φαίδιμος Ἕκτωρ,
Νυκτὶ θοῇ ἀτάλαντος ὑπώπια, λάμπε δὲ χαλκῷ
Σμερδαλέῳ, τὸν ἕεστο περὶ χροΐ. δοιὰ δὲ χερσὶ
Δόρ' ἔχων, ὄκ' ἄν τις μιν ἐρυκάκοι αὐτιβολήσας
Νόσφι θεῶν. ὅτ' ἐσᾶλτο πύλας, πυκνεί δ' ὅσσε διέδρακε
Κύκλος δὲ Τρώεσσιν ἐλιξάμενος καθ' ὅμιλον,
Τεῖχος ὑπερβαίνειν, τοίδ' ὀτρύνοντι πίθοντο.
Αὐτὰρ δ' οἱ μὲν τεῖχος ὑπερβασαν, οἱ δὲ, κατ' αὐτὰς
Ποικίλας ἐσέχυντο πύλας, Δαναοὶ δ' ἐφόβηθεν,
Νῆας ἀνὰ γλαφυρὰς, ὅμαδος δ' ὀρθὸς ἀΐστου ἐτύχθη.

φόβου.] πανταχῆ. ὁ Ποιητὴς τὴν φυγὴν φόβον φησί. τάλαντα.] παρὰ τὸ ταλᾶν ηκὲ ὑπομονητικὸν τ βάρους. χερνῆτις.] ἡ ἀπὸ τ ἔργων τ ἰδίων χειρῶν ζῶσα, ὅ ἐστι μισθῷ ἄλλοις ἐργαζομένη. ἀληθὴς.] δικαία. καὶ ἀκριβής. ἀμφὶς.] ἑκατέρωθεν. ἰσάζουσα.] ἐξισοῦσα. ἀεικέα.] τὸν σὺν πόνῳ καὶ οἰκτρόν. ἀρῆται.] πτήσεται, λάβῃ. ἴση μάχη τέτατο.] ἰσόρροπος καὶ ὁμοία ἦν ἡ μάχη αὐτοῖς.

ὑπέρτερον.] μᾶλλον. ἐσήλατο.] ἐκ βίας διασεὶς, εἰσῆλθεν. καὶ ἡ ψιλῶς ἐσήλευσεν. ἐνίετε.] ἐμβάλλετε. προσσαώσω.] ὑποστρόχων κλιμάκων πρὸς τὴν χωμαχίαν ἐπιτηδείων. πρυμνός.] παχὺς κατὰ τὸ ἔσχατον μέρος. παχύς.] ἐτοροβαρής. ἀπ' ὄλους ὀχλίσειαν.] ἀποκινήσειαν τ ἰδάφους. πάλλσε.] ἀνεκαλλυε, ἐκίνει. ὀλίγον ἄ] χθος.] ὡς κῦφον βαρύ. ἐπάγει.] βαρῦ. σανίδων.] τ θυρῶν. ἀραρυίας.] ἐπαρὰς, βασάσας. δικλίδας.] διθύρους. ὀχῆες.] οἱ μοχλοὶ ἀπὸ τ συνέχειν τὰς θύρας. ἔχον.] κατέχον. ἐπημοιβοί.] ἐπ' ἀμοιβῆς ἀλλήλοις ἐπικείμενοι. ὡς ἐφ' ἕνα. κληὶς.] κλεὶς. ἐπαρήρει.] ἐφάρμοσε, ἐπέκειτο. ἐρεισάμενος.] μετὰ πολλῆς δυνάμεως ἐπρεσβεύε. οὐ διαβάς.] ἰσχυρῶς σάς. ἀφαυρότατον.] αὐτὶ τ ἀφαυρὸν ηκὲ ἀδυνατώτερον, ἐστὶ δ ὑπερβετικῶς, ὡντὶ τ ἀπολύτως. βαιρὰς.] τὰς τρέφιγγας. βεβροτόωσιν.] τῷ βαρεῖ. ἰσχὲ βιτην.] ἐπίσχον. διέτμαγον διεσχήθησαν, διεχωρίσθησαν. λᾶος ὑπαὶ ῥιπῆς.] ὑπὸ τ λίθου φορᾶς. ἐωρᾶν.] αἰσθήσει. νυκτὶ θοῇ.] ἤτοι τῇ ταχίως ἐπιλαμβανούσῃ τὸν γλῶ. ἢ ἐπεὶ δίοπτα ταχίως παρίεναι ὡς πρὸς τὴν ἡμέραν, κειμένων ἡμῶν. ὑπώπια.] τὸν πρόσοψιν, ἀπὸ μέρους τὸ ὅλον. τὸν ἕεστο.] ὃν ἡμφίεστο. ἐλιξάμενος.] ἐπιστραφείς. ὑπέρβασαν.] ὑπέρβησαν. ἐσέχυντο.] ἐσέχυθησαν, ἐσῆλθον τροπικῶς ἀπὸ τ ὑδάτων, ἐφόβηθεν.] ἐπὶ φυγὴν ἐτράπησαν. ἀλίαστος.] ἀμετάβλητος, ἄπαυστος. ἐτύχθη.] ἐγένετο.

ὀβῶν.] ἀκμάζων. σὺν δ' ὀστέ' ἄραξε.] συνέθρυψε ἢ τὰ ὀστᾶ κωφ. τὸ σώμα, συνεπλοχικῶς. ἄμυδις.] ὁμοῦ.

ἀρνευτῆρι.] κυβιστητῇ. ᾗ λύτη. κῇ ἔτοι γὰρ ἔπι κεφαλὴ ἐκτὸς ῥίπτεται. παρὰ τὸς ἄρνας. ἔτοι γὰρ κυβιστῶσιν ὥσπερ τ ἄερα κυρτύτοντες. τινὲς δὲ τῷ διλφῖνι. οἱ γὰρ ἄρνες ὠδὶ κεφαλὴν ἔνεται ὅταν γαλύνη γίνηται. ἐπεσύμενον.] ὁρμῶντα. ἦ ῥ' ἴδε γυμνωθέντα βραχίονα.] ἵνα δ' μέρος ἐθεάσατο ὠ τ βραχίονα γεγυμνωμένον. ἆλτο.] ἀλθήλατο. ἀθρήσειε.] θεάσαιτο.

σὺν τόωτο.] κακῶς ἐσπόμενον. ἀκελεθίσας. Σαρπηδὼν δ' ἀπ' ἐπάλξιν ἕλων.] Εὐρώπῃ τὴν Φοίνικος Ζεὺς θεασάμενος ἐν τινι λιμῶνι μετὰ νυμφῶν αὐθη αὐαλίγεσαν, ὑράδη. κῇ κατειλθὼν, ἥλλαξεν αὐτ ἐς ταῦρον. ὅθεν ἀπὸ τ σώματος πρόκον νένωμ, τὴν Εὐρώπην ἀπατήσας ἐβάστασε. ηκὲ διαπορθμεύσας ἐς Κρήτην, ἐμίγη. ἔθ' ὅτως συνῴκισεν αὐτὴν Ἀστερίωνι τῷ Κρητ βασιλέ. γενομένη δ' ἔγνω ἐκέ νη, τρῖς παῖδας ἐγέννησε. Μίνωα, Σαρπηδόνα, ηκὲ Ραδάμανθυν. ἱστορεῖ Ησίο δ ηκὲ Βακχυλίδης. διαμπερές.] διηνεκῶς. ἁμαρτήσαντι.] ὁμῶ κῇ ὑπὸ τ αὐτ καιρὸν ἀφέντες τὰ δόρατα, ηκὲ ἐπιτυχόντες. συφέλιξεν.] ἀπετίναξεν. ἀρέσθαι.] ἀπενέγκασθαι, κτήσασθαι. ἐλιξάμεν.] ἐπιστραφείς.

τίδ' ἀρ'.] τί δή. θέσκελον.] ὀξυ μενύτως, ταχέως. ἀργαλέον.] χαλεπὸν, ἀδιάπαυστον. ἐφομαρτέτον.] ἀκολουθεῖτε. ἐκαρτύναντο.] ἰσχυροποίησαν, γενναίως συνετάξαντο.

μᾶλλον.] ἢ τὸ πρότερον. ἐπέβησαν.] βαρεῖς ἐπῆλθον τοῖς Ἀχαιοῖς.

ἆψ ὤσασθαι.] ἐς τὸ πίσω ἀπώσασθαι. ᾠλάσθη.] προσεπελάσθησαν, προσῆλθον. ἀμφ' ἔροισι.] πρὸ δ' ἔργων γῆς. δηριάασθον.] φιλονικῆσαι.

ἐπιξείω.] ἐπικοινῶ ηκὲ ὁμόρῳ χωρίῳ. πρὸ ἰσης.] πρὸ τ ἴσου. διέεργον.] διεχώριζον, διίστων. δηΐῳ.] διέκοπτόμ. λαισήια.] μικρὰ ἀσπίδια. ὀτάζοντο.] ἐβλάπτοντο. ἐρράδατο.] ἐρραίνοντο ἦσαν. φόβον.]

Μαρναμένων. πολλοὶ δὲ διαμπερὲς ἀσπίδος αὐτῆς.
Γάντο δὴ πύργοι καὶ ἐπάλξιες, αἵματι φωτῶν
Ἐρράδατ' ἀμφοτέρωθεν ἀκὴ Τρώων καὶ Ἀχαιῶν.
Ἀλλ' οὐδ' ὣς ἐδύναντο φόβον ποιῆσαι Ἀχαιῶν.
Ἀλλ' ἔχον ὥς τε πάλαντα γυὴ χερνῆτις ἀληθὴς.
Ἥτε σταθμὸν ἔχουσα καὶ εἴριον ἀμφὶς ἀείρει.
Ἰσάζουσ' ἵνα τασσὶν ἀεικέα μισθὸν ἄρηται.
Ὡς μὲν τῶν ἰὴ μάχη τέτατο. πόλεμός τε.
Εἰνὴ δ' ὅτε δὴ Ζεὺς κῦδος ὑπάτερον Ἕκτορι δώκε
Ἐς ἀμίδα. ὃς πρῶτος ἐσήλατο τεῖχος Ἀχαιῶν.
Ἤϋσεν δὲ διαπρύσιον Τρώεσσι μεγαώνας.
Ὄρνυδ' ἱππόδαμοι Τρῶες, ῥῆξαι δὲ τεῖχος
Ἀργείων καὶ νῆας ἐνιέμεν θεσπεσίας πῦρ.
Ὣς φάτ' ἐποτρύνων. οἳδ' ἄσσον πάντες ἄκοντο
Ἴθυσαν δ' ὧν τεῖχος ἀολλέες. οἱ μὲν ἔπειτα
Κρόσσας ἀμφ' ἐπάλξεσιν ἀνακλινέα δ' ὄρασ' ἔχοντες.
Ἕκτωρ δ' ἀρπάξας λάαν φέρεν ὅς ῥα πυλάων
Εἰσήκει πρόσθεν πρυμνὸς παχὺς, αὐτὰρ ὕπερθεν
Ὀξὺς ἔην, τόν δ' ὄκε δύ' ἀνέρε δήμου ἀείρειν.
Ῥεϊδίως ἐπ' ἄμαξαν ἀπ' ὄνείων ὀχλίσειαν
Οἷοι νῦν βροτοὶ εἰσ', ὅδε μιν ῥέα πάλλε καὶ οἷον
Τὸν οἱ ἔλαφρὸν ἔθηκε Κρόνου παῖς ἀγκυλομήτεω.
Ὡς δ' ὅτε ποιμὴν ῥεῖα φέρει πόκον ἀρσενος οἰὸς
Χειρὶ λαβὼν ἑτόρῃ, ὀλίγον σέ μιν ἄχθος ἐπείγει
Ὣς Ἕκτωρ ἴθυς σανίδων φέρε λᾶαν ἀείρας,
Αἵ ῥα πύλας ἔρυντο πύκα συβαρῶς ἀραρυίας
Δικλίδας ὑψηλὰς, δοιοὶ δ' ὑπερθεν ὀχῆες
Εἶχον ἐπημοιβοί, μία δὲ κληὶς ἐπέρηεν.
Στὰς δὲ μάλ' ἐγγὺς ἰὼν καὶ ἐρεισάμενος βάλε μέσσας
Εὖ διαβὰς, ἵνα μὴ οἱ ἀφαυρότερον βέλος εἴη.
Ῥῆξε δ' ἀπ' ἀμφοτέρας θαιρὰς, πέσε δὲ λίθος ἔσω
Βεβροτόωσι, μέγα δ' ἀμφὶ πύλαι μύκον, οὐδ' ἄρ' ὀχῆες
Ἐσχεθέτην, σανίδες δὲ διέτμαγεν ἄλμυδις ἄλλη,
Λᾶος ὑπαὶ ῥιπῆς. ὁ δ' ἄρ' ἔσορε φαίδιμος Ἕκτωρ,
Νυκτὶ θοῇ ἀτάλαντος ὑπώπια, λάμπε δὲ χαλκῷ
Σμερδαλέῳ, τὸν ἕεστο περὶ χροΐ. δοιὰ δὲ χερσὶ
Δόρ' ἔχων, ὄκ' ἄν τις μιν ἐρυκάκοι αὐτιβολήσας
Νόσφι θεῶν. ὅτ' ἐσᾶλτο πύλας, πυκνεί δ' ὄσσε διέδρακε
Κύκλος δὲ Τρώεσσιν ἐλιξάμενος καθ' ὅμιλον,
Τεῖχος ὑπερβαίνειν, τοίδ' ὀτρύνοντι πίθοντο.
Αὐτὰρ δ' οἱ μὲν τεῖχος ὑπερβασαν, οἱ δὲ, κατ' αὐτὰς
Ποικίλας ἐσέχυντο πύλας, Δαναοὶ δ' ἐφόβηθεν,
Νῆας ἀνὰ γλαφυρὰς, ὅμαδος δ' ὀρθὸς ἀΐστου ἐτύχθη.

ΥΠΟΘΕΣΙΣ ΤΗΣ Ν ΤΟΥ
ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

ΠΟσειδῶν νικωμένης ἐλεῶν τὸς Ελληνας, ὁμοιοῦται καὶ Κάλχαντι, καὶ ἀμφοτέρους τὸς Αἰαντας παροτρύνει, ἔπειτα δὲ καὶ τὸς ἄλλους, μιτὰ ταῦτα Ιδομενῆ δὲ ὑποφαίνεται Οθρυονία, καί τινας ἄλλους, πολλοὶ δὲ αὐτῶν αὐταρεῖν καὶ τιτρώσκονται ὑπ' Δηΐφοβον, καὶ Ελενον, τὸς δὲ ὑπηνέμους συναγαγὼν, Εκτωρ ἐπάγει τοῖς πολεμίοις. καὶ μεγάλως ἀμφοτέρωθεν αὐταιρουῦται.

ΚΑΙ ΑΛΛΗ.

Διαρρήξας τὰς πύλας τ τάφρου τ Ελλήνων Εκτωρ, μεταβαίνει τε ἐπιλαβὼν ἐς φυγὴν αὐτὸς τρέπει. καὶ Ζεὺς βροντήσας τὰς ψήφους ἀδὶ τὰ πέρατα τ γῆς, ἀλλοφύλως θεωρεῖ ἀνθρώπους. Ποσειδῶν δὲ καθεζόμενος ἀδὶ Σαμοθράκης, θεασάμενος τὸν Ελληνας, παραγίνεται ἐς Αἰγάς, ἔνθα ἰδίων αὐτῷ τιμώμενος λαβὼν δὲ συνήθη πόσμον, ἐπιβὰς ἁρμάτος ὑπὸ χρυσείων ἡνιόχων, καὶ ἵππων πτερωτῶν, ἐπιβαίνει τὸν θαλάσσης, καὶ ἐλθὼν ἐπὶ τὸν Ελλήνων στρατόπεδον, ἐκπλήττει τὸν Τρῶας. καὶ ὑποζύξας ἵππους, παραγίνεται εἰς τὸ μέσον, καὶ τὸ μὲν ἅρμα καθίησι ἐν τῷ μεταίχμιῳ. αὐτὸς δὲ ὁμοιωθεὶς Κάλχαντι, παροτρύνει τὸς ἀρίστους τῶν Ελλήνων. οἱ καὶ ῥᾴστον τινὰ ἐμπνευσθέντες παρὰ τ θεοῦ, γεγανάκασι ἀγωνίζονται. ἐν οἷς καὶ Ιδομενεὺς καὶ Μηριόνης σὺν ὁκνηδόσι, συμβολῆς δὲ γενομένης, ἑκατέρωθεν τῶν στρατευμάτων ἰθάσιον βοὴ αἴρεται.

ΣΧΟΛΙΑ ΕΙΣ ΤΗΝ Ν ΤΟΥ
ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΝ.

Εὐς δ' ἐπεὶ δὴ Τρῶας τε καὶ Εκτορα.] ἀναχώρησιν τ λοιπῶν Τρώων τὸν Εκτορα κατ' ὀξυχολί. μιτὰ τὸν Ιλίου πόρθησιν Εκτωρ ὁ Πριάμου καὶ μιτὰ θανάτον, τὸν ἀπὸ θεῶν σύντροφος τιμή. οἱ γὰρ ἐν Βοιωτίᾳ Θηβαῖοι πιθόμενοι παντὸς ἐμαντεύοντο πόρρι ἀπαλλαγῆς. χρησμὸς δὲ αὐτοῖς ἐδόθη παύσασθαι τὰ δεινά. ἐὰν δὲ ἀφυέως τὰ Τρωϊκὰ τὰ Εκτορος ἐφ' ἁρμονίαν θῶσιν ὃν τ παρ' αὐτοῖς καλούμενον τόπον Διὸς γονάς. οἱ δὲ τοῦτο ποιήσαντες, καὶ τ κακῶν ἀπαλλαγέντες, διὰ τιμῆς ἴσχον Εκτορα. κατά τε τὸς ἐπάγοντας καρδὸς, ἐπικαλέσαντα τὸν ἐπιφάνειαν αὐτοῦ. ἡ ἱστορία παρ' Αριστοβούλῳ.

ἐπεὶ δὴν.] ἐπειδή. πέλασαν.] προσεπέλασεν, ἐγγίσαι ἐποίησε. παρὰ τῆσι.] παρὰ ταύτας. νόσφι.] τὸν κατὰ τὸν πόλεμον ταλαιπωρίαν. δϊζύω.] ταλαιπωρίαν. νωλεμέως.] ἀδιαλείπτως. πάλιν ῥέπει.] τὸν ἀπὸ τ σύθεος μεταστροφὴν δηλοῖ. ἔστι πάλιν κλίνασα. οἱ δὲ αὖὰ μέρος Μυσίαν καὶ Θράκην ὁρῶν. ἔστι δὲ καὶ τὸ σιώπιθες Ομήρου. πάλιν ποίησε γέροντα, καὶ ἐς τὸ πίσω πάλιν ὄρυσσα. καὶ ἐναντίον ὁδοῖ πάλιν ὄρυσσε. ὅτε φασὶ φῶ.] ὀφθαλμὸς παρεκρεμένης τὸ φῶς. ἢ γιγάντος. ἱπποπόλων.] πόρρι ἵππους πολέντων δὲ ὃ πολεμικῶν.

αἶαν.] γῆν. ἀγχεμάχων.] τῶν συτάδην καὶ ἐκ τ πλησίον μαχομένων. ἀγαιῶν.] λαμπρῶν. καὶ ἐνδόξων. ἢ ὄνομα ἔθνους ὅτω καλεμένων Αγαιῶν. ἱππημολγῶν. ἵππους ἀμελγόντων. γαλακτοφάγοι γὰρ εἰσιν. ὅθεν καὶ γαλακτοφάγους αὐτὸς ἔπεμψε, ἢ οἱ ἀρκόμενοι γάλακτι καὶ λιτῇ διαίτῃ. καλῶς ἔρηται δικαιότατοι. ἐπιθυμίας γὰρ πλειόνων, ἐπ' ἀδικίαν ἄγει. ἔτι συνιδὼν καὶ Λυκοῦργον, ποιήσω καὶ ὁ σοφιτὴν Λακεδαιμονίοις δίαιταν εἰσήνεγκεν. Αβίων.] ἔτοι βιοῦς μὴ χρῶ μένων ὅ ἐστι τόξοις. ἢ τὸ α. κατ' ἐπίτασιν ἵν' ᾖ τοὐλυβίων καὶ τοξικ. ἢ τῶν ἡμέρον βίον μὴ ἐγνωκότων. ἐπιφέρει γάρ. δικαιοτάτων αὐθρώπων. ἢ μὴ βιαζομένων. ἔστι δὲ καὶ ἔθνος ἐν Σκυθίᾳ Αβιοι, οἱ καὶ Αμαξόβιοι καὶ Νομάδες ὀνομαζόμενοι. ἀλαοσκοπιὸν.] ματάιαν τὴν κατασκοπὴν, ὅ ἐστιν ἐπιμελῶς ἐσκόπει. ἀλαὸς γὰρ ὁ τυφλός.

θαυμάζων.] διάμενον. καθορᾶν. ὑψοῦ ἐπικρατάτης κορυφῆς Σάμης ὑλήεσσης.] Σάμιοι οἱ ἐν Ιωνίᾳ μιτὰ διακοσιοστὸν ἔτος ἐνατοντοστὸν τῶν Τρωϊκῶν, χρησμὸν ἔλαβον παρὰ τοῦ Πυθίου εἰς τὴν ἐν Τρωάδι Θρᾴκην μετοικῆσαι ἀφ' ὧν ἡ Σαμοθράκη προσηγορεύθη. ἡ ἱστορία παρὰ Απολλοδώρῳ, Σάμου Θρηικίης.] ἡ Σαμοθράκη. τὸ μὲν τοι ἂν αὐτῇ ἦρ, Σαόκη καλεῖται. ἐνιμέσσα.] ἐμέμφετο. ἀκαταλόεντ.] τραχέος. πραπιὰ κραπνὸς. ταχέως. προβιβάς.] ὁρμὴ προβαίνων. ὁρέξατο.] ἐξέτεινε. λιλίθη. τὸ δὲ τέτρατον.] προσληπτέον ὁρμεμένῳ. Αἰγὰς ἔνθα ἦ οἱ λαμπτὰ δώματα.] Αἰγαὶ πόλις Αχαΐας ἐν Πελοποννήσῳ ἔνθα τιμᾶται ὁ Ποσειδῶν. ἄγετ ἦ καὶ Διονύσῳ ἑορτή. ἐν ᾗ ἐπεσ' αὖ ὁ χορὸς συσὰς τὰς τ δώδεκα τελείας ὀργυιὰς, καὶ θαυμάσιον ἐπιτελεῖσθαί φασιν ὄργανον. ἄμαξαι γὰρ ἐς παλοῦσιν ἐφ' μίαν ἡμέραν παρὰν βαστάσουσιν, ἄχει ἦ δὲ ἐσπέρας οἶνον ἄφθονον ἔχουσιν. ἡ ἱστορία παρὰ Εὐφορίωνι. ἐρήτ. καὶ ἦ διατὶ σύθεως ὁ ποσειδῶν ὡς Τροίαν, ἀλλὰ τὸν χρόνον ἀπατᾷν περιυθεὶς ἐς Αἰγάς. ῥητέον ὅτι δυοῖν ἕνεκα πραγμάτων μεμηχάνηται ὁ ἀποδημία. πρῶτον μὲν, ἵνα ἀποπλανήσῃ τ Διὰ ὡς ἀπολιλοιπὼς τ πόλεμον. δεύτερον ἦ, ἵνα λαθοπλιδῇ ὡς τ Διὸς πόλεμος, ἐὰν ἄρα φοραθεὶς ἐς τὴν συμμαχίαν πυνθυνσύσῃ. τὼ ἔχεσφι τιτύσκετο.] ὑπεξυγνυει τῷ ἐχήματι τὰς ἵππους. ὠκυπέτας χρυσείοισιν ἰθήρησιν κομόωντι.] χρυσῷ πεποσμημένοις. ἦ καλάς. αἰθέρας ἦ ἴχνη παρὰ τὸ βῆ ἔθος ἴχνεσθαι ὅ ἐστι πολιτεύεσθαι. ὠκυπέτας.] ταχέως τρέχοντας. ἰμάσθην.] μάστιγα. ἄταλλον.] ἐν νεότητι ἁπατὰ διαθέσιμ ἐγίγνετο. ὅ ἐστιν ἐσπέρας καὶ ἔχαρεν. ὑπ' αὖτ.] αὐτί τ δὲ αὐτόν. παύτοθεν ἐκ πυθμῆν.] ἐκ τῶν καταδύσεως καὶ φωλεῶν. γηθοσύνη.] τῇ χαρᾷ. διάνευτο.] διάβροχθ ἐγίγνετο. εὐσπαρθμοί.] σύσκηνοι. ὅ ἐστιν σύνιντοι, ταχεῖς. σπαρθμὸς γὰρ κατὰ διάλειπτον ὁπᾶς. ἔστι δέ τε σπάθ σὺριγ.] ἀφύτιτον οἴημα πλατὺ παρὰ τὸν σθένος τ φυτός. λίμνης.] νεῶ θαλάσσης. Τενέδοιο κὴ Ιμβρου.] νῆσοι πλησίον Τροίας ποίμνιαι καὶ ἡ μὲν Τένεδ θ κεῖται μέσης ῥίπῃ πελάγους, Αἰγαίου, Ελλησπόντου. μίλαν θ πόλιν. διὸ καὶ Τρίοσθ ὑπ' ἐνίων καλεῖται. ἡ ἦ Ιμβρ θ ὄρος ἐν τῷ μίλανι πόλῃ. ἔδαρ.] ἑδισμα, ἔλος φίλ. ἐλμῶνα.] ἑδίσεμ. πίλας.] δεσμὸς. ἔτοι παρὰ τὸ πίτρεμι ἔρηνται. ἢ παρὰ τὸ τὸς πόλας. ὥσπερ παρὰ τ βόλος τὸ ὑμιωβόλιον. ἀλύτας.] δυσλύτας. ἄμοτον.] αἰτί ἀμότως, καὶ ἀπληρώτως. ἄῤῥομοι, αὐίαχοι.] αἰτί τ πολύβρομοι καὶ πολύηχοι. ἑκάστοτε θορυβώδεις τὰς Τρῶας παρίστησιν. αὐίαχοι.] αἰτί τ αὐίαχοι. ὅ γαρ. ν. βαρυβιέντ θ. ὑπεσῦλλε τὸ ν. ὡς καὶ ὅτε τὸ ἀγανοί, ἀγαυοί. Χρύσιππ θ ὁ Στωϊκὸς καὶ Διονύσι θ ὁ Θρᾷξ ψιλεῖ τὸ αὐίαχοι. ἵν' ᾖ ἐπρόφονοι. Γαιήοχ θ Εννοσίγα θ.] ἐπίθετα Ποσειδῶν θ. καὶ τὸ βῆ ἐν σπλοῖ ὁ τὸν γῆν συνέχων. τὸ ἦ ἴσθι ὁ κινῶν αὐτήν. κὴ γὰρ πρὶ ἰαχεῖν, πλέον ἔχειν. ὧν χρὴ προῖσθαι. κὴ τὰ νεοδὰ διορύσσειν. κὴ τὰ ὑγιεινὰ προφυ-

ΙΛΙΑΔΟΣ Ν ΟΜΗ-
ΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

Νῦ ἦ Ποσειδάων Δαναοῖς κράτ θ ὄπασε λάθρη.

Εὐς δ' ἐπεὶ δὴν Τρῶας τε, Ε Εκτορα νηυσὶ πελάσσας
τὸς μὲν ἔα πρὸς πῆσι πόνου τ' ἐχέμεν κὴ ὀϊζύν.
Νωλεμέως, αὐτὸς δὲ πάλιν τρέπεν ὄσσε φαεινώ,
Νόσφιν ἐφ' ἱπποπόλων Θρηκῶν κεκαθορώμενο Αἴαν,
Μυσῶν τ' ἀγχεμάχων, καὶ ἀγαυῶν ἱππομολγῶν.
Γλακτοφάγων Αβίων τε, δικαιοτάτων ἀνθρώπων.
Ἐς Τροίην δ' οὐ πάμπαν ἔτι τρέπεν ὄσσε φαεινώ.
Οὐ γὰρ ὅγ' ἀθανάτων τιν' ἔελπε, δὴν κὴ θυμόν
Ἐλθόντ' ἢ Τρώεσιν ἀρηγέμεν ἢ Δαναοῖσιν.
Οὐδ' ἀλαοσκοπιὴν ἔσχε κρείων Ενοσίχθων.

Κὰι γὰρ ὁ θαυμάζων ἧστο, πόλεμόν τε μάχην τε,
Ὑψοῦ ἐπ' ἀκροτάτης κορυφῆς Σάμου ὑλήεσσης.
Θρηϊκίης, ἔνθα γὰρ ἐφαίνετο πᾶσα μὲν Ἰδη.
Φαίνετο δὲ Πριάμοιο πόλις καὶ νῆες Αχαιῶν.
Ἔνθ' ἄρ' ὅγ' ἐξ ἁλὸς ἔζετ' ἰὼν, ἐλέαιρε δ' Αχαιοὺς
Τρωσὶν δ' ἀμυναμόνησε, Διὶ δὲ κρατερῶς ὠνέμεσσα.
Αὐτίκα δ' ἐξ ὄρεος κατεβήσατο παιπαλόεντος,
Κραιπνὰ ποσὶ προβιβάς, τρέμε δ' ὄρεα μακρὰ καὶ ὕλη,
Ποσσὶν ὑπ' ἀθανάτοισι Ποσειδάωνος ἰόντος.
Τρεῖς μὲν ὀρέξατ' ἰὼν, τὸ δὲ τέτρατον, ἵκετο τέκμωρ
Αἰγὰς, ὄθι οἱ κλυτὰ δώματα βένθεσι λίμνης
Χρύσεα μαρμαίροντα τετεύχατο ἄφθιτα αἰεί.
Ἔνθ' ἐλθὼν, ὑπὸ ὄχεσφι τιτύσκετο χαλκοπόδ' ἵππω
Ὠκυπέτα, χρυσέῃσιν ἐθείρῃσιν κομόωντε.
Χρυσόνδ' αὖτος ἔδυνε περὶ χροΐ, γλύπτο δ' ἰμάσθλην
Χρυσείη εὔτυκτον, ἐὸν δ' ἐπιβήσατο δίφρον.
Βῆ δ' ἐλάαν ὕδατι κύματ', ἄταλλε δὲ κήτε' ὑπ' αὐτοῦ
Πάντοθεν ἐκ κευθμῶν, ὄσσ' ἠγνοίησεν ἄνακτα.
Γηθοσύνη δὲ θάλασσα διΐστατο. τοῖοι δ' ἐπέτοντο
Ῥίμφα μάλ', οὐδ' ὑπένερθε διαίνετο χάλκεος ἄξων.
Τόν δ' ὧς Αχαιοὶ νῆας εὐσκαρθμοι φέρον ἵπποι.
Ἔστι δέ τις σπέος εὐρὺ βαθείης βώθεσι λίμνης.
Μεσσηγὺς Τενέδοιο καὶ Ιμβρου παιπαλόεσσης.
Ἔνθ' ἵππους ἔσυσε Ποσειδάων ἐνοσίχθων,
Λύσας ὀχέων, πρὰ δ' ἀμβρόσιον βάλεν ἔδμεν
Ἐλμῶνας, ἀμφὶ δὲ ποσσὶ τοῦδας ἔβαλε χρυσείας
Ἀῤῥήκτους, ἀλύτους, ὄφρ' ἔμπεδον αὖθι μένοιεν
Νοσήσαντα ἄνακτα, ὅδ' ἦν ὁ σφετέρου ἵκετ' Αχαιΐδος.
Τρῶες δὲ φλογὶ ἶσοι ἀολλέες ἠὲ θύελλαι.
Εκτορι Πριαμίδῃ ἄμοτον μεμαῶτες ἕποντο.
Ἄερσαι, αὐϊάχοι, ἔλπονθ' δὲ ἕξειν Αχαιῶν
Αἰρήσειν, κτώειν δὲ πὸ αὐτόφι πάντας Αχαιούς.
Ἀλλὰ Ποσειδάων γαιήοχ θ Εννοσίγαι θ,

Αργείοις

Ἀργείοις ὦτρυνε βαθείης δῖ᾽ ἁλὸς ἐλθών·
Εἰσάμιν᾽ Κάλχαντι, δίεμας κοὶ ἀτειρέα φωνήν·
Αἴαντε πρώτω πεσέφη μεμαῶτε καὶ αὐτώ·
Αἴαντε σφὼ μέν κε Ζαώσετε λαὸν Ἀχαιῶν·
Ἀλκὴν μνησαμένω μὴ δὲ κρυερὸν φόβον ἶσον·
Ἄλλη μὲν γὰρ ἔγωγ᾽ ὀΐδ᾽ εἰσέα χεῖρας ἀάπτους
Τρώων, οἳ μέγα τεῖχος ὑπερκατέβησαν ὁμίλῳ.
Ἐξόχως γὰρ ἅπαντας ἐϋκνήμιδες Ἀχαιοί·
Τῇ δέ κε δὴ καὶ νόστον ἀμείνονα μήτι πάθωμεν·
Ἦ ῥ᾽ ὅγ᾽ ὁ λυσσώδης φλογὶ εἶκελος ἡγεμονεύων
Ἕκτωρ, ὃς Διὸς σύχετ᾽ ἐειδόμενος πάϊς εἶναι.
Σφῶϊν δ᾽ ὥδε θεῶν τις ἐνὶ φρεσὶ ποιήσειεν,
Αὐτώ θ᾽ ἑστάμεναι κρατερῶς, καὶ ἀνωγέμεν ἄλλους·
Τῷ κε καὶ ἐσσύμενόν περ ἐρωήσαιτ᾽ ἀπὸ νηῶν
Ὠκυπόρων, εἰ καί μιν Ὀλύμπιος αὐτὸς ἐγείρει.
Ἦ, καὶ σκηπανίῳ Γαϊήοχος Ἐννοσίγαιος
Ἀμφοτέρω κενεῶπας πλῆξεν μένε κρατεροῖο.
Γοῦνα δ᾽ ἔθηκεν ἐλαφρά, πόδας καὶ χεῖρας ὕπερθεν.
Αὐτὸς δ᾽ ὣς τ᾽ ἴρηξ ὠκύπτερος ὧρτο πετέσθαι
Ὅς ῥά τ᾽ ἀπ᾽ αὐγίλιπος πέτρης πολυμήκεϊ ἀρθεὶς
Ὀρμήσει πεδίοιο διώκειν ὄρνεον ἄλλο.
Ὣς ἀρ᾽ ἔβη νέκιπε Ποσειδάων Ἐνοσίχθων.
Τοῖϊν δ᾽ ἔγνω πρόσθεν Οἰλῆος ταχὺς Αἴας.
Αἶψα δ᾽ ἄρ᾽ Αἴαντα πεσέφη Τελαμώνιον υἱόν.
Αἶαν, ἐπεί τις νῶϊ θεὸν οἳ ὄλυμπον ἔχουσι
Μάντιν εἰδόμενος κέλεται πᾶσ᾽ νηυσὶ μάχεσθαι,
Οὐδ᾽ ὅγε Κάλχας ὀϊστὶ θεοπρόπος, οἰωνιστὴς
Ἴχνια γὰρ μετόπισθε ποδῶν ἄδε ἴγνυμάων
Ῥεῖ᾽ ἔγνων ἀπίοντος, ἀείγνωτοι δὲ θεοί περ.
Καί δ᾽ ἐμοὶ αὐτῷ θυμὸς ὑπὲκ στήθεσφι φίλοισι
Μᾶλλον ἐφορμᾶται πολεμίζειν ἠδὲ μάχεσθαι.
Μαιμώωσι δ᾽ ὑῶϊν ἔρθε πόδες, καὶ χεῖρες ὕπερθεν.
Τὸν δ᾽ ἀπαμειβόμενος προσέφη Τελαμώνιος Αἴας
Οὕτω νῦν καὶ ἐμοὶ πόδε δ᾽ ὀρέγεται χεῖρες ἄκοντος
Μαιμῶσιν, καί μοι μένος ὤρορε· νέρθε δὲ ποσσὶν
Ἐσσυμαι ἀμφοτέροισι, μένοινάω δὲ καὶ οἷος,
Ἕκτορι Πριαμίδῃ ἄμοσον μεμαῶτι μάχεσθαι.
Ὣς οἱ μὲν πιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
Χάρμη γηθοσύνοι, τήν σφιν θεὸς ἐμβαλε θυμῷ.
Τόφρα δὲ τοὺς ὄπιθεν Γαϊήοχος ὦρσεν Ἀχαιούς
Οἳ πρὸ νηυσὶ θοῇσιν αὐὲν ψυχρὸν φίλον ἦτορ.
Τῶν ῥ᾽ ἅμα τ᾽ ἀργαλέῳ κάματῳ φίλα γοῦνα λέλυντο.
Καί σφιν ἄχος ἤλυθε θυμὸν ἐγείνετο δὲ ἐρεμνὰ ἰόντες
Τρῶας, τοὶ μέγα τεῖχος ὑπερκατέβησαν ὁμίλῳ.
Τοὺς οἳ γ᾽ εἰδόμενοι, τοὶ ὀφρύσι πλάκυα λεῖβον.

Οὐδὲ γὰρ ἔφαν φεύξεσθαί τ᾽ ἐκ κακὸν, ἀλλ᾽ ἐνοσίχθων
Ῥεῖα μετεισάμενος κρατερὰς ὦτρυνε φάλαγγας.
Τοὔνεκεν ὦν πρῶτον κοὶ Λήϊτον ἦλθε κελεύων.
Γηνέλεών θ᾽ ἥρωα, Θοαντά τε, Δηϊπύρον τε,
Μηρίονά τε καὶ Ἀντίλοχον μήστωρας ἀϋτῆς,
Τοὺς, οὗ ἐποτρύνων· ἔπεα πτερόεντα προσηύδα·
Αἰδὼς Ἀργεῖοι κοῦροι νέοι, ὔμμιν ἔγωγε
Μαρναμένοισι, τὸ πρὶν θαρσαλέως ἀνέμενον
Εἰδ᾽ ὑμεῖς πολέμοιο μεθίστε λυγαλέοιο,
Νῶϊ δὴ εἴσεται ἦμαρ ὑπὸ Τρώεσσι δαμῆναι.
Ὤ πόποι, ἦ μέγα θαῦμα τό δ᾽ ὀφθαλμοῖσιν ὁρῶμαι·
Δεινόν. ὃ δ᾽ ὄποτ᾽ ἔγωγε τελοῦντήσειν ἐφάσκον,
Τρῶας ἐφ᾽ ἡμετέρας ἰέναι νέας, οἵ τε πάρος περ
Φυζακινῆς ἐλάφοισιν ἐοίκεσαν, ἅς τε παῦ ὕλην
Θώωσ, ἠδὲ λίοντε, λύκων τ᾽ ἴρηκάς τε τελεντάς,
Αὕτως ἀλάσκεσκον ἀνάλκιδες δὴ ὧδε χάρμης,
Ὣς Τρῶες πάρος γε μενοινὸς καὶ χεῖρας Ἀχαιῶν.
Μίμνειν δὲ ἐβέλεσκον ὀνάντιον δὴ ἅμαιον.
Νῶϊ δ᾽ ἐκάθεν πόλιος, κοίλης ὧδε νηυσὶ μάχοντας
Ἡγεμόνος κακότητι, μεθημοσύνῃσί τε λαῶν.
Οἵ κείνῳ ἐρίσαντες ἀμωμήτῳ δὲ ἐβέλεσσι
Νηῶν ὠκυπόρων, ἀλλὰ κτείνοντας αὖ αὐτούς.
Ἀλλ᾽ εἰδὴ καὶ πάμπαν ἐτήτυμον ἄσπετος ὄδυν
Ἥρως Ἀτρεΐδης, εὐρυκρείων Ἀγαμέμνων,
Οὕνεκ᾽ ἀπητίμησε ποδώκεα Πηλείωνα,
Ἡμέας γ᾽ ἔπτοσ᾽ ὅτι μεθιέμεναι πολεμοῖο,
Ἀλλ᾽ ἀκεώμεθα θᾶσσον, ἀκεσταί τοι φρένες ἐσθλῶν·
Ὑμεῖς δ᾽ ἀκέπη καλὰ μεθίετε θούριδος ἀλκῆς,
Πάντες ἀρίστοι ἐόντες ἀνὰ στρατὸν, οὐδέ σε αὖ ἔγωγε
Ἀνδρὶ μαχεσσαίμην, ὅς τις πολέμοιο μεθίει
Λυγρὸς ἐών. ὑμῖν δὲ νεμεσσῶμαι πόδι κῆρι.
Ὦ πέπονες, τάχα δή τι κακὸν ποιήσετε μεῖζον,
Τῇ δὲ μεθημοσύνῃ, ἀλλ᾽ ὦ φρεσὶ θέσθε ἕκαστος
Αἰδὼ καὶ νεμεσσιν, δή γὰρ μέγα νεῖκος ὄρωρεν.
Ἕκτωρ δὴ πὰξ νηυσὶ βολὴ ἀγαθὸς, πολεμίζει
Καρτερός. ἐρρήξε δὲ πύλας καὶ μακρὸν ὀχῆα.
Ὣς ῥὰ κελευτιόων, Γαϊήοχος ὦρσεν Ἀχαιούς.
Ἀμφὶ δ᾽ ἄρ᾽ Αἴαντας ἅλιος ἴσαντο φάλαγγες
Καρτεραί. ἅς ὅτ᾽ ἄν κεν Ἄρης ὀνόσαιτο μετελθών,
Οὐδέ κ᾽ Ἀθηναίη λαοσσόος. οἵ γὰρ ἄριστοι
Κριθώτες, Τρῶάς τε καὶ Ἕκτορα δῖον ἐμίμνον,
Φράξαντες δούρεσσι θύρας, σάκος σάκεϊ προθελύμνῳ.
Αἰὼς ἄρ᾽ ἀσπὶς δ᾽ ὀρθὴ ἔλε, κῶρις κώρῃ, ἀνέρα δ᾽ ἀνήρ.
Ψαῦον δ᾽ ἱππόκομοι κόρυθες, λαμπρῇσι φάλοισι
Νεύοντων. ὡς πυκνοὶ ἐφέστασαν ἀλλήλοισιν,

Ἔγχεα δ᾽

λάσειν. λαοσσόος.] φοβερὸς, φόβον ἄλλην.] ἀλλαχῇ. ἄλλοτ᾽ ἄλλο μέρος. ὑπορνατέθησαν.] ὑπορύθησαν. ἔξουσιν.] ἐφίξουσι, πολύσουσιν. ἦ ῥ᾽ ὅγε.] καθ᾽ ὁ μέρος ἔστ. ὁ λυσσώδης.] ὁ μεμηνώς. ὄρωόσατ᾽ ἀπὸ νηῶν.] ἀποστρέψοιτε καὶ ἀπελάσοιτε τῶν νηῶν. σκηπανίῳ.] σκήπτρῳ ἀπὸ τ᾽ σκηρίπτεσθαι. ὃ ἐστιν ἐπορθρίζεσθαι. νεκροῖσ.] ἴστρακες. ἐρηξ.] ἴρηκας. αἰγίλιπος.] ὑψηλῆς. πολυμήκεος.] λίαν μεγάλης ὑπερ μεγέθος. ἀρθεὶς.] ἐπαρθεὶς, ἀποπτάς. ποιλίοιο.] διὰ τ᾽ ποιλίς. ὄρνεον ἄλλο.] αὐτὶ τ᾽ ἀλλόφυλον. τοῖϊνδε.] τότων ὧν. Οἰλῆος ταχὺς Αἴας.] Αἴας Λοκρὸς ἦν υἱὸν τὸ γένος ἀπὸ πόλεως Ὀπόντος. πατρὸς δ᾽ Οἰλέως. ὅστις μετὰ τῶν περὶ Ἰλίου πόρευσιν, αἰτίως τοῖς Ἕλλησιν ἀπελέσας ἐγένετο. Κασσάνδραν γὰρ τὴν Πριάμου, ἱκέτην ὄσαν Ἀθηνᾶς, ἐν τῷ περὶ θεᾶς σκηῷ κατὰ σχυνόμενος τε τὴν θεὰν τὸς ὀφθαλμὸς τ᾽ ξοάνου ἐς τὴν ὀροφὴν βλέψαι. τοῖς δ᾽ Ἕλλησιν ὑποτρέφουσι καὶ κατὰ τὴν Εὔβοιαν γεγομένοις, χειμῶνας διάγειρε μεγάλους. ὥς τε πολλὸς αὐτῶν διαφθαρῆναι. διανεξάμενος δὲ Αἴας ἐς τὰς Γυράδας καλουμένας πέτρας, ἔλεγε χωρὶς θεῶν γνώμης διασωθῆναι. Ποσειδῶν δ᾽ ἀγανακτήσας, λίσχισε τὴν πέτραν. καὶ τ᾽ Αἴαντα τῷ Κυλλήνῃ παρέδωκεν. ἐκφερέντα δ᾽ αὖτ᾽ καταπλῆξαι νεκρὸν, ὅτις ἐλεήσασα, θάπτῃ. Ἀθηνᾶ δ᾽ ὃ δ᾽ ὅτως δὴ ὀργῆς ἐπαύσατο, ἀλλὰ κὴ τὸς Λοκροὺς ἠνάγκασεν, ὡδὶ χίλια ἔτη εἰς Ἴλιον ἐκ πλήρη παρθένους πέμπειν. ἡ ἱστορία παρὰ Καλλιμάχῳ ἐν Αἰτίοις. κὴ παρ᾽ αὐτῷ τῷ Πεντηκοντ. ἐν. δ. Ὀϊλιαδάας παχυμόρῳ. οἰωνιστής.] οἰωνοσκόπος. πῶς δὲ φησιν ὁ Ποσειδῶν ἐκλαθέσθαι τ᾽ Αἴαντα. καὶ ῥητέον ὅτι φαντασίαν παρέχει τὸ θεὸν ἐκόντ. ἴχνια.] ἴχνη, πατήματα. ἀρίγνωτοι.] σὺδιάγνωστοι. μαιμώωσι.] μετὰ προθυμίας ὁρμῶσιν. ὦρορε.] ὥρμηται, ὑπερβέβασμὸς χρόνου. ἔασυμαι.] ὥρμηνα, ἐσπάσθαι. χαρμη γηθόσυνοι.] χαίροντες τῇ ψυχῇ. ἐφ᾽ ὅτι ἁπλοῦ ἡ λέξις καὶ τὴν μάχην. αὐὲν ψυχρὸν.] αὐὲν κτῶντο, αὐὲν παυόμενον. λάκηρα λεῖβον.] ἐκέναζον, ἐδάκρυον. ὑπ᾽ ὀφρύσι λάκηρα λεῖβον.] οἱ γὰρ ὀφθαλμοὶ παθ᾽ Ὁμηρον ὑπὸ τὰς ὀφρύσι. ποίμισόν μοι Ζηνὸς, ὑπ᾽ ὀφρύσιν ἕστε φασινώ διὰ τ᾽ τότων,

τότων, ἐλάκηρύσαν. ἕτροι τ᾽ ὑπέσαν. λειπόθοος ἔπλιμον. μετεισάμενος.] πρὸς αὐτὸς ἀφικόμενον. μετιτλῶν, ἢ μεταβλητέος. αἰλίος.] αἰολόδυτε. ἄμμας.] ὑμετέρας. λευγαλέοιο.] ὀλεθρίς. νῦν δὴ ἦμαρ ὑπὸ Τρώων ἁλώσεσι ἁλμῶσαι.] νῦν αὐτοφανῶς ἡ ἡμέρα ἐν ᾗ ὑπὸ τ᾽ Τρώων αἱρεθήσεσθε. ἔδεται.] φάνητ᾽. ἔφασκεν.] ὑπελάμβανον, ἔλεγον. φυζακινῆς.] φευκτικῆς, δειλαίς. θώων.] ταωθηρίων. δὲ ἐὼς ζῶον ἄλκιμον καὶ σύνιντον. ἐνίοτε δὲ παραπλήσιον ὑάνῃ. παρδαλίσκω.] παρδαλέων. ὕϊα.] βρώματα. κυρίως δὲ τὰ ἐν τῇ ὁδῷ ἐπιτήδεια ἐφόδια. λύκων τ᾽ ὕϊα τελεντᾷ.] βρώματα, ἃ τὰ ἐν οἴκῳ ἢ ἐδιόμβια, ἀλλὰ τὰ ἐν ὁδῷ. λοιπὸν φίλοι ὕϊα φερώμεθα Ξιμωνίδης φησί· καὶ τὰ ἄχυρα ἢ ὕϊα, λέγεται. ὡς τὰ, ὡς δ᾽ αὔεμος ῥαῖς ὑὸν θυμῷ να τινάξῃ. τάχα ἢ τὰ φερόμενα παρὰ τὸ ἵενται. γεννηθέντες γὰρ αὐέμοι, δῆθεν πάντοσε φέρονται. ὑλάσκεσκον.] ἐκπλέονσαι, πλανώμεναι. ὃν ἐβέλεσκον.] ὃν ἠθέλοντο. ἐκάθεν.] πόρρωθεν.

κακότητι.] καπείᾳ. δειλίᾳ. μεθημοσύνῃσι.] τάῖς ἀμελείαις. ἀλλ᾽ ἀκεώμεθα θᾶσσον.] ἀλλ᾽ ἰασώμεθα διὰ τάχος τὸ γιγνόμενον ἁμάρτημα. ἀκεσταί.] σὺθεράπευτοι, σύϊατοι. ὁ ἢ λόγος, αἱ τ᾽ ἀγαθῶν φρένες. ῥᾳδίως πρὸς τὸ πρᾶττον μετατίθηται σύθεράπευτοι ἔσαι, ἢ θεραπευτικαὶ ἐσιν. ἐ καλὰ.] ἐ πρὸς λῶς. λυγρός.] χαλεπός, ἄδολος.

νεμέσσωμαι.] μέμφομαι. ποδὶ κῆρι.] ἐκ ψυχῆς. κελευτιόων.] παρακελευόμενος, ὡς ἀρρομῶν. Γαϊήοχος.] ἅτοι ὁ ὧδε γῆς ἐχόμενος, ἢ ὁ χάρμα τοῖς ἁμασιν. ἵππιος γὰρ ὁ θεός. ἢ ὁ συνέχων καὶ βασάζων τὴν γῆν. φασὶ γὰρ αὐτὴν ὑπὸ ὕδατος ἐστηρίχθαι. ἐννοσίγαιος ἢ ὁ κινῶν τὴν γῆν. τῇ δ᾽ ὕδατος γὰρ παρὰ χρόνον τινὰ μετασάσει γίγνεται ὁ σεισμός. ἐνόσαιτο.] μέμψαιτο. λαοσσόος.] ἢ τὸς λαὸς σσύσας τοῦτ᾽ εἰς φυγὴν ἄγουσα, ἢ σώζουσα. ἀρθέντες.] διαταχθέντες. προθελύμνῳ.] ἐπάλληλοι, πυκνοί. Ἀνδρόμαχος δὲ ἐν ἐτυμολογικοῖς φησι πυρίως λέγεσθαι τὰ ἐπαλλήλως πλάσεις ἔχοντα δένδρα διὰ τὸ ἐλυμανεῖν.

ψαῦον.] ἥρμα, ἥπτοντο.

ἐπτύσαντο.]

Ἔγχεα δ' ἐπήυσοντο θρασειάων ἀπὸ χειρῶν
Σειομεν', οἷσι' ἰθὺς φρόνεον, μέμασαν δὲ μάχεσθαι,
Τρῶες ἠ πρόσθυναν ἀολλέες, ἦρχε δ' ἄρ' Ἕκτωρ,
Ἀντικρὺ μεμαὼς ὁλοοίτροχος ὣς ἀπὸ πέτρης.
Οὐ τε κῆ] σεφάνης ποταμὸς χειμάρροος ὄσσα
Ῥήξας ἀπείτω ὄμβρῳ ἀναιδέϊ· ἔγματα πέτρης
Ὑψιτ' ἀναθρώσκων πέτεται, κτυπέει δέ θ' ὑπ' αὐτῷ
Ὕλη, ὅδ' ἀσφαλέως θέει, ἔμπεδον ὄφρ' ἂν ἵκηται
Ἰσόπεδον, τόθι δ' ὅτι κυλίνδεται ἐσσύμενός περ,
Ὡς Ἕκτωρ εἴως μὲν ἀπείλει μέχρι θαλάσσης
Ῥεῖα δ' ἐλεύσεσθαι κλισίας καὶ νῆας Ἀχαιῶν
Κτείνων· ἀλλ' ὅτε δὴ πιτνῆς γένεκυρσε φάλαγξι
Στῆ ῥὰ μάλ' ἐγχριμφθείς, οἷσι' αὖτοὶ υἷες Ἀχαιῶν,
Νύσσοντες ξίφεσίν τε καὶ ἐγχέσιν ἀμφιγύοισιν,
Ὧσαν ἀφ' σφείων, ὁ δὲ χασσάμενος ἀνεμείχθη.
Ἤϋσεν δὲ διαπρύσιον Τρώεσι γεγωνώς·
Τρῶες καὶ Λύκιοι, καὶ Δάρδανοι ἀγχιμαχηταί
Παρμένετ'· ὀπὶ δ' ὑρὸν ἐμὲ χήσασθαι Ἀχαιοί.
Κωὶ μάλα πυργηδὸν σφέας αὐτοὺς ἀρτύναντες.
Ἀλλ' οἵω χάσονται ὑπ' ἔγχεϊ, εἰ ἐτεόν με,
Ὧρσε θεῶν ὄριστος ἐρίγδουπος πόσις Ἥρης.
Ὡς ἐπών. ὦτρυνε μὲν καὶ θυμὸν ἑκάστου.
Δηΐφοβος δ' ἦν σὺν τοῖσι μέγα φρονέων ἐβεβήκει
Γειαμίδης, πρόδυ δ' ἔχεν ἀσπίδα πάντοσε ἴσην,
Καββα ποσὶ προβιβάς, καὶ ὑπασπίδια προσοδίζων.
Μηρίονης δ' αὖ τοῖο πιτύσκε δουρὶ φαεινῷ.
Καὶ βάλεν δὲ' ἀφάμαρτε κατ' ἀσπίδα πάντοσε ἴσην
Ταυρείην, ἣν δ' ὅτι λίπλασεν ἀλλὰ πολὺ πρὶν
Ἐν καυλῷ ἐάγη δολιχὸν δόρυ. Δηΐφοβος δὲ
Ἀσπίδα ταυρείην σχεθὲ ἀκὴ ἑῷ, λεῖσε δὲ θυμῷ,
Ἔγχος Μηριόναο δ' αἰφρον, αὐτὰρ ὁ γ' Ἥρως
Ἀψ ἑτάρων εἰς ἔθνος ἐχάζετο, χώσατο δ' ἀνδρὶ
Ἀμφότερον, νίκης τε καὶ ἔγχεος ὁ ξεινάξε.
Βῆ δ' ἰέναι πρὸς τε κλισίας καὶ νῆας Ἀχαιῶν
Οἰσόμενον δορυ μακρόν, ὅ οἱ κλισίηφι λέλειπτο.
Οἶδ' ἄλλοι μάρναντο, βοὴ δ' ἄσβεστος ὀρώρει.
Τυδέος δὲ πρόσθος Τελαμώνιος ἄνδρα κατέκτα
Ἰμβριον αἰχμητὴν πολυίππου Μώνεος υἱόν.
Ναῖε δὲ Πήδασον πρὶν ἐλθεῖν υἷας Ἀχαιῶν,
Κόρην δὲ Περίφαντα νόθην ἔχε Μηδεσικάστην.
Αὐτὰρ ἐπεὶ Δαναῶν νέες ἅλυθον ἀμφιέλισσαι,
Αὖ εἰς Ἴλιον ἦλθε μετὰ Τρῶεσι δὲ Τρώεσσι.
Ναῖε δὲ πὰρ Περάμῳ ὁ δὲ μιν τίφι ἴσα τέκεσσι.
Τὸν ῥ' ὑὸς Τελαμὼν ὑπὸ δουρὶ μακρῷ
Νύξεν δ' ἔπασσον ἐγχος, ὁδ' αὖτ' ἐπεσσυμένη μελίη ὤς.

Ἠτ' ὄρεος

Ἠτ' ὄρεϊ καρυφῇ ἔπαθον πυκάφαινομένοιο
Χαλκῷ τεμνομένη τρέναι χθονὶ φύλλα τελέσσαι,
Ὡς πέσον, ἀμφὶ δὲ οἱ βράχε τεύχεα ποικίλα χαλκῷ.
Τοῦκρος δ' ὥρμήθη μεμαὼς ἀπὸ τεύχεα δῦσαι.
Ἕκτωρ δ' ὁρμηθέντος ἀκὺ νύσσε δορὶ φαεινῷ.
Ἀλλ' ὁ μὲν ἄντα ἰδὼν, ἠλεύατο χάλκεον ἔγχος·
Τυτθὸν δ' ὅδ' ἄμφιμακρὸν Κτεάτου υἱὸν Ἀκτορίωνος,
Νισόμενον πόλεμόν δὲ ἧ] σῇθ' βάλε δι' ἰσχύν,
Δόπησεν δὲ πεσόντα· ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῷ.
Ἕκτωρ δ' ὠρμήθη κόρυθα προτάφοις ἀραρυῖαν·
Κρατὸς ἀφαρπάξαι μεγαλήτορος Ἀμφιμάχοιο.
Αἴας δ' ὁρμηθέντος, ἀκὺ νύσσε δορὶ φαεινῷ
Ἕκτορος, ἀλλ' ὅπλῃ χροὸς εἴατο, πᾶς δ' ἀρ' ἀπ' ἀσπίδος ὀμφαλὸν ὄπαζε.
Ὧσε δ' ἑμὴν σθένει μεγάλῳ, ὁ δὲ χάσατ' ὀπίσσω.
Νεκρὸν ἀμφοτέρων. οἳ δ' ἐξ εἴρυσαν Ἀχαιοί,
Ἀμφίμαχον μὲν ἄρα Στίχιος καὶ δῖος Μενεσθεύς·
Ἀρχοὶ Αθηναίων ὥμισαν μετὰ λαὸν Ἀχαιῶν.
Ἰμβρίονε δὲ δύω Αἴαντε μεμαῶτε θοῦρε] ἀλκῆς,
Ὡς τε σὺν αἶγα λέοντε κυδοιμῷ ὑπὸ ναιεχαρόεντος.
Ἁρπάξαντε φέρετον αὐτὰρ ῥωπήια πυκνά.
Ὑψοῦ ὑπὲρ γαίης μετὰ γαμβυλῆσιν ἔχοντε.
Ὣς ῥὰ τὸν ὑψοῦ ἔχοντε σὺν Αἴαντε κορυστὰ
Τεύχεα συλήτην· κεφαλὴν δ' ἀπὸ λῆς ἀπὸ δ' ἱερῆς
Κόψεν οἰλιάδης κεχολωμένος Ἀμφιμάχοιο.
Ἧκε δὲ μιν σφαιρηδὸν ἐλιξάμενον δι' ὁμίλου.
Ἐκπερὶ δὲ πὸ πάροιθε ποδῶν πέσεν ἠνίπασι,
Καὶ τότε δὴ ποδὶ κῆρι προσεπλάσθη ἑλόωθη,
Υἱωνοῖο πεσόντος ἠνεῦ δηΐοντῆτι.
Βῆ δ' ἰέναι πρὸς τε κλισίας καὶ νῆας Ἀχαιῶν.
Ὄτρυνεν Δαναούς. Τρῶεσι δὲ κῆδος ἔτυχεν,
Ἰδομενεὺς δ' ἀρ' οἱ λαοὶ κλυτὸς ἀντεβόλησεν,
Ἐρχόμενον πρὸ ἑταίρου. ὃ οἱ νέον ἐκ πολέμοιο,
Ἦλθε ἀκὺ ἰγυίην βεβολημένον ὀξέϊ χαλκῷ.
Τὸν μὲν ἑταῖροι ἔπεικαν, ὃ δ' ἰητροῖς ὠδύτειλας,
Ἤϊεν ἐκκλισίης. ἔτι γὰρ πολέμοιο μένοινε
Ἀνπάξων, τὸν δὲ προσέφη κρείων Ἐνοσίχθων,
Εἰσάμενος φθογγὴν Ἀνδραίμονος υἷϊ Θόαντι.
Ὃς πάσης Πλευρῶνι καὶ ἀπείνῃ Καλυδῶνι.
Αἰτωλοῖσιν ἄνασσε, θεὸς δ' ὡς πίετό δ' ἀνδρῶ.
Ἰδομενεῦ Κρητῶν βουληφόρε, πῇ τοι ἀπειλαὶ
Οἴχονται, τὰς, Τρωσὶν ἀπείλεον υἷες Ἀχαιῶν;
Τὸν δ' αὖτ' Ἰδομενεὺς Κρητῶν ἀγὸς ἀντίον ηὔδα.
Ὦ Θόαν. ὅπις ἀνὴρ νῦν γ' ἄπιθ' ὅσσον ἔγωγε
Γινώσκω πάντες γὰρ ἀδιστάμεθα πολεμίζειν.
Οὔτέ πῃ δηΐος ἴσχει ἀκήριος, οὔτέ τις ὄκνῳ

Εἴκων,

λιορυφῇ.] ἐβοχῇ. ἔναθον πυρίφαινομένοιο.] πόρρωθεν, ὁρωμένης, πρὸ τοῦ πίπτειν. τέρενα.] τρυφερὰ, ἁπαλά. ῥαδίως δυναμένα τέρνασθαι· ἔτι γὰρ χλωρά. ἐοικε δὲ ὅσπερ συναλγῶν τῷ ἀλωνίῳ τοιαῦτα ἐρηκίνα. βράχε τεύχεα.] ὠνόμασται πεποιημένως· ἐντεῦθεν δὲ ἀπὸ τῆς ὑγρᾶς ὑλάτων. ἠκὲ τὸ βρέχειν ὠνόμασται· ὃ δὲ λόγος τὰ ὑγρὰ αὐτῆς τεύχεα ἐβραχεν. νισσόμενον.] παραγινόμενον.

ὀρέξατο.] ἐβέβαιωσε. χροὸς ἔσχατο.] διὰ τῆς χρωτὸς διϊέναι. παρχαροδόντων.] ὀξεῖς καὶ ἐπικαμπεῖς ὀδόντας ἔχόντων. ῥωπήια.] οἱ τόποι ἐν οἷς ῥῶπες φύονται· ῥῶπες ἢ πολύφυλλα καὶ ἱμαντώδη φυτὰ ἁρμῶν. ὑψοῦ.] ἐν ὕψει. γαμφηλῆσι.] γόμφοις, σιαγόσι. παρὰ τὸ κεκάμφθαι. κερυσσά.] πορυσσὰ, ὁπλίτη. συλήτην.] ἢ ἁλίσιμον ἔσται· ἢ παρὰ τὸ συλησάτην. σφαρηδόν.] λίπην σφάρας, ἑλιξάμενον. ἐπισταφὸς. ὑμνοῖο.] ἐγύγυς. ἰγυίην.] ἀγκύλην. ἢ τὸ ὑπισθεν τῶν γόνατος. ἐνήναρ.] ἐνάμισαν. μένοινα.] ἐνθυμῆτο. αὐτάων.] μεταλαμβάνειν, ἐφάπτεσθαι. ἐσάμενος.] ὁμοιωθείς.

Πλευρῶνι καὶ Καλυδῶνι.] αὐτὶ τῶν Πλευρῶνος καὶ Καλυδῶνος, οἱ δὲ πόλεις Αἰτωλίας. Αἰτωλοῖσιν ἄνασσεν.] Αἰτωλὸς παῖς Διὸς καὶ Ευρυμίνους. ὃς ἀκούσιον φόνον δράσας, ἔφυγεν ἀπὸ τῶν ἀπ' αὐτοῦ προσαγορευθέντων Αἰτωλίαν, καὶ ἐκεῖ τεκνοῦται Πλευρῶνα. ἀφ' οὗ δὲ ἐν Αἰτωλίᾳ πόλις Πλευρὼν ἐκλήθη· τότε δὲ γίγνονται δύο παῖδες Κόρης καὶ Καλυδών. ἀφ' ὧν ἄλλαι δύο πόλεις ἐν Αἰτωλίᾳ προσηγορεύθησαν. πᾶ τοι ἀπειλαί.] λέληπε τὸ ἐσίν. ἔπειτα ἀπὸ ἄλλης διανοίας οἴχονται τὰς Τρωσὶν ἀπείλεον ὑῖες Ἀχαιῶν. ὅσον ἐγὼ γε γιγνώσκω.] ὅσον ἐγὼ γνωρίζω. ἐπισάμεθα.] δυνάμεθα. ἐμπέρ ἔχομεν. ἴσχει.] ἐπέχει. ἀκήριος.] ἀψυχοποιόν.

ἀκὴ ἑτεῖ.]

αὐδήσεται.] αὐαλέσει. μέλλει.] ἔοικε. μεμνημένος.] ὑπομονητικὸς ἐν τῇ μάχῃ. μελαίνῃρα.] ἐμπάγματα, πάγνια αἱμάσσει γὰρ οἱ πίνες κορεσθέντες τοῖς λεφαίοις ἐμπάλεσιν. λέγει ἢ τὸ παῦ ἐδίσε. σπεύδεσιν.] καυοπαθῶσιν, ἐνεργῶσιν. συμφορτὴ δ' ἀρετὴ τίλει αὐδρῶν ἠδὲ μάλα λυγρῶν.] αὐτὶ τοῦ συμφερτή. τὸ ἢ ὅλον ἠδὲ ἡ ἔ διελῶν ἠδὲ αὐχένα ἠδὲ μάλα λυγρῶν δύναμις ἐς ταυτὸ συνελθοῦσα, ἀρετὴν γίνεται ἢ μία πρόφασις λέπει τοῖς αὐδρείοις. ἔγε ἠδὲ διελοὶ ἀλλήλοις συνιόντες ἐναρίτατα δρῶσι. καὶ μάλα λυγρῶν αὐδρῶν συμφορητὴ γίνεται ἀρετή. πόσῳ μᾶλλον ὅτι ἠδὲ ἀγαθοῖς ἡμεῖς δυνάμεθα μάχεσθαι. νῦν ἢ πάλιν ἀγαθοῖσιν ἐπισάμεθα μάχεσθαι.] ἡμεῖς ἢ ἠδὲ αὐδρείοις δυνάμεθα μάχεσθαι. ἐπισάμεθα γὰρ τὸ δυνάμεθα. ἀμπόνου.] ἴσῃ ἔ πόλεμον. ἐναλίγκιος.] ὅμοιος. ἀγηλίεντος.] λαμπρός. ἀρίζηλοι.] μεγάλως ἐκθηλοι. μετὰ γὰρ δόρυ χάλκεον ἦεν οἰσόμενος.] ἀπὸ γὰρ δόρυ κομίσων. Μηριόνη Μόλος ὠκὺς πόδας ταχὺ φίλταθ' ἑταίρων.] λίαν ἐν ὠκὺς σῆκε ἠδὲ σὺ συγγράφας ὑπέμνησε, ἠδὲ τὸν ἔ ποδῶν ῥώμην ἐμαρτύρησε. ἠδὲ τὸ ὑπόβλαλλον αὖτ' ἐν φιλοσοργίας ἐνεδέξατο. ἦτοι βέβληκαι.] ἢ τετρῶσθαί τι μέρος ἔ σώματος. ἦέτιν ἀγγελίης ἐμ' ἦλυθες.] ἢ πρός τινος ἀγγελίας πρὸς ἐμὲ παραγέγονας. τὸ νὺ γάρ.] ἐκεῖνο γὰρ δὴ. δήεις.] σύρήσεις. ἐνώπια.] οἱ ἐναντίοι κατὰ τὰς ἀσπίδας τέχοι, ἵν' ἢ δέρατα παμφανόωντα δηλονότι. ἢ ἐν τῇ θ᾽ ὅτως. ἅρμα τα δ' ἐκκλίνῃ πρὸς ἐνώπια παμφανόωντα. κταμένων.] ἀναιρεμένων. ἀποάννυμαι.] ἀφαιρᾶμαι. ἐκάς.] μακρὰν, πόρρω. γανόωντες.] λαμπρυνόμενοι, στίλβοντες. κάι τοι ἐμοί.] καὶ ἐμοὶ δή. ἀλλ' ἀ σχεδὸν ἔσται ἐλέσθαι.] ἀλλ' ὅπ ἔστι μοι ἐγγὺς ὥς τε λαβεῖν.

τίσει χρή.

ΟΜΗΡΟΥ

Εἴκω, ἀνδύνετε πόλεμον πανύμ. ἀλλ' ἄπο τῶ
Μέλλει δὴ φίλον αὖθι ὑπὸ μνείῃ Κρονίωνι,
Νωνύμνους ἀρέσθαι ἀχαιούς Αργεῖ φωτάς Αχαιούς
Ἀλλὰ θόαν καὶ γὰρ τοπάρος μνησθήμεν ἄνδρα.
Οτρωιάς δὲ καὶ ἄλλον ὄθι μεθίστανται ἴδηαι,
Τῷ νῦν μήτ' ἀπόλεμον, κελεύετε φωτὶ ἑκάστῳ.
Τὸν δ' ἠμείβετ' ἔπειτα, ποσειδάων γαιοσίχθων.
Ἰδομενεῦ, μὴ κῆνος ἀνὴρ ἔτι νοσφίζοιμεν
Ἐκ Τροίης, ἀλλ' αὖθι κιὼν μέλπηθρα γένοιτο.
Ὅς πὲρ ἔπ' ἤματι τῷδε ἑκὼν μεθίησι μάχεσθαι.
Ἀλλ' ἄγε τεύχεα δύρε λαβὼν ἴθι, ταῦτα δ' ἄμα χρὴ
Σπεύδειν, ἄλκ' ὄφελός τι γένωμεθα καὶ δύ' ἐόντε.
Συμφερτὴ δ' ἀρετὴ τέλεται ἀνδρῶν, καὶ μάλα λυγρῶν,
Νῶϊ δὲ καί κ' ἀγαθοῖσιν ἐπισαίμεθα μάχεσθαι.
Ὡς ἐπὼν, ὁ μὲν αὖτις ἔβη θεὸς ἀμπόνου ἀνδρῶν.
Ἰδομενεὺς δ' ὅτε δὴ κλισίην εὖτυκτον ἵκανε,
Δύσετο τεύχεα καλὰ πόδι χροΐ, γρύσατο δ' ἔγχος,
Βᾶ δ' ἴμεν ἀσπερχὲς φαλίγκιος, ἢν τε Κρονίων,
Χειρὶ λαβὼν ἐτίναξεν ἀπ' ὠγυλίαντος ὀλύμπου.
Δεικνὺς σῆμα βροτοῖσιν, ἀείζηλοι δὲ οἱ αὐγαί.
Ὡς τοῦ χαλκὸς ἔλαμπε πόδι σήθεσι θέοντος.
Μηριόνης δ' ἆρα οἱ θεράπων ἐΰς ἀντεβόλησεν,
Ἐγγὺς ἐπὶ κλισίης, μετὰ γὰρ δόρυ χάλκεον ἦεν
Οἰσόμενος. τὸν δὲ προσέφη δῖος Ἰδομενῆος.
Μηριόνη Μόλος ὠκὺς, ποδώκεες ταχὺ, φίλταθ' ἑταίρων.
Τίπ' ἦλθες πόλεμόν τε λιπὼν καὶ δηϊοτῆτα;
Ἦέτι βέβληαι, βέλεος δέ σε τέρει ἀκωκή.
Ἦέτ' οὐ ἀγγελίης μετ' ἐμὲ ἦλυθες, ἀλλ' ἕ τοι αὐτὸς,
Ἥδε γὲ κλισίηνδε λιλαίομαι, ἀλλὰ μάχεσθαι.
Τὸν δ' αὖ Μηριόνης τεπνυμένος, ἀντίον ηὔδα.
Ἰδομενεῦ Κρητῶν βουληφόρε χαλκοχιτώνων,
Ἔρχομαι εἴπ τοι ἔγχος ἐνὶ κλισίηνδε λέλειπται,
Οἰσόμενος τόνυ γὰρ κατ' ἄξαμενος ὃ πρὶν ἔχεσκον.
Ἀσπὶς ἅ μιφίβροτος βαλὼν ἐπερινορέοντος.
Τὸν δ' αὖτ' Ἰδομενεὺς Κρητῶν ἀγὸς ἀντίον ηὔδα.
Δόρατά δ' ἄλκ' ἐλέλυθα καὶ ἐν καὶ εἴκοσι δήεις,
Ἑστάότ' ἐν κλισίῃ πρὸς ἐνώπια παμφανόωντα
Τρωϊκά, τά, κταμένων ἀραίνυμαι, ἐ γὰρ οἴω
Ἀνδρὸν ἅνυσιμωτέων ἐκὰς ἱστάμενος πολεμίζειν,
Τῷ μοι δόρατα δῖα καὶ ἀσπίδες ὀμφαλόεσσαι,
Κυνέαι τε κόρυθες καὶ θώρηκες λαμπτῆρ γανόωντες.
Τὸν δ' αὖ Μηριόνης τεπνυμένος ἀντίον ηὔδα.
Καί τοι ἐμοὶ παρά τε κλισίῃ καὶ νηῒ μελαίνῃ,
Πολλ' ἐνάρα τρώων, ἀλλ' ὁ χρεὼ ὄσσιν ἐλέσθαι.
Οὐδὲ γὰρ οὐδ' ἐμὲ φημὶ λελασμένον ἔμμεναι ἀλκῆς.

Ἀλλὰ

τί σε χρὴ ταῦτα λέγεσθαι.] οἷον, ἐ χρή σε τῶδε τάτων λέγειν τί. ἐ γὰρ δὴ παρὰ νηυσὶ λεγοίμεθα.] τὸ ἑξῆς ἐ γὰρ νῶϊ παρὰ νηυσὶ λεγοίμεθα εἰς λόχον. ἐ δέκην ἔνθα τὸν μένῳ. τὰ ἢ λοιπὰ λιαμάσσ, πρὸς τὸ, δυσπομόνητον ἔμεναι τοῖς αἰδρειοτάτοις τῶν ἐνόδραν. λεγοίμεθα.] καταριθμοίμεθα. διαέδηται.] διέκνυται. φάνεται. τρέπεται.] μεταβέπτη. μεταβάλλεται. ἄλλυδις ἄλλη.] ἀπ' ἄλλης ἐς ἄλλο κατάστημα. ὄρνυται.] κατέχεται. μετοκλάζει.] μεταναβίζει ἐπ' ἀμφοτέρους πόδας. ὀκλάξ γάρ ἐστι τὸ ὧδε γόνυ. ὅταν ἐγκλίνει τὰ γόνατα διὰ δειλίαν μεταπαβίσῃ. πατάσσῃ.] πτυπᾷ, ἢ πνεύσῃ μέγα μάλα ἀπὸ ἔ πολλὸ φόβῳ. κῆρας ἀμύνῃ.] θανάτου προσδωκῶν τι. πάταγος.] πτύπος. ταρβῇ.] φοβᾶται. ἐπειδὰν πρῶτον ἐνίσηται λόχον ἀνδρῶν.] ἐπ' αὐ ἄπαξ καθεδῇ ἐν τῇ ἐνέδρᾳ ἔ ἀνδρῶν. ἀρῆται ἢ τάχιστα μιγήμεναι ἐν δαὶ λυγρῇ.] σύκνιται ἢ ὁ γενναῖος αὐτὸς τὸν ταχίστην συμβαλεῖν τοῖς πολεμίοις. δαὶ λυγρῇ.] τῇ χαλεπῇ μάχῃ. ἐδίδαεν ἔνθα τόν γε μέν ος καὶ χῆρας ἄνοιτο.] ὁδὶ αὖ ἐντεῦθά τις καταμέμψοιτό σου τὴν Αἰνεσιμίην καὶ τὴν προθυμίαν. βλεῖς.] βλαβές. πονοσύμενος.] ἐνοχλῶν, πολεμῶν. τυπήσ.] ἐκ χειρὸς ῥιφθείς. σφέρωμαι.] φεύγω. νηλεὲς.] θλαγρὸς. αὐτιάσειεν.] ἀπαντήσοι, ἐλθοι. πρόσω ἰέμενος.] ἐμπροσθεν ὁρμῶν τος. μετὰ προμάχων ἀριστεύ.] ἐν τῇ ἔ προταγωνιστῶν ὁμιλίᾳ καὶ συνεναστροφῇ. λεγόμεθα.] διαλεγόμεθα. ὁμιλῶμεν. ὑπερτίοι ὦσι.] ὡς νῦν πτοι, καὶ ἄφρονες. ὑπόφρίαλως.] ὑπερφυῶς, μεγάλως. μέγα πτολέμοιο μεμηλώς.] μεγάλως ἔ πολέμου ἐπιμέλειαν καὶ φροντίδα ποιέμενος. πόλεμόν δε μέτεισιν.] ἐς τὸν πόλεμον παραγίνεται. ἀταρβῆς.] ἄφοβος. ταλάφρονα.] παρτερικὸν ἢ ὑπομονητικὸν φρόνημα ἔχοντα. αὐδρεῖον.

Εφύρης.] ἀδὶ τὸν Εφυράων πάλαι καλεμένης. νυῦ ἢ Κραννωνίδος. ἴσέον ἢ ὅτι Εφύρη εἰσί. δ. μία μὲν ἢ κατὰ Θεσσαλίαν. δευτέρα ἢ ἢ κατὰ τὴν Ηπειρον. τρίτη ἢ ἢ δὲ Ηλιδι, καὶ τετάρτη ἢ νυῦ καλεμένη Κόρινθος. νυῦ δὲ λέγεται ὁ καλεμένης Κραννωνίδος ἐν Θεσσαλίᾳ ὡς Απολλόδωρος ἱστορεῖ. Φλέγυας.] τὸς ἐν Φωκίδι ἀθέσς Γορτυνίδος καλεμένης. οἳ ἐνέπρησαν τὸ Δελφοῖς ναὸν τοῦ Απόλλωνος. ἦε μετὰ Φλέγυας μιγαλήτορας.] Φλέγυδε Γόρτυναν κατοικήσαντες, παρανομώτατον καὶ ὑπερηφάνου δήμου ἔργον, βίᾳ καὶ κατατρίχοντες τὸς περιοίκους, χαλεπῶς ἠνέσχοντο. Θηβαῖοι ἢ πλησιόχωροι ὄντες, ἐδηλήσαντο καὶ μάχῃ ἐνίκησαν. δὴ μὴ Αμφίων καὶ Ζῆθος οἱ Διὸς καὶ Αντιόπης ἐτείχισαν τὰς Θήβας. ἔχει γὰρ Αμφίων λόγον παρὰ μέσῳ αὐτῷ δηλομένην. δὶ ἣς κατέβεγε καὶ τὸς λίθους, ὥς τε καὶ πρὸς τὸν τειχοδομίαν αὐτομάτως ἐπιτηδείως. τοῦτον μὲν ἓν ἔκ φασιν οἱ Φλέγυες τὸς Θηβαίους ἠδίκησθαι διαβάντα καὶ κακὸν θανόντων ἢ αὐτῶν ἐπελθόντα σὺν Εὐρυμάχῳ τῷ Βασιλείδου, τὰς Θήβας ἔλων. πλέονα δὲ τολμῶντες ἀδικήματα, κατὰ Διὸς προαίρεσιν, ὑπὸ Απόλλωνος διεφθάρησαν, ὡς ἱστορεῖ Φερεκύδης.

Ἀλλὰ μετὰ πρώτοισι μάχῃσιν ἀνὰ κυδιάνειραν
Ἴσαμαι. ὁππότε νεῖκος ὀρώρηται πολεμοιο.
Ἄλλου πὸ τινὰ μᾶλλον Αχαιῶν χαλκοχιτώνων,
Λήθω μαρναμένους, σὲ δὲ ἰδμῆναι αὐτὸν ἔοικα.
Τὸν δ' αὖτ' Ἰδομενῆς Κρητῶν ἀγὸς ὠτρύνοντα,
Οἶδ' ἀρετὴν οἷός ἐσσι, τίσε χρὴ ταῦτα λέγεσθαι.
Εἰ γὰρ νῶϊ πάρ' ἀγυιὰ λεγοίμεθα πώντες ἄριστοι
Ἐς λόχον. ἔνθα μάλιστ' ἀρετὴ διαείδεται ἀνδρῶν,
Ἐνθ' ὅ, τε δειλὸς ἀνὴρ, ὅς τ' ἄλκιμος ἀξεφαάνθη.
Τῷ μὲν γάρ τε καπᾶ τρέπεται χρὼς ἄλλυδις ἄλλη
Οὐδέ οἱ ἀτρέμας ἥδε ἐρητύει θυμὸς,
Ἀλλὰ μετοκλάζει, καὶ ἐπ' ἀμφοτέρους πόδας ἵζει.
Ἐν δὲ τέ οἱ κραδίη μεγάλα στερνοισι πατάσσει
Κῆρας ὀιομένῳ. πάταγος δέ τε γίνετ' ὀδόντων,
Τῷ δ' ἀγαθὸ, ὅτ' ἄρ' τρέπεται, χρὼς, ὅτέ τε λίην
Ταρβεῖ. ἐπειδὰν πρῶτον ἐσίζηται λόχον ἀνδρῶν
Ἄρηται δὲ τάχιστα μιγήμεναι ὡς δαὶ λυγρῇ.
Οὐδέ κεν ὤϊδα τεόν γε μένος καὶ χεῖρας ὀνοιτο,
Εἰπόρ τ' ἄρ κε βλεῖο πονευμένῳ. πετυπέσης,
Οὐκ ἂν ὦ ἀμαχῶ ὄπιθε πεδοι βέλος ἀλλ' ὦ νώτῳ,
Ἀλλὰ κῆν ἢ στέρνῳ, ἢ νηδύϊ ἀντιάσειε,
Γρόσσω ἰεμένοιο μετὰ προμάχῳσι δαείσιν.
Ἀλλ' ἄγε μηκέτι ταῦτα λεγώμεθα νηπύτιοι ὡς
Εσκότες, μήπ τις ὑπὲρ φλιὰς νεμεσήσῃ.
Ἀλλὰ σύ γε κλισίηνδε κιὼν ἕλσο ὄβριμον ἔγχος.
Ὡς φάτο, Μηριόνης δὲ θοῷ ἀτάλαντος Αρηϊ,
Καρπαλίμως κλισίηθεν ἀνείλετο χάλκεον ἔγχος,
Βᾶ δὲ μετ' Ἰδομῆνα μέγα πτολέμοιο μεμηλώς.
Οἷός δὲ βροτολοιγὸς Αρης πόλεμόν τε μέτεισι,
Τῷ δέ φοβος ὑΐος ἅμα κρατερὸς καὶ ἀταρβὴς
Ἐπαφος, ὅς τ' ἐφόβησε καὶ ἀφρονα πὸρ πολεμιστήν.
Τὼ μὲν ἄρ' ἐκ Θρήκης Ἐφύρης μεταθωρήσσεσθον,
Ἠὲ μετὰ Φλεγύας μεγαλήτορας. δὴ ἄρα τώγε
Ἐκλυον ἀμφοτέρῳ, ἐτέροισι δὲ κῦδος ἔδωκαν,
Τοῖσι Μηριόνης τε καὶ Ἰδομενεὺς ἀγοὶ ἀνδρῶν,
Ἠισαν δὲ πόλεμον κεκορυθμένοι αἴθοπι χαλκῷ.

Τὸν πρῶ

Τὸν καὶ Μηριόνης πρότερος προσέειπε.
Δυσκαλίδη. πῇ τ' ἄρ μέμονας καταλιῶν ὁμίλου,
Ἠ ὧδ' ἀφειδέως, ἢ ἀνὰ μέσσους,
Ἠ ἐπ' ἀριστερόφιν, ἐπεὶ ὅπωθι ἔλπομαι ὄτω
Δεύεσθαι πολέμοιο καρηκομόωντας Ἀχαιούς.
Τόνδ' αὖτ' Ἰδομενεὺς Κρητῶν ἀγὸς, αὐτίον ἤυδα.
Νηυσὶ μὲν φ' μέσσῃσιν ἀμύνειν εἰσὶ καὶ ἄλλοι,
Αἴαντές τε δύω, Τεῦκρός θ' ὃς ἄριστος Ἀχαιῶν
Τοξοσύνῃ, ἠγαθός δὲ καὶ ἐν στάδίῃ ὑσμίνῃ.
Οἵ μιν ἄδην ἔλόωσι καὶ ἐσύμενον πολέμοιο,
Ἕκτορα Πριαμίδην, καὶ εἰ μάλα ἠέρτορός ἐστιν,
Αἶψά οἱ ἐσσεῖται μάλα περ μεμαῶτι μάχεσθαι
Κείνων νικήσαντι μένος καὶ χεῖρας ἀάπτους,
Νῆας φ' ἐμπρῆσαι, ὅτε μὴ αὐτός γε Κρονίων,
Ἐμβάλοι ἀιθόμενον δ' ἀλόλυ νήεσσι θοῇσιν.
Ἀνδρὶ δέ κ' ὄκνιμον εἴξειε μέγας Τελαμώνιος Αἴας,
Ὃς θνητός τ' εἴη, καὶ ἔδοι δ' ἀκτήτορος ἀκτήν.
Χαλκῷ τε ῥηκτὸς, μεγάλοισί τε χερμαδίοισιν,
Οὐδ' ἂν Ἀχιλλῆϊ ῥεξήνορι χωρήσειεν.
Ἐν γ' αὐτοσταδίῃ, ποσὶ δ' ὄπῃσι θοῇ ἐείσειν,
Νῶΐν δ' ὧδ' ἐπ' ἀριστερ' ἔχε στρατὸν, ὄφρα τάχιστα
Εἰδόμεν, ἠέτ' εὖχος ὀρέξομεν. ἠὲ τις ἡμῖν.
Ὣς φάτο. Μηριόνης δὲ θοῷ ἀτάλαντος Ἀρηϊ,
Ἦρχ' ἴμεν· ὄφρ' ἀφίκοντο νῆϊ στρατοῦ, ἦμιν ἀνώγει,
Οἵδ' ὡς Ἰδομενῆα ἴδὼν φλογὶ εἴκελον ἀλκὴν.
Αὐτὸν καὶ θεράποντα σὺν ἕντεσι δαιδαλέοισι
Κεκλόμενοι καθ' ὅμιλον, ἐπ' αὐτῷ πάντες ἔβησαν.
Τῶν δ' ὁμὸν ἵστατο νεῖκος, ὃν οὐ πρύμνῃσι νέεσσιν.
Ὡς δ' ὅθ' ὑπὸ λιγέων ἀνέμων σπέρχωσιν ἄελλαι,
Ἦματι ᾧ. ὅτε τε πλείστη κόνις ἀμφὶ κελεύθοις,
Οἵτ' ἄμυδις κονίης μεγάλην ἐσάσιν ὁμίχλην,
Ὡς ἅρα τῶ ὁμόσ' ἦλθε μάχη, μέμασαν δ' ἐνὶ θυμῷ,
Ἀλλήλους καθ' ὅμιλον ἐναίρεμεν ὀξέϊ χαλκῷ.
Ἔφριξεν δὲ μάχη φθισήμβροτος ἐγχείῃσι
Μακρῇσι, ἃς ἔχον ταμεσίχροας, ὄσσε δ' ἄμερδεν,
Αὐγὴ χαλκείη κορύθων ἀκὺ λαμπομένων,
Θωρήκων τε νεοσμήκτων. σακέων τε φαεινῶν.
Ἐρχομένῳν ἄμυδις, μάλα κεν θρασυκάρδιος εἴη.
Ὅς τότε γηθήσειεν ἰδὼν πόνον, ὅδ' ἀκάχοιτο,
Τώδ' ἀμφὶς φρονέοντε δύω Κρόνου υἷε κραταιὼ,
Ἀνδράσιν ἡρώεσσι τετεύχατον ἄλγεα λυγρά.
Ζεὺς μὲν ἅρα Τρώεσσι καὶ Ἕκτορι βάλλε νίκην,
Κυδαίνων Ἀχιλῆα ποδάρκεα ταχύν. ὅδ' ὄγε πάμπαν
Ἤθελε λαὸν ὀλέσσαι Ἀχαϊκὸν ἰλιόθι πρό.
Ἀλλὰ Θέτιν κύδαινε. καὶ υἱέα καρτερόθυμον.
Ἀργείους δὲ Ποσειδάων ὀρόθυνε μετελθὼν,

Λάθρη

Λάθρη ὑπερφιάλοις πολιῆς ἁλὸς. ἦχθετο γὰρ ῥα
Τρωσὶν δ' ἀμυναμένοις, δὴν δὲ κρατερῶς ὠρίνετο.
Ἡμάν, ἀμφοτέροισιν ὁμοῦ γένος ἠδ' ἰὰ πάτρη.
Ἀλλὰ Ζεὺς πρότερος γεγόνει καὶ πλείονα ἴδμη.
Τῶ ῥὰ καὶ ἀμφαδίην μὲν ἀλεξέμεναι ἀλέεινε.
Λάθρη δ' αὖ' ἐγείρει λαὸν στρατοῦ, ἀνδρὶ ἐοικώς.
Τῷ δ' ὁρμὴν κρατερὴν καὶ ὁμοΐϊα πολέμοιο,
Πεῖραρ ἐπαλλάξαντες, ἐπ' ἀμφοτέροισι τάνυσσαν.
Ἀρρηκτόν τ' ἄλυτόν τε, τὸ πολλῶν γόνατ' ἔλυσεν.
Ἔνθα μεσαιπόλιός περ ἐὼν Δαναοῖσι κελεύσας,
Ἰδομενεὺς Τρώεσσιν ἐπάλμενος, ἠΰν φόβον ὦρσε
Πέφνε γὰρ Ὀθρυονῆα Καβησόθεν ὠδὺν ἐόντα.
Ὅς ῥα νέον πολέμοιο μετ' ἰλιὸν ἐληλύθει.
Ἦτει δὲ Πριάμοιο θυγατρῶν εἶδος ἀρίστην.
Καναάν δρυμὸν ἀνάειλον, ὑπέσχετο δὲ μέγα ἔργον
Ἐκ Τροίης ἀέκοντας ἀπώσεμεν υἷας Ἀχαιῶν.
Τῷ δ' ὁ γέρων Πρίαμος ὑπέσχετο, καὶ κατένευσε
Δωσέμεναι, δὲ μάρναθ' ὑποσχεσίῃσι πίθηται
Ἰδομενεὺς δ' αὐτῷ πιτύσκετο δουρὶ φαεινῷ.
Καὶ βάλεν ὑψι βιβάντα τυχών, δὴ δ' ἤρεσε θώρηξ
Χάλκεος, ὅν οἱ φορέεσκε, μέσην δ' ἠγκάζετο πῆξε.
Δόπησε δὲ πεσὼν, δὴ δ' ἐπεύξατο φώνησέν τε.
Ὀθρυονεῦ, πέρι δή σε βροτῶν αἰνίζομ' ἁπάντων.
Εἰ ἐτεὸν δὴ πώντα τελεῖν ὑπέσχεο, ὅσ' ὑπέστης
Δαρδανίδῃ Πριάμῳ, ὅδ' ὑποσχόμενος τελέσαιμεν.
Καί κέ τοι ἡμεῖς ταυτάγ' ὑποσχόμενοι τελέσαιμεν.
Δοίμεν δ' Ἀτρεΐδαο θυγατρῶν εἶδος ἀρίστην,
Ἄξαντ' ἐξ ἀγαθοῦ πατρὸς ὀπυίεμεν, εἵνεκα σεῖο
Ἰλίδ' ἐκπέρσῃς εὐναιόμενον πτολίεθρον.
Ἀλλ' ἕπεο, ὄφρ' ὦδε νηυσὶ σαώσομεν ἀντιπόροισιν
Ἀμφὶ γάμῳ, ἐπεὶ οὔτοι ἐεδνωταὶ κακοὶ ἐσσὶ.
Ὣς ἐπών, ποδὸς εἷλκε κρατερῶς ὑσμίνδε.
Ἥρως Ἰδομενεὺς, θοῷ δ' Ἄσιος ἦλθ' ἀμύντωρ.
Πεζὸς πρόσθ' ἵππων, τὼ δὲ πνείοντε κατ' ὦμον
Αἴσσ' ἐξ ἠνίοχος θεράπων, ὄδε ἴφθιμος θυμῷ.
Ἰδομενῆα βαλεῖν, ὁδ' ἐμὴν φθάμενος βάλε δ' ὄβριν.
Λαιμὸν ὑπὸ ἀυθερεῶνα δι' ἀμφὶ δὲ χαλκὸν ἔλασσεν.
Ἤριπε δ' ὡς ὅτε τις δρῦς ἤριπεν, ἢ ἀχερωὶς.
Ἠὲ πίτυς βλωθρὴ, τήνγ' ὄρεσι τέκτονες ὦδρες
Ξέσται μοι τελέεσσι νέεσσι νήϊον ἔμεν.
Ὡς ὁ πρόσθ' ἵππων καὶ σίφρα κεῖτο τανυσθείς
Βεβρυχὼς κόνιος δ' ἐβεβαμμένος αἱματόεσσης.
Ἐκ δὲ οἱ ἡνίοχος πλῆγη φρένας, ἃς πάρος εἶχεν.
Οὐδ' ὄγε τόλμησεν δηΐων ὑπὸ χεῖρας ἀλύξας
Ἄψ ἵππους τρέψαι, τὸν δ' Ἀντίλοχος μνησιπάλεμος
Δουρὶ μέσσον περόνησε τυχὼν, δὴ δ' ἤρκεσε θώρηξ

Χάλκειος

ἤχθετο.] ἐβαρᾶτο, ἐλυπεῖτο. ἦ μαν.] ὄντως δή, ἀληθῶς δή. ἠδ' ἰα.] τὸ πλῆρες ἠὲ ἴα. ἵνα ᾖ καὶ μόνη. πάτρη.] ἐκ τ' αὐτ' πατρὸς, γένος ἡ πατρίς. ἀμφαδίην.] φανερῶς. τὼ δ' ὄβριμος Ἱππότης ἠδ' ὁμοίϊος πολέμοιο πεῖραρ ἐπαλλάξαντες ἐπ' ἀμφοτέροισι τάνυσαν.] ὁ γὰρ Ζεὺς καὶ ὁ Ποσειδῶν τὰ πράγματα τῆς μάχης καὶ τ' πολεμεῖν τέναντιε κατὰ ἀμφοτέρων τῶν στρατ', ἐβοήσαν ἰσχυρῷ διασμῷ. ὃς διασμὸς πολλοῖς αἰτίος ἀπολέσας ἐγένετο. τέλος γὰρ ἀποτίθεται ἀλληγορικῶς τὰς ἑκατέρωθεν ἰσχὰς ἐπιπεπλεγμένας μίαν μὲν Τρῶων, μίαν δ' Ἑλλήνων κατὰ Ποσειδῶνα καὶ Διὸς γνώμην τῶν ἐν κατεπεπλεγμένων ἀπὸ τ' ἰσχίων, τῶν μὴ δυναμένων μήτε ῥαγῆναι μήτε λυθῆναι αὐτὰ ἐν ἀλληγορᾷ εἰς τὸ ἰσόῤῥοπον αὐτῶν τῇ ἰσχνῇ συγκλίναι διὰ τὰς τ' θεῶν βοηθείας. πεῖραρ.] πείρας, τέλος. ἐπαλλάξαντες.] ἐπὶ πλέξαντες τὰς νῆρας, ἢ οἷον εἰ δήσαντες. ἄλυτον.] αὐτὶ τ' δύσλυτον. μεσαιπόλιος.] ὁ λειόμηνος σπαθοπόλιος ᾧ διεσπασμένα εἰσὶν αἱ τολιαὶ. ὁ μεσήλιξ. ἐν φόβον ὦρσεν.] ἐνέβαλλε φυγήν. Καβησόθεν ὠδὺν ἐόντα.] ἀπὸ Καβησοῦ πόλεως ἐπιφανεστάτης ἐστὶ ἡ πόλις Θράκης. μετὰ λιλ(ο) ἐληλύθει.] ὡδὶ τῶν τ' πολέμων λόξαν πάρεγεγόνει. αὐάσθυσεν.] αὔξει τ' πρὸ γάμων διδομένων λώρων. ὑποσχεσίῃσι πιθήσας.] τοῖς ὑποσχέσεσι πιστεύσας. ὕψι βιβάντα.] ὑψηλὰ διαβάίνοντα. αἰνίζομαι.] ἐπαινῶ. συνθώμεθα.] συνθήκην ποιησώμεθα.

ἀμφὶ γάμῳ.] πρὸ γάμων. ἐεδνωταί.] πρεσβοδόται. ἀμύντωρ.] βοηθός. πνείοντε κατ' ὦμον.] καταπνέοντες αὐτ' τὸ μεταφρενον. ἴσχιο.] πρόσθιον μέρος τ' χαλκὸν ἔλασσε.] διήλασε δι', ὅ ἐστι διεπέρασε τὸν σίδηρον. ἀχερωίς.] ὁ λεύκη. παρὰ τὸ ἀν' τ' Ἀχέροντος ποταμοῦ τ' καταχθονίων νομιζόμενα αὐτῷ ὑπὸ Ἡρακλέους φυλαττόμενα αὐτῇ ἐπὶ τῇ τ' κῆ βίᾳ νίκῃ. βλωθρή.] μακρὰ, παρὰ τὸ βλώσκειν, ὅ ἐστι βαίνειν. δύσξυλος γάρ.

νεήνεσι.] νεωστὶ ὑπονημένοις. βεβρυχὼς.] βρυχώμενος, σπώμενος, συντρίβων τὸς ὀδόντας. ἢ διάκενων, μιμήσεται ἢ τὸ γιγνόμενον πάθος περὶ τὸς βιοθανατοῦντας. ἀώθασι γὰρ τὸς ὀδόντ

τας βρύχειν. ἐν δὲ οἱ ὑνίοχ☉ πλύγη φρένας.] ἐξεπλάγη ἢ ἠρέμησεν ἐγένετο ὁ αὐτ῀ ὑνίοχ☉. σὺν ῥύγ☉.] ἐπιμελῶς διατεινεσαμένης. Ἀσίς ἀχνύμεν☉.] ὑπὲρ Ἀσίδος λελυπημένος.

λινωτῷ.] σὺν ῥιπιδι λινημένῳ ἢ λινοστρόβῳ. ἑάλη.] συνεφάλη. ἰμαρφαλέου.] ξηροῦ. ὄθεν καὶ ὁ καρκὼς ἢ τὸ ἰμάρφ☉. ἐπιτρέξαντ☉.] ἐπιψώσαντ☉, ἢ ἐπιλθόντ☉. ἄτιτος.] ἀτιμώρητος. ὠμοπόν.] συνοδόν.

ἄϋσεν.] ὤχησε. πυλαάτας.] τὰς πύλας ἰσχυρῶς ἐφαρμόζοντ☉.

ὀρεϐφνῇ.] σκοτινῇ. ὤπυεν.] ἐγεγαμήκει. πᾶσαν γὰρ ὁμηλικίην ἐκέκασο.] πασῶν γὰρ τὴν ὁμηλίκην τῷ ἰάλλει λίφορε. θέλξας.] ἀπατήσας, ἀμαυρώσας. ἔτ' ἀλείαδαι.] ἔτε ἐκπλῆναι καὶ φυγεῖν. ὑψιπέτηλον. ἐφ' ὕψος τὰ φύλλα ἔχον. ὕρηϊ.] ἀπῦργον, ἐπώλυσε. αὖον.] ξηρόν, ὀξύ. ἄϋσεν.] ἐβόησεν. ὀρικόμενος.] σχιζόμεν☉, διακοπτόμεν☉ ὁ χετών. λόπησεν.] ἐψόφησεν, ἀπέθανεν ἐκ῀ παρακολεθῶντ☉.

ἔνθα Δ'

Χάλκει☉, ὃν φορέεσκε, μέσῃ δ' ἐνὶ γαστέρι πῆξεν.
Αὐτὰρ ὅ γ' ἀδμαίνων ἐνεγείν☉ ἔκπεσε δίφρου.
Ἵππους δ' Ἀντίλοχ☉ μεγαθύμ☉ Νέστορ☉ υἱός
Ἐξέλασε Τρώων μετ' ἐϋκνήμιδας Ἀχαιούς.
Δηϊφόϐ☉ δὲ μάλα σχεδόν, ἦλυθεν Ἰδομενῆ☉
Ἀσίου ἀχνύμεν☉, καὶ ἀπόνητο δ' ὀρέϊ φαεινῷ.
Ἀλλ' ὁ μὲν ἄντα ἰδὼν, ἅλευτο χάλκεον ἔγχ☉
Ἰδομενεύς, κεφαλῇ γὰρ ὑπὸ ἀσπίδι πάντοσε ἴσῃ
Τλῶ, ἄρ' ὅγ' ἐν ῥινοῖσι βοὸς καὶ νώροπι χαλκῷ.
Διωνοτλὼ φορέεσκε, διὰ κανόνος ἀραρυῖα.
Τῇ ὕπο πᾶς ἑάλη, τόδ' ὑπερπάτατο χάλκεον ἔγχ☉.
Καρφαλέον δὲ οἱ ἄπαις ὠθήθεξαν τὸ ἄϋσεν
Ἔγχε☉ δὲ ἅλιον ῥα βαρείης χειρὸς ἀφῆκεν.
Ἀλλ' ἔβαλ' Ἱππασίδην Ὑψήνορα ποιμένα λαῶν.
Ἦπαρ ὑπὸ πραπίδων, εἶϐαρ δ' ὑπὸ γόνατ' ἔλυσε.
Δηΐφόϐ☉ δ' ἔκπαγλον ἐπεύξατο μακρὸν ἀΰσας.
Οὐ μὰν αὖτ' ἄπτος κεῖτ' Ἀσι☉, ἀλλά ἑ φημὶ
Εἰς ἄϊδ' ὀσσαϐῆναι ἴοντα Πυλάρταο κρατερὸν δόρυ
Γηθῆσεν γὰρ θυμὸν, ἐπεὶ ῥά οἱ ὦπασε πομπὸν,
Ὡς ἔφατ' Ἀργείοισι δ' ἄχ☉ γλυκὺ ἔπτατ' ἐὐξαμένοιο,
Ἀντιλόχῳ δὲ μάλιστα λαϊφρονι θυμὸν ὄρινεν.
Ἀλλ' ὅ γ' ἀχνύμενος πῆξ ἐξ ἀμέλιγος ἑταίρου.
Ἀλλὰ θέων πρίβη καὶ οἱ σάκ☉ ἀμφεκάλυψε.
Τὸν μὲν ἔπειθ' ὑποδὺς τίνω ἐείρυες ἑταῖροι.
Μυκισεὺς Ἐλίοιο πάϊς καὶ δῖ☉ Ἀλάστωρ,
Νῆας ἴσαν γλαφυρὰς φερέτην Βαρέα σφαχόντα.
Ἰδομενεὺς δ' ὃ λῆγε μόνος μέγα. ἕστο δ' ἀμφὶ
Ἦε τίνα Τρώων ἐρεϐεννῇ νυκτὶ καλύψαι.
Ἠὲ αὐτὸς δ' σπήσαι ἀμύνων λοιγὸν Ἀχαιοῖς.
Ἐνθ' Αἰσυήτας δ' ἰοτρεφέος Φίλομ☉ υἱὸν
Ἥρῳ Ἀλκάθοον, γαμβρὸς δ' ἦν Ἀγχίσαο.
Πρεσϐυτάτην δ' ὤπυε θυγατρῶν Ἱπποδάμειαν.
Τὴν πρὸ μὲν κῆρι Φίλομ☉ πατὴρ, καὶ πότνια μήτηρ
Ἐν μεγάρῳ, πᾶσαν γὰρ ὁμηλικίην ἐκέκασο.
Κάλλεϊ καὶ ῥηγμῖσιν, ἰδὲ φρεσί, τ' ὄνεκα καὶ μιν
Γήμεν ἀνὴρ ὤριστος ἐνὶ Τροίῃ εὐρείῃ.
Τὸν τόθ' ὑπὸ Ἰδομενῆϊ, Ποσειδάων ἐδάμασσε.
Θέλξας ὄσσε φαεινὰ, πέδησε δὲ φαίδιμα γυῖα.
Οὔτε γὰρ ὀπίσω φυγέειν δύνατ', οὔτ' ἀλέασθαι.
Ἀλλ' ὥς τε στήλην, ἢ δένδρεον ὑψιπέτηλον.
Ἀτρέμας ἑστάοτα, στῆθος μέσον ὄρσε δι' ὀϊστοῦ.
Ἥρως Ἰδομενεὺς, ῥῆξεν δὲ οἱ ἀμφὶ χιτῶνα
Χάλκεον, ὅς οἱ πρόσθεν ἀπὸ χροὸς ἦρκει ὀλέθρου.
Δὴ τότε γ' ὦμον ἄϋσεν ἐρεμνόμενος πρὸς δ' ὀϊστὸς
Δόρπησεν δὲ πεσὼν, δόρυ δ' ἐν κραδίῃ ἐπεπήγει.
Ἦ ῥά οἱ ἀμφαφόωντι, καὶ ὀρέϊαχον πελέμιξεν

Ἔγχεος,

Ἔγχε☉, ἔνθα δ' ἔπειτ' ἀφίει μιν☉ ὄβριμ☉ Ἄρης,
Ἰδομενεὺς ἔκπαγλον ἐπεύξατο μακρὸν ἀΰσας.
Δηΐφοϐ', ἦ ἄρα δή τι σ' ἐέσκομεν ἄξιον εἶναι
Τρῳὸς ἑνὸς ἀντιϐαδαί, ἐπεὶ σύ γε σὺ τυχεσι κῦτος
Δαιμόνι', ἀλλὰ καὶ αὐτὸς ἀμύνεο φαντίος ἔστω ἐμοῖο,
Ὄφρα ἴδῃς, οἷ☉ Ζηνὸς γόν☉ ἔνθαδ' ἱκάνω.
Ὅς πρῶτον Μίνωα τέκε Κρήτῃ ἐπίδουρον,
Μίνως δ' αὖ τέκεθ' υἱὸν ἀμύμονα Δευκαλίωνα,
Δευκαλίων δ' ἐμὲ τίκτε, πολέεσσ' ἀνδρεσσιν ἄνακτα
Κρήτῃ ἐν εὐρείῃ, νῦν δ' ἐνθάδε νῆες ἔνεικαν
Σοί τε κακὸν καὶ πατρὶ, καὶ ἄλλοισι Τρώεσσιν.
Ὣς φάτο. Δηΐφοϐ☉ δὲ διάνδιχα μερμήριξεν
Ἦ πινὰ πὰ Τρώων ἑταρίσσαιτο μεγαθύμων
Ἦ αὖ ἀναχωρήσας, ἢ πειρήσαιτο καὶ οἷ☉.
Ὧδε δέ οἱ φρονέοντι, δοάσσατο κέρδιον εἶναι.
Βῆναι ἐπ' Αἰνείαν, τόν δ' ὕστατον εὗρεν ὁμίλῳ
Ἑσπόμενον. ἀεὶ γὰρ Πριάμῳ ἐπεμήνιε δίῳ.
Οὕνεκ' ἄρ' εὖ δλὸν ἐόντα μετ' ἀνδράσιν ὅττι πίεσκεν.
Ἀγχοῦ δ' ἱστάμενος, ἔπεα πτερόεντα προσηύδα.
Αἰνεία, Τρώων βουληφόρε, νῦν σε μάλα χρή,
Γαμβρῷ ἀμυνέμεναι εἴπερ πόσε κῦδος ἑπαίρει.
Ἀλλ' ἕπευ Ἀλκαθόῳ ἐπαμύσομεν, ὅς σε πάρος περ
Γαμβρὸς ἐὼν, ἔθρεψε δόμοις ἔνι, τυτθὸν ἐόντα,
Τόν σε τοι Ἰδομενεὺς δουρικλυτὸς ἐξενάριξεν.
Ὣς φάτο, τοῦ δ' αἶψα θυμὸν, ἐνὶ στήθεσσιν ὄρινεν.
Βῆ δὲ μετ' Ἰδομενῆα μέγα πτολέμοιο μεμηλώς.
Ἀλλ' οὐκ Ἰδομενῆα φόϐ☉ λάϐε τηλύγετον ὡς,
Ἀλλ' ἔμεν' ὡς ὅτε τίς σῦς ἄρεσιν ἀλκὶ πεποιθὼς,
Ὅς τε μένει πολυσυρτον ἐπερχόμενον πολυὼ ἀνδρῶν
Χώρῳ ἔνι οἰοπόλῳ, φρίσσει δέ τε νῶτον ὑπερθεν.
Ὀφθαλμὼ δ' ἄρα οἱ πυρὶ λάμπετον. αὐτὰρ ὀδόντας
Θήγει ἀλεξάσθαι μεμαὼς κυσὶν ἠδὲ καὶ ἀνδράσι,
Ὡς μὲν Ἰδομενεὺς δι' ἐϊκτυπτους, ὀδόντ' ἔσεχώρει
Αἰνείαν ἀδμήτα βοῇ θοὸν. ὦρσε δ' ἑταίρους,
Ἀσκάλαφόν τ' Ἐρεβῶ Ἀφαρῆά τε Δηΐπυρόν τε.
Μηριόνην τε, καὶ Ἀντίλοχον μήστωρας ἀϋτῆ.
Τοὺς ὅγ' ἐποτρύνων ἔπεα πτερόεντα προσηύδα.
Δεῦτε φίλοι καί μ' οἶω ἀμύνετε, δ' εἰδέα δ' ἀνῶδς
Αἰνείαν ἀδμήτα πόδας ταχὺν, ὅς μοι ἔπεισιν.
Ὅς μάλα καρτερός ἔσκε μάχῃ ἐνὶ φῶτας ἀναίρειν.
Καί δ' ἔχει ἥβης αὖθ☉, ὅτε περ θάλλουσι μέγιστον.
Εἰ γὰρ ὁμηλικίη γε γενοίμεθα τῷ δ' ἐνὶ θυμῷ.
Αἶψά κεν ἢὲ φέροι τὸ μέγα κράτος, ἢὲ φεροίμην.
Ὣς ἔφαθ'. οἱδ' ἄρα πάντες ἐνὶ φρεσὶ θυμὸν ἔχοντες.
Πλεῖοι ἔσυσαν σὺν ὠμοισι πελτοφόροι.
Αἰνείας δ' ἐτόρωθεν ἐπεκλ☉, οἷς ἑτάροισιν.

Δηΐφοβόν τε,

ἔνθα δ' ἔπειτ' ἀφίμεν☉ ὄβριμος Ἄρης.] ναυθ' ὁ μέρ☉ ἱκνύεται ὁ τ῀ δόρατ☉ κίνησις. ἀσπάρασα.] πανσμίνη, πάλλουσα. ϐρίαχον.] τ῀ σαρων τῦρα τ῀ δόρατ☉. τυτίσι τὸ ὀπίσθιον μέρ☉. ὃ ἠρέμα γρίσφον ἠρὲ σόρθυγκά φασι. ἦ ἄρα δή τι ἐέσκομεν ἄξιον εἶναι τρῳὸς ἑνὸς ἀντιϐαδαί.] ἆρα ἀξίως ἠρὲ λεόντ☉ λοκεμέν σοι αὐχῆν ῥᾳδίως αὐθ' ἑνὸς ψιφονευκότες. σκιλέμιξεν.] ἐδόνησε, διέσεισεν. ἐπίδουρον.] φύλακα. τῷ τόνῳ ἢ ἀναγνωστέον προπαροξυτόνως ὡς ἐπίκουρον. ἑταρίσσατο.] ἑταῖρον ἠρὲ συνοδοιπόρον λάϐοι. δοάσατο.] ἐδοξε. ϐᾶναι ἐπ' Αἰνείαν.] Τρώιας ἀλέσους, Αἰνείας Ἀγχίσην παραλαϐὼν τ῀ πατέρα, ἔφυγε. ναυαγίῳ ἢ περιπεσὼν πορρί τ῀ Ἄθω, αὐτὸς σὺν τῷ πατρί, ἠρὲ Ἀγχίσης μ῁ πρὸς τῷ Καλαύρῳ ὄρει πλησίον Ἀυθεμιτοσαμῷ τελευτᾷ. δάψας ἢ αὐτ῀ Αἰνείας, ὅπερ ἠρὲ νεῶ τάφ☉ ὄβριμ Ἀγχίσα λεγόμενος ἐν Πυανῷ. κατὰ βάλησιν δὲ μητρὸς Ἀφροδίτης, πόλιν ἐκτισε τὴν ἀπ' αὐτ῀ Αἰνειάδα πρωσαγορευθεῖσαν. τελευτήσαντ☉ ἢ τότε ὁ υἱὸς αὐτ῀ γενόμεν☉ παῖς, λάϐρα ἐπὶ τὴν πατρῴαν παραγενόμενος, ἠρὲ πόλιν αὐαστήσας. παραλαϐὼν τι τ῀ στρατὸν, μετῴκισεν ἐς Ἰταλίαν. ἐπεμήνιει.] ἐπιμόνως ὠργίζετο. ὅτι τίεσκεν.] ἐδαμῶς ἐτίμα. κῦδι☉.] συγγένειαν, ὅτι ἢ λίπη. μεμηλῶς.] ἐπιμέλειαν ἠρὲ φροντίδα ποιούμεν☉. τηλύγετον ὡς.] ὡς παῖδα μονογενῆ. οἰοπόλῳ.] ἤτοι ἐν ᾧ οἶες αὐασρίφουσι, ὅ ἐστι προβατοποιῷ γὰρ τὸ αὐασρίφειαν. ἢ ἐν ᾧ οἷός τις ἠρὲ μόν☉ ποιεῖται. ἐξ ὃ ὅλως ἐν τῷ ὄρήμῳ φρίσσει.] ἴσησι, θύει. ἀκοντῇ. ἀσπάλαφον.] ἀσπάλαφ☉ ὁ λίαν σκληρὸς παρὰ τὸ ἀσπαλὶς ἢ ἀφῆς. ἤβης αὖθ☉.] τὸ ἀκρότατον ἢ ἀκμῆς. ὁμηλικίη.] αὐτὶ τ῀ ὁμήλικες. ἕνα φρεσὶ θυμὸν ἔχοντες.] ἓν ἠρὲ αὐτὸ τὸ φρονοῦντες.

πτόλεμ.]

Δηίφοβόν τε, Πάριν τ' δτυρεῶν καὶ Αγήνορα δῖον.
Οἱ οἱ ἄμ' ἡγεμόνες Τρώων ἕσαν, αὐτὰρ ἕπεσθε
Λαοὶ ἔπονθ', ὡσεί τε μετὰ πῖλον ἔαστο μῆλα.
Ρίμφα δ' ἐκ βοτάνης, γάνυται δ' ἄρατε φρένα ποιμήν.
Ὡς Αἰνείᾳ θυμὸς ἐνὶ στήθεσι γεγήθει.
Ὡς ἴδε λαὸν ἔθνθ' ὑδιπετόμενον ἑοῖ αὐτοῦ.
Οἶδ' ἀμφ' Αλκαθόῳ αὐτοχεδὸν ὡρμήθησαν.
Μακρῆσι ξυστῆσι πολὺ στήθεσι δὲ χαλκὸς
Σμερδαλέῳ κονάβιζε πιτυσκομένων καθ' ὅμιλον
Ἀλλήλων, δύο δ' ἄνδρες ἀρήϊοι ἔξοχον ἄλλων,
Αἰνείας τε καὶ Ιδομενεὺς ἀτάλαντοι Αρηϊ,
Ἴφθτ' ἀλλήλων ταμέειν χρόα νηλεῖ χαλκῷ.
Αἰνείας δὲ πρῶτος ἀκόντισεν Ιδομενῆος.
Αλλ' ὁ μὲν ἄντα ἰδὼν, ἀλεύατο χάλκεον ἔγχος.
Αἰχμὴ δ' Αἰνείαο κραδαινομένη κατὰ γαίης,
Ὤχετ', ἐπεὶ ῥ' ἄλιον σιβαρῆς ἀπὸ χειρὸς ὄρεσσεν.
Ἰδομενεὺς δ' ἄρα Οἰνόμαον βάλε γαστέρα μέσσην.
†Ρῆξε δὲ θώρηκος γύαλον, διὰ δ' ἔντερα χαλκὸς
Ἤφυσ', ὁδ' ἐν κονίῃσι πεσὼν, ἕλε γαῖαν ἀγοσῷ.
Ἰδομενεὺς δ' ἐκ μὲν νέκυος σκολιόσκιον ἔγχος
Ἐσπάσατ', ὀδ' οὐ δύνατ' ἄρ' ἔτ' ἄλλα δ' ὑπὲκ τε τεύχεα καλὰ
Ὤμοιϊν ἀφελέσθαι, ἐπεὶ οὐ βελέεσσιν.
Οὐ γὰρ ἔτ' ἐμπεδα γυῖα ποδῶν ἰῷ ὁρμηθῆναι.
Οὐτ' ἄρ' ἐπαΐξας μετ' ἐὸν βέλος, οὔτ' ἀλέασθαι.
Τῷ ῥά, καὶ ἐν σταδίῃ μὲν ἀμύνετο νηλεὲς ἦμαρ.
Τρέσασε δ' ὀκέπι βίμφα πόδες φέρον ἐκ πολέμοιο.
Τὸ δὲ Βάσκην ἀπιόντα, ἀκόντισε δουρὶ φαεινῷ
Δηϊφοβος, διὴ γὰρ οἱ ἔχθιστος κῆρ ἐμμενὲς ἀεί.
Ἀλλ' ὅγε καὶ τόθ' ἅμαρτεν, ὁδ' Ασκάλαφον βάλε δουρὶ
Ἠόν Ενυαλίοιο, δι' ὤμου ὄβριμον ἔγχος
Ἔσχεν, ὀδ' ἐν κονίῃσι πεσὼν, ἕλε γαῖαν ἀγοσῷ.
Οὐδ' ἄρα πω πέπυστο, βριήπυος ὄβριμος Αρης,
Υἱὸς ἑοῖο πεσόντος ἐνὶ κρατερῇ ὑσμίνῃ.
Αλλ' ὅγ' ἄρ' ἄκρης ὀλύμπου ἧστο χρυσείοισι νέφεσιν
Ἧσο Διὸς βουλῇσιν ἐελμένος ἔνθα περ ἄλλοι
Ἀθάνατοι θεοὶ ἦσαν ἐεργόμενοι πολέμοιο.
Οἱ δ' ἀμφ' Ασκαλάφῳ αὐτοχεδὸν ὡρμήθησαν.
Δηίφοβος μὲν ἀπ' Ασκαλάφου πήληκα φαεινὴν
Ἥρπασε, Μηριόνης δὲ θοῷ ἀπάλαντος Αρηϊ.
Δουρὶ βραχίονα τύψ' ἐπάλμενος, ἐκ δ' ἄρα χειρὸς
Αὐλῶπις πρυφάλεια χαμαὶ βόμβησε πεσοῦσα.
Μηριόνης δ' ὀξὺς ἐπάλμενος αὐγυπιὸς ὡς.
Ἐξέρυσε πρυμνοῖο βραχίονος ὄβριμον ἔγχος.
Ἄψ δ' ἐπάρων εἰς ἔθνος ἐχάζετο, τὸν δὲ Πολίτης
Αὐτοπασίγνητος πολὺ μέσσῳ χεῖρε τιτήνας,
Ἐξῆγεν πολέμοιο δυσηχέος, ὄφρ' ἵκεθ' ἵππους

πτίλον.] κεφαλῆ. πεδίλοιο.] πεδίλου. βοταύης.] κεῖται δὲ μετὰ τὸν βοταύην κατὰ νομὸν. γαύνται.] διὰ χαῖται, χάρεν. ξυστοῖσι.] τοῖς ὀξυσμένοις δόρασιν. ἵεντο.] προεθυμεῖτο.

θώρηκος γύαλον.] τὸ κοῖλον τοῦ θώρηκος. διὰ δ' ἔντερα χαλκὸς ἦφυσεν.] λείψανόν ἐστι καὶ λέγουσι τὰ ἔντερα αὐτοῦ τὸ δόρυ. μεθ' ὑὸν.] ἐπὶ τὸ ἑλίσσον. βῆσαι.] διαφυγεῖν μετὰ δίκης. βάδην ἀπιόντα.] ὑφέμα ἀποχωροῦντα. δὴ γὰρ οἱ ἔχθιστος ἐμμενῶς αἰεί.] ἐπιμόνως γὰρ αὐτῷ ὠργίζετο. ἔσχε.] λίσσε. λιῆλθεν. ὀδ' ἄρα πω πέπυστο.] ἐδίδαξε ἐμεμαθήκει. ἐβήκεται] ὡς θεὸς ὢν ὁ Αρης ὀκέλει πόρρω δ' ἦν. ῥητέον δ' ὅτι παρὰ τῷ ποιητῇ οἱ θεοὶ σωματικῶς λαμβανόμενοι, ἀνθρωποειδῶς ἐπίστανται καὶ ἀθανασίᾳ μόνον διαφέροντες ἀνθρώποις, τοῖς κύτοῖς ἐνέχονται πάθεσι.

βουλῇσιν.] μέγα καὶ βαρὺ βοῶν. παρὰ τὸ ἐπύευν, ὅ ἐστι φωνεῖν. ἑέλμενον.] συνειλεισμένον. ἰοργόμενοι.] ἀργόμενοι, κωλυόμενοι. κῆλα.] πρόκινα. βόμβησε.] ἦχησε. πρύμνοιο βραχίονος.] ἐσχάτην ἔχοντος ἀπὸ δὲ ἐκφύσεως τῶν ἀρχῶν ὧδε τὸν νῶμον. πρὸ μέσσου κάρη τιτίλωας.] πρὸ τὰ μέσα αὐτὰς χεῖρας διατείνας καὶ συλλαβών. δυσηχέος.] κακὸν ἦχον φέροντος. νεκτάτη.] νεοβρώτῳ. λάϊμον.] τὸν βρόγχον. ἔδη δ' ἀσπὶς ἐάφθη.] ἐπικατύχθη ἢ αὐτῷ ἡ ἀσπὶς, ὅ ἐστιν ἐπικατηνέχθη παρὰ τὸ ἐπιθεῖναι. θυμοραϊσθής.] ὁ τῶν ψυχῶν φθείρων. ἀπὸ ἧς φλέβα πᾶσαν ἐκόρεσεν.] ὅλην ἢ ἀπὸ τῆς μεγίστης φλέβα. ἐμβρεμεν.] ἐτιμᾶν, ἐκείρειν. αὐὰ νῶτα θέσσα.] κατὰ τὰ νῶτα τεταμένη. πορδιεσάμενος.] πρδιεσάμενος. τρύφατο.] αὐχένι τρίφεται. σειόμενον.] κινούμενον.

ἐλέλικτο.] ἐλίττετο, ἐτρίφετο. ἤ τευ.] ἢ τινός. ἀμφηνίωσεν.] ἀδενὴ γίνεσθαι ἐποίησε. βιότοιο μεγήρας φθονήσας δὲ βίου ἐστὶ δὲ ζωῆς. σκῶλος.] ἀκανθὼδης ἕλκος, ἢ πυρωθεῖσα σύτονωτέρα γίνεται. πυρίκαυστον.] πυρὶ καυμένον, ἐμφλικτόν. μετασάμενον.] ἐπιδιώξας, ἐπακολουθήσας.

ἔνθα μάλιστα γίνεται Αρης ἀλεγεινός.] ὅτι ἀλεγεινὴ καὶ λεινὴ γίνεται ἡ ῥῶσις. ἐσπόμενον] πρὸ ἐμοῦ. πασχιθείς, πεσὼν παρεὶς τῷ ὁράτει. ἐσπάρην.] ἐσκαρίζων, ἐκινεῖτο. ἰλλάσι.] τοῖς δὲ ἑαυτῶν πεπληγμένοις δὲ σοῖς. ἀπὸ ἧς φυφάλειαν ἀφῆκεν.] ἀπέκοψε ἢ τὸν πρόκινα φάλαρα. ἀποπλαγχθεῖσα.] ἀποπηδήσασα.

ἐμαρτήτην.]

Ὠκέας. οἳ οἱ ὄπιθε μάχης ἦδὲ πολέμοιο
Ἕστασαν, ἡνίοχόν τε καὶ ἅρματα ποικίλ' ἔχοντες.
Οἳ τόν γ' πρόσθ' ἄσυ φέρον, βαρέα στοναχοντα
Τειρόμενον, κῆρ δ' ἄμμα νεστάτῃ ἔρρεε χειρός.
Οἳ δ' ἄλλοι μάρναντο, βοὴ δ' ἄσβεστος ὀρώρει,
Αἰνείας δ' Αφαρῆα Καλητορίδην ἐπορούσας,
Λαιμὸν τύψ', ὧδι οἱ τετραμμένον ὀξὺ δόρυ.
Ἐκλίνθη δ' ἐτόρωσε κάρη, ὧλι δ' ἀσπὶς ἐάφθη
Καὶ κόρυς, ἀμφὶ δὲ οἱ θάνατος χύτο θυμοραϊστής.
Αντίλοχος δὲ Θόωνα μετασρεφθέντα λοκεύσας
Οὖτασ' ἐπαΐξας, ἀρὴ δὲ φλέβα πᾶσαν ἔκερσεν,
Ἥτ' ἀνὰ νῶτα θέουσα διαμπερὲς ἀμχοῦ ἵκάνει.
Τὴν ἀρὴ πᾶσαν ἔκερσεν. ὁδ' ὕπτιος ἐν κονίῃσι,
Κάππεσεν, ἄμφω χεῖρε φίλοις ἑτάροισι πετάσας.
Αντίλοχος δ' ἐπόρουσε καὶ αὐνυτὸ τεύχε' ἀπ' ὤμων
Γαπταίνων, Τρῶες δὲ πολισσάδον ἄλλοθεν ἄλλος,
Οὔτασζον σάκος εὐρὺ φαναόωντο, δόρυ δ' ἀμφ' αὐτῷ
Εἵσω ὧδι χάλκεον πρόσθεν χρόα νηλεῖ χαλκῷ
Ἀντιλόχου, πολὺ γὰρ ῥα Ποσειδάωνι φόως ἵκθων,
Νέστορος υἱὸν ὄρυτο, καὶ ἐν πολλοῖσι βέλεσιν.
Οὐ μὲν γάρ ποτ' ὤμυδι λιγέων ἵππων, ἀλλὰ κατ' αὐτούς,
Στρωφᾶτ', ὀδ' οἱ ἔγχος ἐχ' ἀτρέμας, ἀλλὰ μάλ' αἰεὶ
Σεύμενον ἐλέλικτο, τιτύσκετο δὲ φρεσὶν ἦσιν
Ἠτοι ἀποντίσας, ἢὲ χερσὶν ὀρμηθῆναι.
Αλλ' ὁ λᾶϊν Ασάμαντα τιτυσκόμενος καθ' ὅμιλον
Ἀσιάδ' ἡμ. ὃς οἱ ὄτα σάκος μέσον ὀξέϊ χαλκῷ.
Ἐγγύθεν ὁρμηθείς, ἀμυνήνωσεν δὲ οἱ ἄχμων
Κυανοχαῖτα Ποσειδάων, Βιότοιο μεγήρας.
Καὶ τὸ μὲν αὐτοῦ μεῖν' ὥς τε σκῶλος πυείκαυστος,
Ἐν σάκει Αντιλόχοιο, τὸ δ' ἤμισυ κεῖτ' ὧλι γαίης,
Αψ δ' ἐτάρων εἰς ἔθνος ἐχάζετο κῆρ' ἀλεείνων,
Μηριόνης δ' ἀπόντα μεταστομένων βάλε δουρὶ
Αἰδοίων τε μεσηγύ. καὶ ὁμφαλὸν ἔθνα μάλιστα,
Γίνετ' Αρης ἀλεγεινὸς ὀϊζυροῖσι βροτοῖσιν.
Ἔνθα οἱ ἔγχος ἔπηξεν. ὁδ' ἐστόμφῳ πολὺ δουρὶ
Ἑστηὼς, ὡς ὅτε βοῦς, τόν τ' ὄρεσι βοηλόται ἄνδρες
Ἰλάσιν ὀκ ἐθέλοντα βίᾳ δήσαντες ἄγουσιν.
Ὡς ὁ τυπεὶς ἤσπαιρε μίνυνθά περ ὄτι μάλα δ' ἦν.
Ὄφρα οἱ ἐκ χροὸς ἔγχος ἀνεσπάσατ' ἐγγύθεν ἐλθών,
Ἥρως Μηριονης, τὸν δὲ σκότος ὄσσε ἐκάλυψε.
Δηΐπυρον δ' Ἔλωρ ξίφεϊ κεδὸν ἤλασε πόρσης,
Θρηϊκίῳ μεγάλῳ, ἀρὴ δὲ πρυφάλειαν ἄρ' ἄξεν.
Ἡ μὲν ἀρ' πλαγχθεῖσα, χαμαὶ πέσε, καί τις Αχαιῶν
Μαρναμένων μετὰ ποσσὶ κυλινδομένην ἐνόμισσε.
Τὸν δὲ κατ' ὀφθαλμῶν ἐρεβεννὴ νὺξ ἐκάλυψεν.
Ἀτρείδην δ' ἄχος εἷλε βοὴν ἀγαθὸν Μενέλαον.

Βῆ δ' ἐπαπειλήσας ἐλάων ἥρωϊ ἄνακτι.
Ὀξὺ δ' ὄρυ κραδάων, ὁ δὲ πρόξ πλαγε ἀνείλκει,
Τὼ δ' ἄρ' ὁμαρτήτην, ὁ μὲν ἔγχεϊ ὀξυόωντι
Ἰέτ' ἀκοντίσας, ὅδε δ' ἀκὴν ὑδρηῷ ἴϊς ὤ.
Ῥεῖα μέδηε μὲν ἔπειτα ἧϊ σάθη βάλεν ἰῷ
Θώρηκος γύαλον, ἀκὴ δ' ἔπατο πικρὸς ὀϊστός.
Ὡς δ' ὅτ' ἀκὴ πλατέος πυόφιν μεγάλην κατ' ἄλωλε
Θερώσησι κυάνεοι μελανόχροες ἢ ἐρεβεννοὶ,
Γυιοῖ ὑπὸ λιγυρῇ καὶ λιπαρυτῆρι ἐρωῇ,
Ὡς ἀκὴ θώρηκος Μενελάου κυδαλίμοιο
Πολλὸν ἀκὴ πλαγχθείς, ἑκὰς ἔπατο πικρὸς ὀϊστός.
Ἀτρεΐδης δ' ἀρ' ἄρα χεῖρα βολὴ ἀγαθὸς Μενέλαος
Τλῆ βάλεν, ἦρ' ἔχε πρόξ ἐϋξόου, γῆδε δ' ἄρα πρόξω,
Ἀντίκρυ δ' ἄρα χειρὸς ἐλήλατο χάλκεον ἔγχος.
Ἂψ δ' ἑτέρωι εἰς ἔθνος ἐχάζετο κῆρ ἀλεείνων
Χεῖρα πρὸς ἀκρεμάσας. τόδε δ' ἐφέλκετο χάλκεον ἔγχος,
Κὰκ τὸ μὲν ἐκ χειρὸς ὀρύσσων μεγάθυμος Ἀγήνωρ.
Αὐτίκα δὲ ξωϊδέσησιν εὐπρόφρων οἷος ἀνὴρ
Σφενδόνην, ἣν ἄρα οἱ θεράπων ἔχε ποιμένι λαῶν.
Πέισανδρος δ' ἰθὺς Μενελάου κυδαλίμοιο,
Ἤϊε. τὸν δ' ἄγε μοῖρα κακὴ, θανάτοιο τέλος δέ,
Σοὶ Μενέλαε δαμῆναι ἐν ἀνῇ δηϊοτῆτι.
Οἱ δ' ὅτε δὴ ῥ' ἐσάδην ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες,
Ἀτρεΐδης μὲν ἅμαρτε, πρὰ δέ οἱ, ἐτράπετ' ἔγχος·
Πέισανδρος δὲ στέκε Μενελάου κυδαλίμοιο
Οὖτα σάων, ὁ δὲ δὴ πρὸ, δαμὴς ἀτὸ χαλκὸν ἐλάσσας.
Ἔχε γὰρ στέκος εὐρὺ, κατεκλάδη δ' ὑπὸ καυλῷ
Ἔγχος. ὁ δὲ φρεσὶν ἦσι χάρη, καὶ ἐέλπετο νίκην.
Ἀτρεΐδης δὲ ἐρυσσάμενος ξίφος ἀργυρόπηλον,
Ἆλτ' ὦϊ Πεισάνδρωι. ὅδ' ὑπαὶ ἀσπίδος εἵλετο καλὴν
Ἀξίνην ἐϋχάλκου, ἐλαΐνῳ ἀμφὶ πελέκῳ
Μακρῷ ἐϋξέσῳ. ἅμα δ' ἀλλήλω ἐφέποντο.
Ἦτοι ὁ μὲν κόρυθος φάλον ἤλασε ἱππιοδασείης,
Ἄκρον ὑπαὶ λόφου αὐτόν. ὁ δὲ προσιόντα μετώπου,
Ῥινὸς ὑπὲρ θυμάτης. λάκε δ' ὀστέα, τὼ δέ οἱ ὄσσε
Πάρ ποσὶν ἁματόωντε χαμαὶ πέσον ἐν κονίῃσιν.
Ἰδνώθη δὲ πεσὼν, ὁ δὲ λὰξ ἐν στήθεσι βαίνων.
Τεύχεα τ' ἐξενάριξε, καὶ οἰχόμενος ἔπος ηὔδα,
Λείψετέ θην ὅτω γε νέας Δαναῶν ταχυπώλων,
Τρῶες ὑπερφίαλοι δεινῆς ἀκόρητοι ἀϋτῆς.
Ἄλλης μὲν λώβης τε καὶ αἴσχεος οὐκ ὀνοτεύεις,
Ἠμὲ λωβήσασθαι κακὸν κύνες. ὀδύσσεταί τι θυμῷ,
Ξανθὸς ἐριβρεμέτεω χαλεπὸν ἐσ δείσαντε μῆνιν
Ξεινίη, ὅς τε ποθ' ὑμμι διαφθέρσει πόλιν ἀπτὴν,
Οἶμόν κε δεῦρ' ἵκηαι ἄλοχον, καὶ κτήματα πολλὰ
Μάψ οἰχεσ' ἀνάγοντες, ἐπεὶ φίλε ἔσθε παρ' αὐτῇ
Νῶϊ κύντ'

ἁμαρτήτην.] ὁμῶ ἀφῖκαν. πλυσφίν.] πλύν. πλύον δέ ἐστιν ἐν ᾧ τὰ ὑλικὰ μένε γεννήματα αὐτὰ βάλλουσι, χωρίζοντες δι' ἀχύρου. ὁ ὑπὸ τύπου παραγωγή.

βρώσκωσιν.] ἀποσκώπτουσιν. λιγυρῇ.] ὀξέως πνέοντι αὔρᾳ. ἐλήλατο.] ἐνεπάγη. ἐϋστροφῷ οἷος ἀώτῳ.] καλῶς περιεσταμμένῳ ὁρίῳ. τοιούτοις ὁρίοις σφενδόνη. οἷος γὰρ ἀώτου προβάτου αὔθεσι ὅ ἐστιν ὁρίῳ. ἴσχετο.] ἐπεκώλυσεν. ἐλαίνῳ ἄμφι πελέκῳ.] τῷ δι' πελίκεως σελῷ παρὰ τὸ πεπελεκῆσθαι. πρὸ δὲ τῷ ἐλάινῳ σελῷ φησιν.

ἅμα δ' ἀλλήλων ἐφίκοντο.] ὑπὸ τὸ αὐτὸ ἔτυχον ἀλλήλων. λόφου.] κάτω τὴν. ῥινὸς ὑπὲρ θυμάτης.] ὑπὲρ τὸν ῥῖνα τόπου, τὸ μέτωπον. λάκε.] ἐσχίσθη, ὀνοματοποιία ὁ ῥόμβος. τὼ δὲ οἱ ὄσσε παρὰ ποσὶν ἁματόεντα.] τὸ δὲ ὑγρὸν τὸ κατὰ τὸν ὀφθαλμὸν ὀνομάζει αὖθι μετὰ δὲ αἷματος. λάψε τέ δη.] καταλήψεται δέ. ἄλλης λώβης.] ἄλλης ὕβρεως. ὀκνηπολεύεις.] ὀκνηρεύεις, ἀλλὰ πλήρεις ἐστί. ὀλιβρεμέτεω.] μεγάλως ὀχέντος. διαφθέρσει.] διαφθορᾷ, ἀπολέσει. ἐπεὶ φιλέεσθε.] ὅτι φιλοφροσύνης καὶ ξενίας ἐτύχετε.

ἀλλὰ Νῶϊ κύντ' ἀγανοῖσιν μειλιξάσθην ἔπεσσι.
Πῦρ ὀλοὸν βαλέειν, κτεῖναι δ' ἥρωας Ἀχαιούς.
Ἀλλά πότ' ἰοχέαιρα καὶ ἐσσυμένοιπερ Ἄρηος.
Ζεῦ πάτερ, ἦ τέ σε φασὶ πολὺ φρεσὶν ἔμμεναι ἄλλων
Ἀνθρώπων ἠδὲ θεῶν, σέο δ' ἐκ τάδε πάντα τέλονται.
Οἷον δὴ ἄνδρεσσι χαρίζεαι ὑβρισπῆσι
Τρωσίν, σῷ μένεος ἀλγῶ ἀτάσθαλον, σὲ δὲ δὴ αὖτοι,
Φυλόπιδι κορέσασθαι ὁμοίϊος πολέμοιο.
Πάντων μὲν κόρος ἐστὶ καὶ ὕπνου καὶ φιλότητος,
Μολπῆς τε γλυκερῆς, καὶ ἀμύμονος ὀρχηθμοῖο,
Τῶν πέρ τις καὶ μᾶλλον ἐέλδεται ἢ ὀρόων εἶν,
Ἢ πολέμου, Τρῶες δὲ μάχης ἀκόρητοι ἔασαν.
Ὡς εἰπὼν, τὰ μὲν ὤϊξε ἀκὴ χροὸς ἁμαρτόεντα
Συλήσας, ἑτάροισι δίδη Μενέλαος ἀμύμων.
Αὐτὸς δ' ὦϊξ' ἐξ αὖτις ἰὼν πολεμάχοισιν ἐμίχθη.
Ἔνθά οἱ υἱὸς ἑπᾶλτο Πυλαιμένεος βασιλῆος,
Ἀρπαλίων, ὅ ῥα πατρὶ φίλῳ ἕπετο πολεμίζων
Ἐς Τροίην. ὁδὸν δ' οὔτις ἀφίκετο πατρίδα γαῖαν,
Ὅς ῥα, τότ' Ἀτρεΐδαο μέσον στόμα ὄτασε δουρὶ
Ἐγγύθεν, ὁδὲ δίδα πρὸ δ' ὠμίλασε χαλκὸν ἐλάσσαι.
Ἂψ δ' ἑτέρωσε εἰς ἔθνος ἐχάζετο κῆρ ἀλεείνων
Πάντοσε παπτάινων, μήτις χρόα χαλκῷ ἐπάρῃ.
Μηριόνης δ' ἀπίοντος ἐϊ χαλκήρε ὀϊστόν.
Καί ῥ' ἔβαλε γλουτὸν κῆ δεξιὸν. αὐτὰρ ὀϊστὸς
Ἀντικρὺ κῆ κύστιν ὑπὸ ὀστέον ἦλθ' ἐπέργων.
Ἑζόμενος δὲ κατ' αὖθι φίλων ἐν χερσὶν ἑταίρων
Θυμὸν ἀπηνείων, ὥς τε σκώληξ ὦϊ γαίῃ.
Κεῖτο παθείς. ἐκ δ' αἷμα μέλαν ῥέε, δίδε δὲ γαῖαν.
Τὸν μὲν Παφλαγόνες μεγαλήτορες ἀμφεπόνοντο.
Ἐς δίφρον δ' ἀνέσαντες ἄγον πρόσω Ἰλιον ἱρήν.
Ἀχνύμενοι, μετὰ δέ σφι πατὴρ κίε δάκρυα λείβων.
Ποινὴ δ' οὔτις παιδὸς ἐγίνετο τεθνειῶτος.
Τῷ δὲ Πάρις, μάλα θυμὸν ἀρηταμένοιο χολώθη.
Ἦτοι γὰρ καὶ τῶν ἐν πολέσι μετὰ Παφλαγόνεσσι,
Τῷ ὅγε χωόμενος πρὸϊ ἐι χαλκήρε ὀϊστόν.
Ἦν δέ τις Εὐχήνωρ Πολυΐδου μάντιος υἱὸς,
Ἀφνειός τ' ἀγαθός τε, Κορινθόθι οἰκία ναίων.
Ὅς ῥ' εὖ εἰδὼς κῆρ ὀλοὶ ὦϊ νηὸς ἔβαινε.
Πολλάκι γὰρ οἱ ἔειπε γέρων ἀγαθὸς Πολύϊδος.
Νόσῳ ὦ ἀργαλέῃ φθίσθαι οἷς ἐν μεγάροισι.
Ἢ μετ' Ἀχαιῶν νηυσὶν ὑπὸ Τρώεσσι δαμῆναι,
Τῷ ῥ' ἅμα τ' ἀργαλέην θῶλυ ἀλέεινεν Ἀχαιῶν.
Νῆσόν τε συγχέῃσι, ἵνα μὴ πάθοι ἄλγεα θυμῷ.
Τὸν βάλ' ὑπὸ γναθμοῖο καὶ οὔατος, ὦκα δὲ θυμὸς
Ὤιχετ' ἀκὴ μελέων, συγερὸς δ' ἀρὰ μὲν σκότος εἷλεν.
Ὡς οἱ μὲν μάρναντο δίεμας πυρὸς ἀϊθομένοιο.

ἀλλά ποτ' ἰοχέαιρα.] ἀλλὰ φούξειαι δή που. ἀλλὰ σώθι, σιώπησον παραπλησιασμένης τοῖς ῥήσεσι. πρὸ φρένας ἔμμεναι ἄλλων.] φρονήσει διαφέρειν τῶν λοιπῶν θεῶν. σέο δ' ἐκ τάδε πάντα τέλονται.] ἐκ σοῦ ὄντα ταῦτα γίγνονται.

ἀτάσθαλον.] ἄδικον. ἐξ ὄρου ἴσαν.] προέσθαι τὴν ἐπιθυμίαν. πορεῖσθαι. ἀμφεπόνοντο.] πρὸ αὐτῶν ἐσχολάζοντο. αὐήσαντες.] αὐαθέντες, αὐάσαντες βιβάσαντες. μετὰ δέ σφι πατὴρ κίε δάκρυα λείβων.] μετ' αὐτῶν ὁ πατὴρ ἐπορεύετο δάκρυσι καταῤῥεόμενος. ῥητέον ἢ πῶς αὐωτέρω αὐηρημένον ὑπὸ Μενελάου ὁ Πυλαιμένης, τὰ νῦν δύναται ἀκολουθῶν τῷ παιδὶ καὶ κλάων. ἐστὶ ἢ λέγειν ὅτι δύο Πυλαιμένεις Παφλαγόνων ἡγεμόνας συνίστησιν ὁ Ποιητής. ὡς Αἴαντας δύο, καὶ Εὐρυβάτας δύο κήρυκας. ἢ ἦ Ἀγαμέμνονος, ἢ ὁ Ὀδυσσέως. ἔνιοι ἢ πιθανῶς μεταγράφουσι. μεταδ' ἃ σφισι πατὴρ κίε δάκρυα λείβων. ποινὴ δ' οὔτις παιδὸς ἐγίνετο τεθνειῶτος.] ἐπεὶ ἐχ ὁ πατὴρ τιμωρεῖ αὐτῷ ἀλλ' ὁ Ἀλέξανδρος καταλιπὼν ὑπὲρ αὐηρημένης, συγήνορας ἢ Κορίνθιον αὐαιρεῖ. Κορινθόθι οἰκία ναίων.] ἐν Κορίνθῳ κατοικῶν. τῶν οἰκίαν ἔχων. θωΐμ.] τῶν ῥημάτων. λέγει ὁ τὸ δι στρατιάς ἐπιζήμιον.

πρὸς ἢ

Ἕκτωρ

Ἕκτωρ δ᾽ ὀκ ἐπέπυστο Διὶ φίλῳ, οὐδ᾽ ἔτι ἤδει
Οἶμοι ῥᾲ οἱ νηῶν ἐπ᾽ ἀριστερὰ λιγύοντο
Λαοὶ τῶ Ἀργείω, τάχα δ᾽ αὖ καὶ λυγρὸν Ἀχαιῶν
Ἔπλετο, τοῖος γὰρ Γαιηοχος ὠνοσίαο
Ὦτρυν᾽ ἄργεάς, πρὸς δὲ θοὸν ὤτρυνε καὶ αὐτὸς ἄμυνεν,
Ἀλλ᾽ ἔχεν ἣ τὰ πρῶτα πύλας καὶ τεῖχος ἐσᾶλτο
Ῥηξάμενος Δαναῶν τυκινὰς σίχας ἀασιάων.
Ἔνθ᾽ ἔσαν Αἴαντός τε νέες καὶ Πρωτεσιλάου.
Οἳ δ᾽ ἐφ᾽ ἁλὸς πολιῆς εἰρυμένοι, αὐτὰρ ὕπερθε,
Τεῖχος ἐδέδμητο χαμαιλώτατον, ἔνθα μάλιστα
Ζαχρηεὶς γίνοντο μάχη. αὐτοί τε καὶ ἵπποι.
Ἔνθα δὲ Βοιωτοὶ, καὶ Ἰάονες ἑλκεχίτωνες.
Λοκροὶ καὶ Φθῖοι, καὶ φαεσιμόγοντες Ἐπειοὶ,
Σπερχειῷ ἐπαίσσοντα νεῶν ἔχον, οὐδ᾽ ἐδύναντο
Ὦσαι ἀπ᾽ σφείων φλογὶ εἰκελον Ἕκτορα δῖον.
Οἱ μὲν Ἀθηναίων πολεμήϊοι, ἔνθα δ᾽ ἄρα τοῖσιν,
Ἦρχ᾽ ὑὸς Πετεῶο Μενεσθεύς. οἵσιν δ᾽ ἅμα ἕποντο
Φείδας τε, Στίχιός τε, Βίας τ᾽ εὖς. αὐτὰρ Ἐπειῶν
Φυλεύς τε, Μέγης, Ἀμφίων τε, Δρακίος τε,
Πρόφθοός τε, Μέδων τε, Μενεσθέος τε πόδ᾽ ἄρκης
Ἦστην ὁ μὲν νόθος υἱὸς Οἰλῆος θείοιο,
Ἕστη Μέδων Αἴαντος ἀδελφεός, αὐτὰρ ὁ γαίων
Ἐν φυλάκῃ γαίης ἀπὸ πατρίδος, ἄνδρα κατακτὰς,
Γνωτὸν μητρυιῆς Ἐριώπιδος, ἣν ἔχ᾽ Οἰλεύς.
Αὐτὰρ ὁ Φείδιππος καὶ Τήνθρηδων ἀγὸς ἀνδρῶν
Ἔστην ἐγγὺς ἰόντε, πεπυκασμένοι ἐν φάλαγγι.
Οὐδ᾽ ἔλαθ᾽ Αἴας ὃς πρὶν ἐπ᾽ ἀνδράσιν ἔγχεϊ μάρνα
Τρωσὶν τε καὶ Ἕκτορι χαλκοκορυστῇ.
Οἵσιν δ᾽ ὄπιθεν βάλλοντες ἐλάνθανον, ἀσπίδι κάρμης
Τρῶες μιμνήσκοντο, σιωπηκλόνεον γὰρ ὀϊστοί.
Ἑστασαν λυγαλέως νηῶν ἄπο καὶ κλισιάων,
Τρῶες ἐχώρησαν πρόσθε Ἰλιον ἠνεμόεσσαν,
Εἰ μὴ Πολυδάμας θρασὺν Ἕκτορα εἶπε παρᾶσας,
Ἕκτορ ἀμηχανός ἐσσι παρῴητοῖσι πιθέσθαι.
Οὔνεκά τοι περὶ σοῖσι θεὸς πολεμήϊα ῥῦγα,
Τὔνεκα καὶ βουλῇ ἔβελεν πόδα ἴκμενα ἄλλων;
Ἀλλ᾽ ὅπως ἅμα πάντα δυωήσεαι αὖτος ἑλέσθαι.
Ἄλλῳ μὲν γὰρ ἔδωκε θεὸς πολεμήϊα ῥῦγα.
Ἄλλῳ δ᾽ ὀρχηστύν, ἑτέρῳ κίθαριν καὶ ἀοιδήν,
Ἄλλῳ δ᾽ ἐν στήθεσι τίθει νόον εὐρύοπα Ζεὺς
Ἐσθλόν, τοῦ δέ τε πολλοὶ ἐπαυρίσκοντ᾽ ἄνθρωποι.
Καί τε πόλεις ἐσάωσε, μάλιστα δ᾽ ἔκ αὐτὸς ἀνέγνω.
Αὐτὰρ ἐγὼν ἐρέω, ὥς μοι δοκεῖ ἔμμεν ἄριστα,
Πάντῃ γάρ σε πόδες σέφανον πολεμοιο δέδηκε.
Τρῶες δὲ μεγάθυμοι ἐπὶ ἦϊ τεῖχος ἔβησαν
Οἱ μὲν ἀφεστᾶσιν σὺν τεύχεσιν, οἱ δὲ μάχονται
Παυρότεροι πλεόνεσι κεδασθέντες κατὰ νῆας.
Ἀλλ᾽ ἀναχασσάμενος κάλει ἐνθάδε πάντας ἀρίστους.
Ἔνθ᾽ ἂν μᾶλλα πᾶσαν ὐπὲρ φρεσὶ βάλῃ ἀμφιγυήεις
Ἦκά οἱ νήεσσι πολυκλήϊσι θέσθαι,
Αἴκ᾽ ἐθέλησι θεὸς δόμεναι κράτος, ἦκα ἔπειτα.
Πὰρ νηῶν ἐλθοιμεν ἀπήμονες, ἢ γὰρ ἔγωγε
Δείδω, μὴ τὸ χθιζὸν ἀρτίσωνται Ἀχαιοὶ
Χρεῖος, ἐπεὶ πρὸς νηυσὶν ἀνὴρ ἄτος πολέμοιο
Μίμνει, ὃν οὐκέτι πάγχυ μάχης ἀπόνασθαι οἴω.
Ὣς φάτο Πολυδάμας, ἄδε δ᾽ Ἕκτορι μῦθος ἀπήμων
Αὐτίκα δ᾽ ἀπ᾽ ὀχέων σὺν τεύχεσιν ἆλτο χαμᾶζε,
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα,
Πολυδάμα, σὺ μὲν αὖτοῦ ἐρύκακε πάντας ἀρίστους.
Αὐτὰρ ἐγὼ κεῖσ᾽ εἶμι καὶ αὖτίος πολεμοιο.
Αἶψα δ᾽ ἐλεύσομαι αὖτις, ἐπὴν εὖ πᾶσι τέλωμαι.
Ἦ ῥα, καὶ ὁρμήθη ὀρεὶ νιφόεντι ἐοικώς.
Κεκλήγων, διὰ δὲ Τρώων πέτετ᾽ ἰδὲ ὑδὶ κέρων.
Οἵδ᾽ ἅθρουν Πανθοίδην Ἀγαπήνορα Πολυδάμαντα,
Πάντες ἐπεσσεύοντ᾽. ἐπεὶ Ἕκτορος ἔκλυον αὐδήν.
Αὐτὰρ ὁ, Δηΐφοβόν τε βίην θ᾽ Ἑλένοιο ἄνακτος.
Ἀσιάδην τ᾽ Ἀδάμαντα καὶ Ἀσιον Ὑρτάκου υἱόν.
Φοίτα ἀνὰ πρόμαχος διζήμενος ἔμπεδον ἐφεύροι.
Τὸν δ᾽ εὗρ᾽ ὀκέτι πάμπαν ἀπήμονας οὐδ᾽ ἀνολέθρους.
Ἀλλ᾽ οἱ μὲν δὴ νηυσὶν ὑπ᾽ πρύμνῃσιν Ἀχαιῶν.
Χερσὶν τῶ Ἀργείω κέατο ψυχὰς ὀλέσαντες.
Οἵδ᾽ ἐντεῖχεν ἔσαν βεβλημένοι, ὀτάμενοί τε.
Τὸν δὲ πάϊ᾽ εὗρε μάχης ἐπ᾽ ἀριστερὰ λαοσσόου

ὠρὲς ἢ ὄφελε αὐτὸς ἄμυνε.] πρόσε βοήσει ἢ καὶ αὐτὸς τῇ δυνάμει αὖτ᾽ χαμαιλώτατον.] κοιλότατον.

Ἰάονες.] Ἰωνες. λέγει ἢ τὸς Αθηναίους ἀπὸ Ιωνος τοῦ Κρεούσης τοῦ Ερεχθέως καὶ Ξούθου τοῦ Ἑλληνος. ἑλκεχίτωνες.] βαθῆς χιτῶνας ἔχοντες, ἄζωστοι.

Φθῖοι.] οἱ τὴν ὑπὸ Πρωτεσιλάου Φθίαν πόλιν Θεσσαλίας οἰκοῦντες. οἱ ἢ τὴν ὑπὸ Αχιλλέως Φθιῶται καλοῦνται. φαιδιμόεντες.] ἐπιφανεῖς καὶ λαμπροὶ ταῖς πράξεσι. προλελεγμένοι.] προκατηριθμημένοι. ἧμ᾽ ἐχ᾽ Οἰλεύς.] ἧμ ἐγεγαμήκει Οἰλεύς. προφθίων.] πρὸ τοῦ φθίων. νεῶν.] ὑπὸρ τῶν νεῶν. βόε οἰνοπε.] ἤτοι μέλανες, ἢ ξανθοί. τιτάνεσσιν.] τίμησιν, ἕλκεσι. πρυμνοῖσι] πρόσθεν τοῖς ἐσχάτοις μέρεσι τῶν πράτων τοῖς πρὸς τὴν ἐκφυσιν. ἀνακηκίη.] ἀναφέρεται. ἀμφὶς ἑέργει.] διέργει, χωρίζει. ὦλκα.] τὴν αὔλακα. τέμνει δὲ τε τέλσον ἀρότης.] τέμνεται ἢ ἀπὸ βάθος γῆς. τέλσον.] τέλος. ὄβε δίεχοντο.] διεδίεχοντο. ὀ γὰρ σφι σταδίη ὑσμίνη μίμνε φίλον κῆρ.] ὁ γὰρ ὑπέμενον τὴν συστάδην μάχην. συνεκλονέοντο.] συνεταράσσοντο. λευγαλέως.] ὀλεθρίως, ἀσθενῶς.

παρῴητοῖσι.] παραμυθητικοῖς. παραινετικοῖς. περιίδμεναι.] πόρισασθαι ἀσθένειαν. ἅμα.] νῦν ἐπὶ ῥέμα χρὴ νῦν ἁπλωτικῶν. ἐπαυρίσκοντ᾽.] ἐπικτῶνται. μάλιστα δ᾽ ἐκ αὐτὸς ἀνέγνω.] βεβαιότατος ἢ ἠκούσατο αὐτὸς ἐγνώρισε τὸ δὲ συνέσεως ἀγαθόν. πάντῃ γάρ σε πόδες] πόθεν σέφανον πολέμιοι δέδηκε.] πανταχόθεν γάρ σε περιεπεπλώσαντο οἱ πολέμιοι. ἐπιφρασσάμεθα.] ἐπινοήσωμεν. ὡίσωμεν.] ἐμπίσωμεν, ἐσπλεύσωμεν. μὴ τὸ χθιζὸν ἀποτίσωνται Αχαιοὶ χρεῖος.] μήπως τῶν χθισινῶν ἕνεκεν ἀποδώσουσιν ὑμῖν οἱ Ελληνες ὥσπερ σαθμῷ διεπανεκότες. μισθὸν γὰρ νομισμάτων ὑπαρχόντων, σαθμῷ ἐλαύνεσθαι οἱ ἀρχαῖοι χρυσίον καὶ ἀργύριον καὶ τὰ παραπλήσια.

χρεῖος.] λαοὶ εἶεν. σχήσεσθαι.] ἀποπαύσασθαι. ἄδε.] ὕβρισον. αὐτιόω.] ἀπαντήσω, μεταλήψομαι.

Ἀγαπήνορα.] ἀγαπῶντα τὴν αὐθρίαν, πολεμικόν. ἀπήμονας.] ἀβλαβῆς, ἀσινεῖς. τὸς δ᾽ οὐ πάμπαν ἐκέτι πάμπαν ἀπήμονας οὐδ᾽ ἀνολέθρους.] συλλήπτικῶς πέφρακεν. αὐτί τοῦ τὸς μὲν ἀπήμονας, τὸς τετρωμένους. τὸς δ᾽ ἐκ ἀνολέθρους, τὸς ἀπηχμένους. βεβλημένοι ὀτάμενοί τε.] αὐτί τοῦ οἱ μὲν ἀπὸ μάχης βεβλημένοι δόρατι ἢ ἰῷ. οἱ δ᾽ ἐκ τοῦ ἐγγὺς τετρωμένοι, ξίφει, ἤ τινι τοιούτῳ θαρσύνοντα.

Δῖου Ἀλέξανδροιο ἑλόντες πόσιν ἠϋκόμοιο,
Θαρσύνου ἕτερος, καὶ ἐποτρύνοντα μάχεσθαι.
Ἀγχοῦ δ' ἱστάμενοι, πεδέφην ἀκαχοῖς ἐπέεσσιν.
Δύσπαρι εἶδος ἄριστε γυναιμανές, ἠπροπόδοτά.
Πῆ τοι Δηΐφοβός τε, βίη δ' Ἑλένοιο ἄνακτος,
Ἀσιάδης τ' Ἀδάμας, ἠδ' Ἀσιος Ὑρτάκη υἱός.
Πῆ δέ τοι Οὐρβανεύς, νῦν ὤλετο πᾶσα κατ' ἄκρης
Ἴλιος ἀπειφή, νῦν τοι σῶς ἀπὸς ὄλεθρος.
Τὸν δ' αὖτε προσέειπεν Ἀλέξανδρος θεοειδής.
Ἕκτορ ἐπεί τοι θυμὸς ἀναίτιον ἀπιάπαδαι.
Ἄλλοτε δ' ἤποτε μᾶλλον ἐρωῆσαι πολέμοιο
Μέλλω, ἐπεὶ δή μ' ἐμὲ πάμπαν ἀνάλκιδ' ἀγείνατο μήτηρ
Ἐξῆς γὰρ πρὸ νυσὶ μάχην ἤγειρας ἑταίρων,
Ἐκ τοῦ δ' ὧδ' ἐόντες ὁμιλέομεν Δαναοῖσι
Νωλεμέως, ἕταροι δὲ κατέκταθεν ὃς σὺ μεταλλᾷς,
Οἶον Δηΐφοβός τε Βίης Ἑλένοιο ἄνακτος.
Οἴχεσθον μακρῆσι τετυμμένω ἐγχείῃσιν.
Ἀμφοτέρω χεῖρε, φόνου δ' ἅμυσε Κρονίων.
Νῦν δ' ἄρχ' ὅππη σε κραδίη θυμός τε κελεύει.
Ἡμεῖς δ' ἐμμεμαῶτες ἀμ' ἑψόμεθ' ὀδ' ἐτ' φημί
Ἀλκῆς δ' ὑσέεσθαι, ὅσην δύναμίς γε πάρεσι.
Πὰρ δύναμιν δ' οὐκ ἔστι καὶ ἐσσύμονον πολεμίζειν.
Ὣς εἰπὼν πρὸ ἔπεισεν ἀδελφεὸν φρεσὶν ἥρως.
Βὰν δ' ἴμεν, ᾗ θάλιστα μάχη καὶ φύλοπις ἦεν.
Ἀμφί τε Κεβριόνην καὶ ἀμύμονα Πάλυν' ἄμαντα.
Φάλκην Ὀρθαῖόν τε, καὶ Ἀντίθεον Πολυφοίτην.
Πάλμυν τ', Ἀσκάνιόν τε, Μόρυν θ' Ὑιὲ Ἱπποσίωνος.
Οἵ ῥ' ἐξ Ἀσκανίης ἐριβώλακος ἦλθον ἀμοιβοί.
Ἠοῖ τῇ πρότερον, τότε δὲ Ζεὺς ὦρσε μάχεσθαι.
Οἵ δ' ἴσαν ἀργαλέων ἀνέμων ἀτάλαντοι ἀέλλῃ.
Ἣ ῥά θ' ὑπὸ Βορέῃ πάτρος Διὸς ἔσπετο νηλὲ
Θεσπεσίῳ δ' ὁμάδῳ ἁλὶ μίσγεται, ἣν δέ τε πολλὰ
Κύματα παφλάζοντα πολυφλοίσβοιο θαλάσσης
Κυρτὰ φαληριόωντα, πρὸ μὲν τ' ἄλλ' αὐτὰρ ἐπ' ἄλλα.
Ὣς Τρῶες πρὸ μὲν ἄλλοι ἀρηρότες, αὐτὰρ ἐπ' ἄλλοι
Χαλκῷ μαρμαίροντες ἅμ' ἡγεμόνεσσιν ἕποντο.
Ἕκτωρ δ' ἡγεῖτο Βροτολοιγῷ ἶσος Ἄρηϊ.
Πριαμίδης, πρὸ ἕθεν δ' ἔχεν ἀσπίδα πάντοσε ἴσην,
Ῥινοῖσιν πυκινῇσι, πολλὸς δ' ἐπελήλατο χαλκός.
Ἀμφὶ δὲ οἱ κροτάφοισι, φαεινὴ σείετο πῆληξ.
Πάντῃ δ' ἀμφὶ φάλαγγας ἐπειρᾶτο προπρολέζων
Εἴπως οἱ εἴξειαν ὑπαπαιόλια προβιβῶντι.
Ἀλλ' οὐ σύγχει θυμὸν ἐνὶ στήθεσσιν Ἀχαιῶν.
Αἴας δὲ πρῶτος προκαλέσσατο μακρὸν βιβάσθων.
Δαιμόνιε σχεδόν ἦλθε, πέπον δεδιέσθαι ἔπος
Ἄργείους, ὅσσοί τε μάχης ἀδήμονες εἰμέν.

Ἀλλ' ἀ

Ἀλλὰ Διὸς μέσσῃσι κάκῃ, ἐδέμεν μεμαῶτε Ἀχαιοί.
Ἦ θήν πού τοι θυμὸς ἐέλπεται ὀβριμοεργὸν
Νῆας, ἅφαρ δ' ἐλθεῖν τε χέρες ἀμύσειν εἰσὶ καὶ ἡμῖν
Ἦ κε πολὺ φθαίη εὖ ναιομένη πόλις ὑμή,
Χερσὶν ὑφ' ὑμετέρῃσιν, ἁλοῦσά τε περθομένη τε.
Σοί δ' αὐτῷ φημὶ χεδόν ἐμμεναι, ὁππότε φεύγων
Ἀρήσῃ Διΐ πατρὶ, καὶ ἄλλοις ἀθανάτοισι,
Θάσσονας ἱππους, ἐμέναι κελὶ πρὶχας ἵππους.
Οἵ σε πόλιν δ' οἴσουσι πονίοντες πεδίοιο.
Ὡς ἄρ' ἄρ' οἱ ἐπόντι ἐπέπταθ' ὁλειὸς ὄρνις,
Αἰετὸς ὑψιπέτης. ἀῖσε δ' ἴαχε λαὸς Ἀχαιῶν,
Θάρσει οἰωνῶν, ὅδ' ἀμείνων φαίδιμος Ἕκτωρ.
Αἶαν ἀμαρτοεπὲς Βαγάϊε, ποῖον ἔειπες;
Αἲ γὰρ ἐγὼν ὄτω γε Διὸς παῖς ἀγκυλοχείρω
Εἴην ἤματα πάντα, τέκοι δέ με πότνια Ἥρη
Τιοίμην δ' ὡς τίετ' Ἀθηναίη καὶ Ἀπόλλων,
Ὡς νῦν ἤμερη ἥδε, κακὸν φέρει Ἀργείοισι
Πᾶσι μάλ'. ὧν δὲ σὺ τοῖσι πεφήσεαι, ἄκτε παλαίστης
Μέσσαι ἐμὸν δόρυ μακρὸν, ὅ τοι χρόα λειρίοεντα
Δάψει, ἀτὰρ Τρώων κορέσεις κύνας ἠδ' οἰωνούς,
Δημῷ καὶ σάρκεσσι πεσὼν ἀδὲν νηυσὶν Ἀχαιῶν.
Ὡς ἄρα φωνήσας ἤγήσατο, τοὶδ' ἅμ' ἕποντο
Ἠχῇ θεσπεσίῃ, ὧν δ' ἴαχε λαὸς ὄπισθεν
Ἀργεῖοι δ' ἐτρώθεν ὑπ' ἄκρου, δὸν δ' ἐλάθοντο
Ἀλκῆς, ἀλλ' ἐμνῶντο Τρώων ἐπιόντας ἀρίστους.
Ἠχήσ' ἀμφοτέρω ἴκετ' ἀθέρα καὶ διὸς αὐγάς.

ΙΛΙΑ

ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

Ἀγαμέμνων συλλαβὼν τὰς γραυματίας καὶ Νέστορα σὺν αὐτοῖς, ἐξεσιν ὑπὸ τ' πόλεμον, Ἥρα ὑ τ' πειθὼ λαβοῦσα παρὰ τ' Ἀφροδίτης, ἰματ' ἐρχεται, καὶ τὸν ὕπνον πάσασα, κοιμίζει τὸν Δία. Ποσειδῶν ὑ τοῖς Ἕλλησι βοηθεῖ. καὶ πολὺς φόνος γίγνεται τ' Τρώων. Αἴας ὑ λίθῳ βαλὼν Ἕκτορα, πλήσσει ὁ ὑ ἀναγαγὼν ἅμα, λειποψυχῇ. ἀφιστάνει ὑ καὶ Αἴας ὁ Λοκρός.

ΣΧΟΛΙΑ

θαρσύνοντα.] παροξυνόντα. νῦν τοι σῶς ὄλεθρος.] νῦν δὴν ἑλλήπει σοι πρὸς ἀπώλειαν. ἄλλοτε.] ἐν ἄλλῳ καιρῷ. ἐρωῆσαι πολέμοιο μέλλω.] ἔοικα ἀμελήσειν τ' πολέμου. ἀνάλκιδα.] ἀδύνατον. τετυμμένω.] πεφωνημένω ἐκ χειρός. Ἀσκανίης.] Ἀσκανίαν πόλιν Φρυγίας. ἀμοιβοί.] ἤτοι διὰ ἀμοιβῆς καὶ ἐναλλάξεως παραγενόμενοι συμμαχῆσαι τοῖς Τρωσίν. ἀντὶ τ' πρότερον συνοδεύοντων αὐτοῖς πολιτῶν. διὰ γὰρ τὸ ὠδὶ δέ καὶ ἑτ' πόλεμον αὐύπαδες οἱ πρῶτοι μνημονύοντες κατὰ μάχην. ἰσαρίθμων αὖ τοῖς ἄλλων ἀποστελλομένων ἀπεπέμποντο ὡς ἐκὸς διὰ ἀμοιβῆς ἀμύνοντες. ἢ οἱ ἀμοιβὼ ἀποδιδόντες τῷ Πριάμῳ. διὰ τὸ μὴ αὐτ' συμμαχῆσαι φρυξὶν ἐπιφέρει, ἀοῖ τῇ προτέρῃ. λέγει γὰρ ἐν τῷ καταλόγῳ φόρμυς αὖ φρύγας ἦγε καὶ Ἀσπάνιος θεοειδής. ἢ ἀμοιβοί. πεζοί. διὰ γὰρ δὴ ἀμοιβῆς τ' ποσῶν γίγνεται τ' πεζῶν ἔφοδος. ἠοῖ τῇ προτέρῃ.] τῇ χθὲς ἡμέρᾳ. ὑπὸ βρονδί.] ἀντὶ τ' μετὰ βρονδί. πάλοντες.] ἐκ τοῦ ἑλαφρῷ. θεσπεσίῳ ὁμάδῳ.] θέῳ βορύβῳ. ἁλί.] τῇ θαλάσσῃ. παφλάζουσα.] ἐχέντα, ἀναζέοντα. ὀνοματοποιία ὁ ῥόπος. κυρτά.] ὑψηλά. φαληριόωντα.] λευκαινίζοντα. τετύχεσι λευκαινόμενα ὑπὸ ἀφροῦ. πρὸ μὲν τ' ἄλλα αὐτῷ ἐπ' ἄλλα.] ἄλλα πρὸ ἄλλων. στέγειν ἐπάλληλα, συνηνά. ἐπελήλατο.] ἐπικατεσκεύασο. ἀμφὶ ὑ οἱ προτάφοισι φαεινὴ σείετο πῆληξ.] πρὸς ὑ τοῖς προτάφοις αὖ ἐσείετο ἡ περίπυ φαλάρα σφοδρῶς ἐνεργοῦντος. ἀ σύγχει.] ὄκ ἐθορύβει, ὄκ ἐταράττει. βιβάσθων.] διαβάς. δεισίσατε.] ὡς δέος ἔχεις, ἐκφοβᾶς.

ἀδελφεὸν.] ἀμαθῆς. Διὸς μέσσῃσι.] τῇ Διὸς πλαγῇ, τῷ περαυνῷ. ἦ θήν.] ὄντως δή. ἐβαλαπάξειν.] κυρώσειν, πορθήσειν. φθαίη.] φθάσει. ἰρήκων.] ἰόβλακον. ἐστὶ ὑ ἐδὲ ἀεί. πονίοντες.] πονιορτὸν ἐγείροντες. ἀίξει.] αἴσει, ἀγαθός. θαρσύνου.] πεθαρρήκως. ἀμαρτοεπὲς.] ἀμαρτάνων τ' σκοπὸ τ' λόγων. βαγάϊε.] μεγάλως ὠδὲ σ' αὐτῷ ἀγλαϊζόμενε καὶ γαυριῶν, ἢ βαρύγλωτα. πεφήσεαι.] ἀναιρεθήσῃ, φονευθήσῃ. παλαίστης.] τλῆς, ὑπομένεις. λειριόεντα.] σύαρ θῦ, ῥυφρὸν, ἢ λιπαρόν. δάψει.] διακόψει, τρώσει. Διὸς αὐγάς.] τὰς Διὸς ἀπολάμψεις.

ΣΧΟΛΙΑ ΕΙΣ ΤΗΝ Ξ ΤΟΥ ΟΜΗΡΟΥ ΠΑΨΩΙΔΙΑΝ.

Εσορα δ' ὀπ ἔλαθεν ἰαχὴ πίνοντά περ ἔμπης.] σφόδρα συντόνως ἐσάγεται ὁ Νέστωρ μὴ νικώμενος ὑπὸ μέθης τὸν λογισμόν. ἔλαθε.] σημαίνει ἢ τὸ ἐκ προαιρέσεως μαθόντα παρακέκλασθαι ὡς τὸ, ἠδὲ τότ' ἐγὼ Κίρκης ἠλθόμην. ἰαχήν.] ἠχήν, πραυγήν. ἔμπης.] ὅμως. σημαίνει ἢ ἠδὲ τὸ ὁμοίως. ἐβήσατο ἢ πῶς ὁ Νέστωρ ἐπὶ τοσοῦτον οἴνου χρόνον ἀφῆκεν ἐκ τῶν ἐσχάτων ἁλίσκεσθαι. ἢ ἀπὸ τῶν ἐσχάτων ἁλίσκεσθαι. ἢ λάμβανε. ἢ ῥᾳθύμως τοῦτο ὅτι ὁ τοσοῦτον χρόνον ἔπινεν, ἀλλ' Ομηρος κατὰ παρέκτασιν ἀπαγγέλλας τὰς πράξεις, βουληθεὶς τι ὠδὶ τὸν Νέστορα ἐπανελθεῖν, ἀπὸ ταύτης τῆς πράξεως ἤρξατο. ἣν παρὼν κατέλιπε ποιοῦντα. ὅπως ἔσται.] ὡστ' ἢ ὅπως γενήσεται. τὸ ἔσται διαφέρει ἢ γενήσεται. τὸ μὲν γὰρ ὠδὶ ἢ ὑπάρχον τοῦ. ὡς ἔσται γέρων δόλιε, τὸ δὲ ὠδὶ ἢ μὴ ὄντος, γενήσεται πᾶσι. αἰθοπα οἶνον.] νῦν ὀρυθρόν. λύσε ἀπὸ βρότου.] ἀπόλυσον ἢ μολισμὸν ἢ αὐθρωπήιον αἷματος. αἱματόεντα,] ἡμαγμένον. τάχα.] ταχέως. ἐίσομαι.] γνώσομαι, ἢ φανήσομαι. ἐλεμαιωμένω.] τόπον ὑψηλὸν, ὃς ἔ περιωπήσαιτο καὶ μὴ περιβλέψαι ὅσα πάντα. ὃ δ' ἔχ' ἀσπίδα πατρὸς ἑοῖο.] ψιθυρῶς. ὁ νέος ἀσπὶς μὲν ἡ ἀσπὶς κεχρημένος τῇ χρυσῇ ἀσπίδι, προέρηκε γὰρ πρὸ αὐτῆς ὁ Ποιητής. ἀλλ' ἀφομαρτέτον καὶ σπεύδετον, αἱ καὶ λάβωμεν ἀσπίδα Νεστορέην. ἢ νῦν κλέος ὄφρα νέωμαι πᾶσαν χρυσείην ἐμεναι καναάς τε καὶ αὐτόν. ἀναχαμένω.] ἐστομωμένον, ὠξυμμένον. ἀεικὲς.] ἀπρεπὲς. ὀρινομένους.] ταραττομένους. κλονέοντας.] ταράσσοντας. ὀρίηπτο.] κατεβέβλητο, κατύρηπτο. ἔστι δὲ ῥῆμα ἐρίπτω, ὃ σημαίνει τὸ πίπτω. ὄφρα δ' ὡς ὅτε τίς ῥ' ἀχερωΐς. ἢ ἀχερωΐς σημαίνει δὲ καὶ τὸ καταβάλλω, ἔ γίγνεται παθητικὸν, ὀρίπτομαι αἰτὶ ἢ καταβάλλομαι. καὶ ἠερίμμαι παθητικὸς παρακείμενος. ἠερίμμην ὑπερσυντέλικος. ἤερτο καὶ Ατλικὸς αὐκαλιπλασιασμὸς ὀρύριπτο, καὶ κατὰ συγολὴν ἐρίηπτο. πορφύρη.] μελαίνει, παράγει. κύματι πωφῷ.] τῷ λίχα αὔημα ἐπαιρομένῳ τῷ ἀψόφῳ. καὶ μηδένα ἔχον ἀποτελέντιμηδὲ πω γὰρ αὔημα σὺν ἰνῆσι ἔντος τὸ λεῖμα ὁρεμᾷ. ὀσόμενον.] ἤτοι προσδιεχόμενον, ἢ προσημαίνον. λιγέως.] σφοδρῶς πνεύντων, ὀξέως. λαιψηρὰ.] ταχέα. πίλεσθα.] τὰς θαλασσίους ὁρμάς. αὖτως.] νῦν ἀπράκτως. προνυλίνδηται.] προσωτέρω κυλίεται. ὀδ' ἑτέρωσε.] ὀδὶ ὄπιοθεν. ἵν' ἢ ἀπὸ ποινὸ τὸ κυλίνδεται ὅ ἐστιν ὀδ' ὄπιοθεν αὐκαπάπτει τὸ κῦμα. κεκειμένον.] ἀφορισμένον, ἢ τοῦτο καὶ σφοδρόν. ἐκ Διός.] αὐτὶ ἢ ἐκ τῶν ἐφιλῶν. ἔρον.] τὸν ὁρμῆς αἴτιον. ὦρμαινε.] διενοῦτο. λαϊβόμενος κατὰ θυμὸν.] διεχῶ μεριζόμενος τῷ σκέμματι τὸν λογισμόν. τουτέστιν ὠδὶ πολλὰ τὸν λογισμὸν μεταφέρων καὶ διασπώμενος. ἴοι.] πορεύοιτο. λεάσσατο.] ἔλοξε. κέρδιον.] ἱμάσσον, ὠφελιμώτερον. λάπτω.] ἔχει, ψόφει. ἀτειρὲς.] ἄτρωτον ὁ τειρόμενος.

ΙΛΙΑΔΟΣ Ξ ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

Ξί, Κρονίδλω ὕπνῳ λεχέεσσινθ' ὑπαφῦσ Ηρη.

Εσορα δ' ὀπ ἔλαθεν ἰαχὴ πίνοντά περ ἔμπης.
Αλλ' Ασκληπιάδην ἔπεα πτερόεντα προσηύδα.
Φράζεο δῖε Μαχάων ὅπως ἔσται τάδε ἔργα.
Μέζων δή πω νῆϊς ἀϋτὴ λαοῖσι βοᾶται.
Αλλὰ σὺ μὲν νῦν πῖνε καθήμενος ἄλφιτα οἶνον.
Εἰόκε βερμὸ λοετρὰ ἐϋπλόκαμος Εκαμήδη
Θερμήνῃ, καὶ λόσσῃ ἀκὴ βρότου αἵματόεντα.
Αὐτὰρ ἐγὼν ἐλθὼν τάχα εἴσομαι ὃν πτολιάρχην.
Ως εἰπὼν, σάκος εἶλε τετυγμένον υἷος ἑοῖο.
Κάμμορον ἦ κλισίηι Θρασυμήδεος ἱπποδάμοιο,
Χαλκῷ παμφαῶνον, ὅδ' ἔχ' ἀσπίδα πατρὸς ἑοῖο.
Εἵλετο δ' ἄλκιμον ἔγχος ἀκαχμένον ὀξείῃ χαλκῷ
Στῆ δ' ἐκτὸς κλισίης, τάχα δ' εἴσιδεν ὄργνιν ἀεικὲς.
Τὸν μὲν ὀρινομένους, τοὺς δὲ κλονέοντας ὀπιδνῶ.
Τρῶας ὑπερθύμους, ἐρέειπτο δὲ τεῖχος Αχαιῶν.
Ὡς δ' ὅτε πορφύρη πέλαγος μέγα κύματι πωφῷ.
Οὐτὸ μὲν ὀρνυμένου λιγέως λαιψηρὰ κέλευθα
Αὔτως, ὀδ' ἄρα τε πτοκυλίνδεται, ὀδ' ἐτέρωσε
Πρίν τινα κεκριμένον καταβήμεναι ἐκ Διὸς ἔρου.
Ὡς ὁ γέρων ὥρμαινε, δαΐζομεν ᾗ θυμὸν
Διχθάδ', ἢ καθ' ὅμιλον ἰοὶ Δαναῶν ταχυπώλων.
Ἠὲ μετ' Ατρείδην Αγαμέμνονα ποιμένα λαῶν.
Ὥδε δὲ οἱ φρονέοντι δόασατο κέρδιον εἶναι.
Βῆναι ἐπ' Ατρείδην, οἵδ' ἀλλήλους γαλέζον
Μαρναμένοι, λάκε δ' ἔφι πολὺ χροϊ χαλκὸς ἀτειρής.
Νυσσομένων ξίφεσίν τε, καὶ ἐγχεσιν ἀμφιγύοισιν.

Νέσορι δὲ ξύμβλητο διοτρεφέες βασιλῆες.
Πὰρ νηῒ ἀϊόντες, ὅσοι βεβλήατο χαλκῷ.
Τυδείδης, Οδυσεύς τε, καὶ Ατρείδης Αγαμέμνων.
Πολλὸν γὰρ ἀπάνευθε μάχης ἐρύατο νῆες.
Θοὶ ἐφ' ἁλὸς πολιῆς, τὰς γὰρ πρώτας πεδίοιο
Εἵρυσαν, αὐτὰρ τεῖχος ἐπὶ πρύμνῃσιν ἔδειμαν.
Οὐδὲ μὰν δὴ εὐρύς περ ἐὼν ἐδυνήσατο πάσας
Αἰγιαλὸς νῆας χαδέειν, σέσατο δὲ λαοί.
Τῷ ῥα προκρόσσας ἔρυσαν καὶ πλῆσαν ἁπάσης
Ἠϊόνος στόμα μακρὸν, ὅσον συνέεργαθον ἄκραι.
Τῷ ῥ' οἵγ' ὀφέοντες αὖθι καὶ πολέμοιο.
Ἔγχει ἐρεσσόμενοι κίον ἀθρόοι, ἄχνυτο δὲ σφιν
Θυμὸς γὰρ σάθεσιν, ὁ δὲ ξύμβλητο γεραιός
Νέσωρ, πῆξε δὲ θυμὸν ἐνὶ στήθεσιν Αχαιῶν
Τὸν δὲ φωνήσας προσέφη πρέσβυν Αγαμέμνονα.
Ὦ Νέσορ Νηλείδη μέγα κῦδος Αχαιῶν.
Τίπτε λιπὼν πόλεμον φθισήνορα δεῦρ' ἀφικάνεις;
Δείδω, μὴ δή μοι τελέσῃ ἐπος ὄβριμος Εκτωρ.
Ὡς ποτ' ἐπηπείλησεν ἐνὶ Τρῶεσ' ἀγορεύων
Μὴ πρὶν πὰρ νηῶν προτὶ Ιλιον ἀπονέεσθαι.
Πρίν πυρὶ νῆας ἐνιπρῆσαι, κτεῖναι δὲ καὶ αὐτούς.
Κεῖνον δ' ὣς ἀγόρευε, τὰ δὴ νῦν πάντα τελεῖται.
Ὄπποι, ἦ ῥα καὶ ἄλλοι ἐϋκνήμιδες Αχαιοί.
Ἐμ θυμῷ βάλλονται ἐμοὶ χόλον, ὥσπερ Αχιλλεύς,
Οὐδ' ἐθέλουσι μάχεσθαι πρύμνῃσι νέεσσι.
Τόν δ' ἠμείβετ' ἔπειτα γερήνιος ἱππότα Νέσωρ.
Ἦ δὴ ταῦτά γ' ἔτοιμα τετεύχαται οὐδὲ κεν ἄλλως,
Ζεὺς ὑψιβρεμέτης αὐτὸς πρατεκτήναιτο.
Τεῖχος μὲν γὰρ δὴ κατερήεπτεν ὃ ἐπέπιθεμεν
Ἀρρηκτον νηῶν τε καὶ αὐτῶν εἴλαρ ἔσεσθαι.
Οἱ δ' ὧν ὑπερσι θοῇσι μάχην ἀλίαστον ἔχουσι
Νωλεμές, οὐδ' ἂν ἔτι γνοίης μάλα περ σκοπιάζων,
Ὁππότερῶθεν Αχαιοὶ ὀρινόμενοι κλονέονται,
Ὡς ὧν μιξ κτείνονθ', αὐτὴ δ' οὐρανὸν ἵκει,
Ἡμεῖς δὲ φραζώμεθ' ὅπως ἔσται τάδε ἔργα.
Εἴπη νόῳ ῥέξει, πολέμου δ' ὀκ ἄμμε κελεύω
Δύμεναι, ὀ γὰρ πως βεβλημένου ὀδὲ μάχεσθαι,
Τὸν δ' αὖτε προσέειπεν ἄναξ ἀνδρῶν Αγαμέμνων
Νέσορ, ἐπεὶ δὴ νηυσὶν ὧν πρύμνῃσι μάχονται,
Τείχος δ' ὀκ ἔχαδε μιν τετυγμένον σάκεϊ τε τάφρῳ,
Ἦ ἐπὶ πόλλ', ἐπάβοσ Δαναοί, ἔλπονθ' δὲ θυμῷ.
Ἀρρηκτον νηῶν τε καὶ αὐτῶν εἴλαρ ἔσεσθαι,
Οὕτω πῃ Διὶ μέλλει ὑπερμενέϊ φίλον εἶναι.
Νωνύμνως ἀπολέσθαι, ἀπ' Αργεος ὧδε δὴ Αχαιούς
Ἡδ' εἶ μ' ἐθέλοι, ὅτε πρόφρων Δαναοῖσιν ἀμῦναι,
Οἵδε δὲ νῶϊ ὅπ ὦδε μὴ ὁμῶς μακάρεσσι θεοῖσι

μενος ὑπὸ Αρεος. ξύμβλητο.] συνήντησεν. πὰρ νηῶν.] ἀντὶ ἢ ἀπὸ τῶν νηῶν. βεβλήατο.] βεβλημένοι ἦσαν πολλοί. πολύ. χαλκείῳ.] χωρῆσαι στένοντο.] ἐστενοχωροῦντο διὰ τὸ πολὺ τοῦ. προηρύσσας ἔρυσσαν.] ἄλλην πρὸ ἄλλης παραλλήλως ἀνείλκυσαν κλιμακηδὸν ἢ ἀνθυπέταξαν αὐτὰς ἀλλήλαις. πρόσαι γὰρ καλοῦνται αἱ τυχομάχοι πλίμακες. πλῆσαν.] ἐπλήρωσαν. ἐγέμισαν. ἠιόνος] τοῦ ἀρχήν. τοῦ ἐσβολὴν ἢ αἰγιαλοῦ. ὅσον συνέεργαθον ἄκραι.] ὅσον ἦν διάστημα ἅ συνέκλειον καὶ συνεδίσμην αἱ ἢ Ελλησπόντου ἄκραι τὸ Ροίτειον καὶ Σίγειον. ὀφέοντες.] ἀπτικῶς ἔχοντες. βέλοντες ἰδεῖν. ἐρεσσόμενοι. ἐκβριαζόμενοι. σκηριπτόμενοι. πῆξε ἢ θυμόν.] τὸ εὔρωστον καὶ εὔθυμον τοῖς ἐν μάχῃ ψυχῆς εἰς δίεος ἤγαγε. γράφεται ἢ καὶ πῦξε. ἵν' ᾖ ἀκίνητον ἐποίησεν. ἑτοῖμα.] εὐπλητα. φανερά. τετεύχαται.] κατεσκεύασται. παρατετήνατο παρατεχνάσατο. ἐπινοήσει. κατερήριπτε.] κατηνέχθη. κατέπιπτεν. ἐπέπιθεμεν. ἐπεπίθεμεν. ἐπεπιστεύκεμεν. ἀῤῥήκτου.] σφριγόν. ἔλαρ.] ἀσφάλεια. ἀλίαστον.] ἀδιάλειπτον. ὃν ἐχρασάμεν. ὃν ἐβούθησεν. ἤδεια. ἤθελεν. ὑπισάμην.

κυδαίνει.]

Κυδαίνει, ἡμέτερον δὲ μένος καὶ χεῖρας ἔδησεν.
Ἀλλ' ἄγεθ' ὡς ἂν ἐγὼ εἴπω, πειθώμεθα πάντες.
Νῆας ὅσαι πρῶται εἰρύαται ἄγχι θαλάσσης,
Ἕλκωμεν, πάσας δὲ ἐρύσσομεν εἰς ἅλα δῖαν,
Ὕψι δ' ἐπ' εὐνάων ὁρμίσσομεν, εἰσόκεν ἔλθῃ
Νὺξ ἀβρότη, ἢν καὶ τῇ ἀπόσχωνται πολέμοιο
Τρῶες, ἔπειτα δέ κεν ἐρυσαίμεθα νῆας ἁπάσας.
Οὐ γάρ τις νέμεσις φυγέειν κακὸν, οὐδ' ἀνὰ νύκτα.
Βέλτερον, ὃς φεύγων προφύγῃ κακὸν, ἠὲ ἁλώῃ.
Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πολύμητις Ὀδυσσεύς.
Ἀτρείδη ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων.
Οὐλόμεν', αἴθ' ὤφελλες ἀεικελίου στρατοῦ ἄλλου
Σημαίνειν, μὴ δ' ἄμμιν ἀνασσέμεν, οἷσιν ἄρα Ζεὺς
Ἐκ νεότητος ἔδωκε, καὶ ἐς γῆρας τολυπεύειν
Ἀργαλέους πολέμους, ὄφρα φθιόμεσθα ἕκαστος,
Οὕτω δὴ μέμονας Τρώων πόλιν εὐρυάγυιαν
Καλλείψειν, ἧς εἵνεκ' ὀϊζύομεν κακὰ πολλά.
Σίγα, μή τις ἄλλος Ἀχαιῶν τοῦτον ἀκούσῃ
Μῦθον, ὃν οὔ κεν ἀνήρ γε διὰ στόμα πάμπαν ἄγοιτο.
Ὅς τις ἐπίσταιτο ᾗσι φρεσὶν ἄρτια βάζειν,
Σκηπτοῦχός τ' εἴη, καί οἱ πειθοίατο λαοί,
Τόσσοι δ' ὅσσοισιν σὺ μετ' Ἀργείοισιν ἀνάσσεις,
Νῦν δέ σευ ὠνοσάμην πάγχυ φρένας, οἷον ἔειπες,
Ὃς κέλεαι πολέμοιο συνεσταότος καὶ ἀϋτῆς
Νῆας ἐϋσσέλμους ἅλαδ' ἑλκέμεν, ὄφρ' ἔτι μᾶλλον
Τρωσὶ μὲν εὐκτὰ γένηται ἐπικρατέουσί περ ἔμπης.
Ἡμῖν δ' αἰπὺς ὄλεθρος ἐπιρρέπῃ, οὐ γὰρ Ἀχαιοὶ
Σχήσουσιν πόλεμον, νηῶν ἅλαδ' ἑλκομενάων.
Ἀλλ' ἀποπαπτανέουσιν, ἐρωήσουσι δὲ χάρμης.
Ἔνθα κε σὴ βουλὴ δηλήσεται ὄρχαμε λαῶν.
Τὸν δ' ἠμείβετ' ἔπειτα ἄναξ ἀνδρῶν Ἀγαμέμνων,
Ὦ Ὀδυσεῦ, μάλα πώς με καθίκεο θυμὸν ἐνιπῇ
Ἀργαλέῃ, ἀτὰρ οὐ μὲν ἐγὼν ἀέκοντας ἄνωγα
Νῆας ἐϋσσέλμους ἅλαδ' ἑλκέμεν υἷας Ἀχαιῶν.
Νῦν δ' εἴη ὃς τῆσδέ γ' ἀμείνονα μῆτιν ἐνίσποι,
Ἢ νέος, ἠὲ παλαιός, ἐμοὶ δέ κεν ἀσμένῳ εἴη.
Τοῖσι δὲ καὶ μετέειπε βοὴν ἀγαθὸς Διομήδης.
Ἐγγὺς ἀνὴρ, οὐ δηθὰ ματεύσομεν, αἴκ' ἐθέλητε
Πείθεσθαι, καὶ μή τι κότῳ ἀγάσησθε ἕκαστος,

κυδαίνει.] δοξάζει. πρῶται.] ἐν τῇ ἀρχῇ, ἐν τῇ ἄκρᾳ. εἰρύαται.] εἱλκυσμέναι εἰσίν. ὕψι.] ἐφ' ὕψους. τὸ ὑγρὸν γὰρ ὑψηλότερον τῆς γῆς. διὸ ἀνάπλους μὲν ἀναγωγή. κατάπλους δὲ ἡ προσόρμησις. νὺξ ἀβρότη.] ἀμβροσία, θεία, οἱονεὶ ἀβρότη. ἔστι γὰρ ἱερὰ τῶν θεῶν ἡ νὺξ, ἐν ᾗ βροτὸς οὐκ ἀναστρέφεται. ἢ βρότος βαρυτόνως, τουτέστι μολυσμὸς καὶ φόνος οὐ γίγνεται. ἢν καὶ τῇ.] ἐὰν ὅλως καὶ δι' αὐτῆς. ζήτηται δὲ πῶς ὁ Ἀγαμέμνων οὕτως ἀστρατήγως φυγεῖν προστάσσει τοῖς Ἕλλησι λέγων· νῆες ὅσαι πρῶται. ῥητέον οὖν ὅτι ὁ Ἀγαμέμνων γιγνώσκων αὐτοὺς μὴ φευξομένους διὰ τὴν οἰκείαν ἀρετὴν, καὶ ὅτι οὐ δὲ λαθεῖν ἠδύναντο τοὺς πολεμίους, ἐπιτρέπει αὐτοῖς φεύγειν, ἵνα μὴ δόξῃ παρὰ δύναμιν κατέχων αὐτοὺς ἕνεκα τοῦ καθ' ἑαυτὸν χρησίμου αἴτιος γενέσθαι τοῦ πάντας ἀπολέσθαι. τοὐναντίον δὲ εὔνοιαν ἑαυτῷ πορίζεται, διὰ τὸ πᾶν ὁτιοῦν αἱρεῖσθαι ποιεῖν καὶ ὑπομένειν καὶ τὴν ἐκ τῆς φυγῆς ἀδοξίαν ἕνεκεν τῆς ἐκείνων σωτηρίας. ἕρκος ὀδόντων.] περιφραστικῶς οἱ ὀδόντες, ἢ τροπικῶς αὐτὰ τὰ χείλη. οὐλόμενε.] ὀλεθριώτατε, ἢ ὀλέθρου τοῖς Ἕλλησι παρασκευαστικέ.

ἀεικελίου.] εὐκαταφρονήτου, ὅ ἐστιν εὐτελοῦς, κακοῦ. σημαίνειν.] νῦν ἄρχειν. τολυπεύειν.] κατεργάζεσθαι μεταφορικῶς. ἰδίως γὰρ τολύπη καλεῖται τὸ κατειργασμένον ἔριον. φθιόμεσθα.] φθαρῶμεν, ἀπολώμεθα. καλλείψειν.] καταλείψειν. ὀϊζύομεν.] κακοπαθοῦμεν. ὃν οὔ κεν ἀνήρ γε διὰ στόμα πάμπαν ἄγοιτο.] ὃν οὐκ ἂν εἴποι συνετὸς καὶ σώφρων ἀνήρ. ἀνὰ στόμα γὰρ ἀντὶ τοῦ διὰ στόματος.

ἄρτια βάζειν.] ὑγιῆ καὶ ἁρμόδια λέγειν. ὠνοσάμην.] ἐμεμψάμην.

συνεσταότος.] συνεστῶτος. εὐκτά.] εὐχῆς ἄξια. ἐπιρρέπῃ.] ἐπηρτημένος. καταρρεπὴς ᾖ. ἡ μεταφορὰ ἀπὸ ζυγοστατουμένων σωμάτων. σχήσουσιν.] ὑπομενοῦσιν, ἀνθέξουσιν.

ἀποπαπτανέουσιν.] ἤτοι ἐς τὰς ναῦς ἀποβλέψουσιν, ἢ ἀλλαχόσε ὅπου ἐστὶ φεύξονται. ἐρωήσουσιν.] ὑποχωρήσουσιν, ἀμελήσουσι. δηλήσεται.] βλάψει. καθίκεο.] καθήψω, ἐλύπησας. ἐνιπῇ.] ἐπιτιμήσει, ἐπιπλήξει. εἴη.] ἔστω, φανέσθω. μῆτιν.] γνώμην. ἐνίσποι.] εἴποι, φράσοι. παλαιός.] πρεσβύτερος, γέρων. ἀσμένῳ.] ἑκόντι, χαίροντι. ἐγγὺς ἀνήρ.] ἀντὶ τοῦ ὁ συμβουλεύσων. ζήτηται δὲ διατί νῦν Διομήδης συμβουλεύει καὶ οὐ Νέστωρ. ῥητέον δὲ ὅτι τὸ μὲν γῆρας, ἐν τοῖς δεινοῖς, ἐστὶν ἐπισχετικόν. ἡ δὲ νεότης θαρσαλεωτέρα. ἄλλως τε καὶ Διομήδης ἐν τῇ προτέρᾳ συμβουλῇ θαυμασθεὶς, νῦν μᾶλλον τεθάρρηκε καὶ προήρπακε τῷ πρεσβυτέρῳ τοὺς λόγους.

ματεύσομεν.] ἤτοι ματαιοπραγήσομεν, ἢ ἀντὶ τοῦ ζητήσομεν. κότῳ ἀγάσησθε.] μετ' ὀργῆς μέμψησθε.

Οὔνεκα γενεῆφιν.]

γενεῆφιν.] ἡλικίᾳ. ὃν Θήβῃσι χυτὴ κατὰ γαῖα κάλυψεν.] ἀντὶ τοῦ ὃς ἐν Θήβαις ἐτελεύτησεν ἐν τῷ Θηβαϊκῷ πολέμῳ. χυτὴ γὰρ ἡ τοῖς τεθνεῶσιν ἐπιχεομένη γῆ. ἀρετῇ.] εὐδαιμονίᾳ, ἀνδρείᾳ. αὐτόθι μεῖνε.] ἐν τῷ τόπῳ ἔμεινε. πατὴρ δ' ἐμὸς Ἄργεϊ νάσθη πλαγχθείς. ὣς γάρ που Ζεὺς ἤθελε καὶ θεοὶ ἄλλοι.] εὐσχημόνως ὁ Διομήδης παρεσιώπησε τὴν τοῦ πατρὸς φυγήν. Τυδεὺς γὰρ ἀνελὼν Λυκωπέα καὶ Ἀλκάθουν ἑαυτοῦ πάτρωας, ἔφυγεν. ἡ δὲ ἀληθεστέρα ἱστορία ἐστὶν αὕτη. Τυδεὺς ὁ Οἰνέως Αἰτωλὸς μὲν ἦν τὸ γένος, ἀνδρειότατος δὲ τῶν κατ' αὐτὸν γενόμενος. ἔτι νέος ὢν ἐθεάσατο τὸν πατέρα διὰ γῆρας ὑπὸ τῶν Ἀγρίου παίδων τῆς βασιλείας ἐκβαλλόμενον. διόπερ ἀναιρεῖ τούς τε ἀνεψιοὺς καὶ σὺν αὐτοῖς ἀκουσίως ἀδελφόν. φεύγων δ' εἰς Ἄργος πρὸς Ἄδραστον βασιλέα τῆς χώρας, καθαρσίων τε τυγχάνει πρὸς αὐτοῦ, καὶ γαμεῖ τὴν αὐτοῦ θυγατέρα Δηϊπύλην. ἡ ἱστορία παρὰ Φερεκύδῃ. νάσθη.] ἀπῳκίσθη. πλαγχθείς.] ἀποπλανηθεὶς, καὶ ἐκπεσὼν τῆς πατρίδος διὰ τὴν φυγήν. Ἀδρήστοιο θυγατρῶν.] προσληπτέον τὸ μίαν, τὴν Δηϊπύλην. διατί νῦν ὁ Διομήδης ἑαυτὸν γενεαλογεῖ. ῥητέον ὅτι πάνυ ῥητορικῶς. δεῖ γὰρ ἐν ταῖς συμβουλαῖς προαποδεικνύειν ὡς εἰσὶν οὐχ οἱ τυχόντες ἀλλὰ τῶν πάνυ ἐνδόξων. ἵν' οὕτως τῷ ἀξιώματι πείσωνται. ἅλις.] δαψιλῶς, ἱκανῶς. πυροφόροι.] σιτοφόροι. ὄρχατοι.] αἱ ἐπίστιχοι φυτεῖαι, κῆποι. πρόβατα.] πάντα τὰ τετράποδα ἐκάλουν οἱ παλαιοὶ πρόβατα. διὰ τὸ πρὸ τῶν ὀπισθίων βάσεων ἑτέρας ἐμπροσθίους ἔχειν. καθ' ὃ καὶ Ἡσίοδός φησι· χαλεπὸς προβάτοις, χαλεπὸς δ' ἀνθρώποις. ἔσκεν.] ἦν, ὑπῆρχεν. κέκαστο.] ἐκεκόσμητο, ἐνίκα. τὰ δὲ μέλλετ' ἀκουέμεν.] ταῦτα εἰκὸς ὑμᾶς ἀκηκοέναι. ὡς ἐτεόν περ.] ὡς ἀληθές. γένος κακόν.] δυσγενῆ. φάντες.] λογισάμενοι, εἰπόντες. πεφασμένον.] νῦν φανερῶς εἰρημένον. οὐτάμενοι.] τετρωμένοι. ἀνάγκῃ] διὰ τὴν ἀνάγκην. ἐχώμεθα.] ἀπεχώμεθα. ἐκ βελέων.] ἔξω τῶν βελῶν. μή πού τις ἐφ' ἕλκει ἕλκος ἄρηται.] μή τις τραυματείας ὑπάρχων, τραῦμα ἕτερον λάβῃ. ἐνήσομεν.] παρορμήσομεν, ἐμβαλοῦμεν τοῖς πολεμίοις. θυμῷ ἦρα φέροντες.] χαριζόμενοι τῇ ψυχῇ τὴν ἀργίαν. ἀλαοσκοπιήν.] μάταιον καὶ τυφλὸν τὸν σκοπόν. ἀλαὸς γὰρ ὁ τυφλός. ἐννοσίγαιος.] κινησίγαιος. ἔνοσις γὰρ ἡ κίνησις. μετ' αὐτοὺς ἦλθε.] ἀντὶ τοῦ πρὸς αὐτοὺς ἦλθεν. ὀλοόν.] ὀλέθριον. φύζαν.] τὴν μετὰ δέους φυγήν. δερκομένου.] ὁρῶντος. ἔνι.] ἔνεισιν, ὑπάρχουσιν. οὐδ' ἠβαιαί.] οὐδὲ ὀλίγαι. σιφλώσειε.] τυφλώσειεν. ἐπίψογον ποιήσειε. σίφλος γὰρ καλεῖται ὁ ψόγος. κονίσουσι.] κόνεως πληρώσουσιν. ἐκ δὲ τοῦ παρακολουθοῦντος νοεῖται, τὸ φεύξονται. οἱ γὰρ φεύγοντες κατὰ τὸν δρόμον ἐγείρουσι κόνιν. ὄψεαι.] θεάσῃ. ἐννεάχιλοι.] ἐννακισχίλιοι. πῶς δέ φησιν ὁ Ποσειδῶν.

Οὔνεκα δὴ γενεῆφι νεώτατός εἰμι μεθ' ὑμῖν.
Πατρὸς δ' ἐξ ἀγαθοῦ καὶ ἐγὼ γένος εὔχομαι εἶναι
Τυδέος, ὃν Θήβῃσι χυτὴ κατὰ γαῖα κάλυψε.
Πορθεῖ γὰρ τρεῖς παῖδες ἀμύμονες ἐξεγένοντο.
Ὤικεον δ' ἐν Πλευρῶνι καὶ αἰπεινῇ Καλυδῶνι,
Ἄγριος ἠδὲ Μέλας, τρίτατος δ' ἦν ἱππότα Οἰνεὺς
Πατρὸς ἐμοῖο πατὴρ, ἀρετῇ δ' ἦν ἔξοχος αὐτῶν.
Ἀλλ' ὁ μὲν αὐτόθι μεῖνε, πατὴρ δ' ἐμὸς Ἄργεϊ νάσθη
Πλαγχθεὶς, ὣς γάρ που Ζεὺς ἤθελε καὶ θεοὶ ἄλλοι.
Ἀδρήστοιο δ' ἔγημε θυγατρῶν, ναῖε δὲ δῶμα
Ἀφνειὸν βιότοιο, ἅλις δέ οἱ ἦσαν ἄρουραι
Πυροφόροι, πολλοὶ δὲ φυτῶν ἔσαν ὄρχατοι ἀμφίς.
Πολλὰ δέ οἱ πρόβατ' ἔσκε, κέκαστο δὲ πάντας Ἀχαιοὺς
Ἐγχείῃ, τὰ δὲ μέλλετ' ἀκουέμεν ὡς ἐτεόν περ.
Τῷ οὐκ ἄν με γένος γε κακὸν καὶ ἀνάλκιδα φάντες
Μῦθον ἀτιμήσητε πεφασμένον, ὅν κεν ἐῢ εἴπω.
Δεῦτ' ἴομεν πόλεμόνδε, καὶ οὐτάμενοί περ ἀνάγκῃ.
Ἔνθα δ' ἔπειτ' αὐτοὶ μὲν ἐχώμεθα δηϊοτῆτος
Ἐκ βελέων, μή πού τις ἐφ' ἕλκει ἕλκος ἄρηται.
Ἄλλους δ' ὀτρύνοντες ἐνήσομεν, οἳ τὸ πάρος περ
Θυμῷ ἦρα φέροντες ἀφεστᾶσ', οὐδὲ μάχονται.
Ὣς ἔφαθ', οἳ δ' ἄρα τοῦ μάλα μὲν κλύον, ἠδ' ἐπίθοντο.
Βὰν δ' ἴμεν, ἦρχε δ' ἄρα σφιν ἄναξ ἀνδρῶν Ἀγαμέμνων.
Οὐδ' ἀλαοσκοπιὴν εἶχεν κλυτὸς Ἐννοσίγαιος.
Ἀλλὰ μετ' αὐτοὺς ἦλθε παλαιῷ φωτὶ ἐοικώς.
Δεξιτερὴν δ' ἕλε χεῖρ' Ἀγαμέμνονος Ἀτρείδαο.
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα,
Ἀτρείδη, νῦν δή που Ἀχιλλῆος ὀλοὸν κῆρ
Γηθεῖ ἐνὶ στήθεσσι φόνον καὶ φύζαν Ἀχαιῶν
Δερκομένου, ἐπεὶ οὔ οἱ ἔνι φρένες οὐδ' ἠβαιαί.
Ἀλλ' ὁ μὲν ὣς ἀπόλοιτο, θεὸς δέ ἑ σιφλώσειε.
Σοὶ δ' οὔπω μάλα πάγχυ θεοὶ μάκαρες κοτέουσιν.
Ἀλλ' ἔτι που Τρώων ἡγήτορες ἠδὲ μέδοντες,
Εὐρὺ κονίσουσιν πεδίον, σὺ δ' ἐπόψεαι αὐτὸς
Φεύγοντας προτὶ ἄστυ, νεῶν ἄπο καὶ κλισιάων.
Ὣς εἰπὼν, μέγ' ἄϋσεν ἐπεσσύμενος πεδίοιο,
Ὅσσον τ' ἐννεάχιλοι ἐπίαχον, ἢ δεκάχιλοι
Ἀνέρες

ὁμοιωθεὶς πρεσβύτῃ ὑπὲρ τῖω ἡλικίαν φθεγγεται. καὶ μετὰ ὅτι τῇ μὲ ὄψει πρεσβύτης ἐφάνετ ὁ. τῇ φωνῇ ἢ τῖω τοῦ διάνοιαν ἐνεδείκνυτο. ἐπίσχον.] ἐπιβάντες. ἐκ σφῶν. ἄλληκτον.] ἄπαυστον. σᾶσ᾽.] τὸ πᾶσης σᾶσα. ἀπὸ ῥίζ.] ἀπὸ τ ἀκρωτηρίᾳ τ ὄρες. ποιπνύοντα.] ἐνδρυοῦντα. γίγνεται ἢ ἐκ τοῦ ποιπνύω. ἀναλίπλασιασμῷ. διάῤῥα.] ἀνδρὸς ἀδελφόν. συγερύς.] κατάπληκτος. μνηστός. ἢ συγγενοποιός, τὸ γὰρ κεχαρισμένον αὐτῇ οὐκ ἐποίει. βεβαπάφοιτο.] βεβαπτήσειν. ἐντύναμεν.] παρασκευασαμένην. κοσμησαμένην. ἱμάρατο.] ἐπιθυμήσειν ἀραδῇ. παραδραθεῖν.] παρακαταπλιθῆναι. ἢ χρεῖ.] τῷ ἰδίῳ αὐτῇ χρωτί. λιαρόν.] θερμόν. ὑδρί. τοῖς γὰρ καθεύδουσι παραπολὺ θερμὰ νοῶνται τὰ ἄπρα. ψυχαλίμοισι.] συντεταῖς. ψυχικαῖς. ψυχικάς.] ἀσφαλεῖς. πυκνάς. σαθμοῖσι.] παράστασι νῦν. ἐπῆρσεν.] ἐφόρμησε. κλιδὶ κρυπτῇ.] οὕτω πάλοῦνται κλιδίας κρυπτάς. ἀνῶγεν.] ἀνέωγεν. ἢ ἀνάγνωσις προσδιδισπομένως. ἐπέβαλεν.] ἐνέβαλεν. ἐπλεισεν. ἀμβροσίᾳ.] βάῳ ἀλέμματι μύρῳ. οἱ ἢ θείῳ λουτρῷ. ἰμερόεντ.] ἐπράσσε. καλοῦ. λύματα. καθάρσιον. ῥύπον. κάθαρμ.] ἐκάθαιρεν. ἐλανῶ.] ἔλαι. ὃ ἐστιν εὐώδες. τεθυμένον.] τεθυμιαμένον. κινυμένοιο.] σαλευομένης. κινουμένης. χαλκοβατές.] χαλκῷ βεβατός. σθρικόν. ἢ χαλκοῦν ἔχον οὐδόν. ἔμπης.] νῦν ὁμοίως. ἴκετο.] ἀφικνεῖτο. ἀφίρητο. αὐτμή.] πνοή. ἀπὸ τοῦ ἀνέμου. χάιτας.] ἢ τὰς χαίτας. ἤγαγε τὰς κόμας. πεξαμένη.] πτενισαμένη. ἐκ κράατ.] ἐκ τῆς κεφαλῆς. ἐανόν.] νῦν πέπλον. παρὰ τὸ ἐννυσθαι. ὅτ᾽ ἂν ἢ ἱμὴ ἱανοῦ κασσιτέροιο, ἢ ὑάλιος ἢ λέγει ἢ ἀπαλῶ. ἕσατο.] πόρισθαι λιτο. ἐνεπορποῦντο γὰρ τοῖς πόρπαις. ἕξουσιν.] ἀντὶ τ κατεσκεύασιν. ἢ λιπτὸν ἐργάσατο. ἀσκήσασα.] μετ᾽ ἐπιμελείας κατασκευάσασα. ἐνετῆσι.] πόδανας. ἀπὸ τ ἐνίεσθαι τοῖς ἱματίοις. ὃ ἐστιν ἐμπορποῦσθαι. δυσάνοις.] κροσσοῖς. παρὰ τὸ θυσσύεσθαι, ὅ ἐστι κινεῖσθαι. ἕρματα.] νῦν ἐνώτια. ὑτρύτοισι.] καλῶς τετρημένοις τετρυπημένοις. λοβοῖσι.] τοῖς ἄκροις τ ὠτίῳ τοῖς ἀπαλοῖς. παρὰ τὸ ἀμβάνειν ἢ λίχεσθαι. τρίγληνα. πολλὰς ἔχας ἄξια. τρίκοκα. ἢ τριπρόσωπα. γλήνη γὰρ ἡ τ ὀφθαλμῦ κόρη. ἢ τρίκορα. ἴχονλαρεῖς κόρας δι χάριτος. ἢ πολλῶν κοσμίων ἄξια. γλήνεα γὰρ τὰ κόσμια. ὡς ἢ ἀλλαχοῦ φησιν. ὁ γλήνεα πολλὰ κεχάνδει. μορόεντα.] μετὰ μέρους καὶ σακοπαθείας εἰργασμένα παρὰ τὰ ἐμόρησεν ὁ τεχνίτης. τετίσιν ἐκαμε κατασκευάζων αὐτά. χάρις.] ἀρετή. παλλὰς πρεσβύτης. καλλωπίσμασιν. νῦν ἢ καλύπτρᾳ. νυκτί.] νυκτὶ γιγονότι. λιπτῷ. λιπαροῖσιν.] ἰσχναφοῖσι.

Ἀνέρες ἦν πολέμῳ ἐϋείδεα ξωὸς ἄγοντες Ἀργεῖοι,
Τόσσην ἐκ νηῶν ὄπα, κρείων Ἐνοσίχθων
Ἦκεν, Ἀχαιοῖσιν δὲ μέγα σθένος ἔμβαλ᾽ ἑκάστῳ
Καρδίῃ, ἀλλὰ καὶ αὐτὸν ὁλεμίζειν ἠδὲ μάχεσθαι.
Ἦρη δ᾽ εἰσεῖδε χρυσόθρονος ὀφθαλμοῖσι,
Στᾶσ᾽ ἐξ οὐλύμποιο ἄφ᾽ ἕδρης αὐτίκα δ᾽ ἔγνω,
Τὸν μὲν ποιπνύοντα μάχην ἀνὰ κυδιάνειραν 10
Αὐτοκασίγνητον, καὶ δίαιρα, χαῖρε δὲ θυμῷ.
Ζῆνα δ᾽ ἐπ᾽ ἀκροτάτης κορυφῆς πολυπίδακος Ἴδης
Ἥμενον εἰσεῖδε, συγερὸς δ᾽ οἱ ἔπλετο θυμῷ.
Μερμήριξε δ᾽ ἔπειτα βοῶπις πότνια Ἥρη,
Ὅππως ἐξαπάφοιτο Διὸς νόον αἰγιόχοιο.
Ἥδε δέ οἱ κῆ θυμὸν ἀρίστη φαίνετο βουλὴ
Ἐλθεῖν εἰς Ἴδην εὖ ζωτώσασα ἑαυτὴν
Εἴπως ἱμείραιτο παδαφοιβείην φιλότητι
Ἥι οἱ χροιῇ, ἷφι δ᾽ ὑπνον ἀπημονά τε, λιαρόν τε. 20
Χεῦαι ὠὴ βλεφάροισιν, ἰδὲ φρεσὶ ποιναλίμοισι.
Βῆ δ᾽ ἴμεν εἰς θάλαμον, τόν οἱ Φίλος ὑὸς ἔτευξεν
Ἥφαιστος, πυκινὰς δὲ θύρας σταθμοῖσιν ἐπῆρσε
Κλῃδὶ κρυπτῇ, τὴν δ᾽ οὔ θεὸς ἄλλος ἀνῶγεν.
Ἔνθ᾽ ἧγ᾽ εἰσελθοῦσα θύρας ἐπέθηκε φαεινάς.
Ἀμβροσίῃ μὲν πρῶτον ἀπὸ χροὸς ἱμερόεντος,
Λύματα πάντα κάθηρεν, ἀλείψατο δὲ λίπ᾽ ἐλαίῳ,
Ἀμβροσίῳ ἑλανῷ, τό ῥα οἱ τεθυωμένον ἦεν,
Τὸ καὶ κινυμένοιο Διὸς ποτὶ χαλκοβατὲς δῶ 30
Ἔμπης ἐς γαῖαν τε καὶ οὐρανὸν ἵκετ᾽ ἀϋτμή.
Τῷ ῥ᾽ ἧγε χρὸα καλὸν ἀλειψαμένη ἰδὲ χαίτας
Πεξαμένη χερσὶ πλοκάμους ἔπλεξε φαεινούς.
Καλοὺς ἀμβρόσιους ἐκ κράατος ἀθανάτοιο.
Ἀμφὶ δ᾽ ἄρ᾽ ἀμβρόσιον ἑανὸν ἕσαθ᾽ ὅν οἱ Ἀθήνη
Ἔξυσ᾽ ἀσκήσασα, πίθεν δ᾽ ἐν μαίσμασι πολλά.
Χρυσείοις δ᾽ ὑπέζωσε κεστῷ πάνθ᾽ ὑπονᾶτο,
Ζώσατο δὲ ζώνην ἑκατὸν θυσάνους ἀραρυῖαν, 40
Ἐν δ᾽ ἄρα ἕρματα ἧκεν ἐϋτρήτοισι λοβοῖσι,
Τρίγληνα μορόεντα, χάρις δ᾽ ἀπελάμπετο πολλή.
Κρηδέμνῳ δ᾽ ἐφύπερθε καλύψατο δῖα θεάων,
Καλῷ νηγατέῳ λευκὸν δ᾽ ἦν ἠέλιος ὥς,
Ποσσὶ δ᾽ ὑπαὶ λιπαροῖσιν ἐδήσατο καλὰ πέδιλα,
Αὐτὰρ ἐπεὶ δὴ πάντα πόδι χροὶ θήκατο κόσμον

Βὴν

Βῆ ῥ᾽ ἴμεν ἐκ θαλάμοιο, κάλεσε δαμάνην δ᾽ Ἀφροδίτην
Τῶν ἄλλων ἀπάνευθε θεῶν, πρὸς μῦθον ἔειπεν·
Ἦ ῥὰ νύμοι τί τοίθοιο Φίλον τέκος ὀτρύνει εἰπεῖν;
Ἦ κεν ἀρνήσαιο κοτεσσαμένη τόγε θυμῷ.
Οὕνεκ᾽ ἐγὼ Δαναοῖσι, σύ δὲ Τρώεσσιν ἀρήγεις,
Τήν δ᾽ ἠμείβετ᾽ ἔπειτα Διὸς θυγάτηρ Ἀφροδίτη·
Ἥρη πρέσβα θεὰ θύγατερ μεγάλοιο Κρόνοιο.
Ἄυσαι, ὅ, τι φρονέεις τελέσαι δέ με θυμὸς ἄνωγεν,
Εἰ δυνάμαι τελέσαί γε καὶ εἰ τετελεσμένον ἐστί.
Τὴν δὲ δολοφρονέουσα προσηύδα πότνια Ἥρη.
Δὸς νῦν μοι φιλότητα καὶ ἵμερον, ᾧ τε σὺ πάντας
Ἀθανάτους ἀθανάτους, ἠδὲ θνητοὺς ἀνθρώπους,
Εἶμι γὰρ ὀψομένη πολυφόρβου πείρατα γαίης,
Ὠκεανόν τε θεῶν γένεσιν καὶ μητέρα Τηθὺν,
Οἵ μ᾽ ἐν σφοῖσι δόμοισιν εὐτρεφὲς ἠδ᾽ ἀπαλλον,
Δεξάμενοι Ῥείης ὅτε, τε Κρόνον εὐρύοπα Ζεὺς
Γαίης ὑπένερθε καθεῖσε καὶ ἀτρυγέτοιο θαλάσσης.
Τὼ εἶμ᾽ ὀψομένη καίσφ᾽ ἄκρεα νείκεα λύσω
Ἠμὲν γὰρ δὴ πρόσθε φιλοτήσιον εὐνὴν ἰάπτετ᾽
Εὐνῆς καὶ φιλότητος, ἐπεὶ χόλος ἔμπεσε θυμῷ·
Εἰ μέν νω γ᾽ ἐπέεσσι παραπεπίθοιμι Φίλον κῆρ.
Εἰς εὐνὴν αὖτέ μιν ἐμωθῆναι φιλότητι,
Αἰεί μέ σφι Φίλητε καὶ αἰδοίη καλέοιμι.
Τὴν δ᾽ αὖτε προσέειπε φιλομμειδὴς Ἀφροδίτη·
Οὐκ ἐς δὲ ἔοικε τόν ἔπος ἀρνήσασθαι,
Ζηνός γ᾽ τοῦ ἀρίστου ἐὺ ἀγκοίνῃσιν ἰαύεις,
Ἦ. καὶ ἀπὸ στήθεσφιν ἐλύσατο κεστὸν ἱμάντα,
Ποικίλον, ἔνθα δὲ οἱ θελκτήρια πάντα τέτυκτο,
Ἔνθ᾽ ἔνι μὲν φιλότης, ἐν δ᾽ ἵμερος, ἐν δ᾽ ἀπάτη τε
Πάρφασις, ἥτ᾽ ἔκλεψε νόον πύκα περ φρονεόντων,
Τὸν ῥά οἱ ἐμβαλε χερσὶν, ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζε.
Τῇ νῦν τοι τὸν ἱμάντα, τεῷ δ᾽ ἐγκάτθεο κόλπῳ
Ποικίλον, ᾧ ἔνι πάντα τετεύχαται. ὀΐδε σε φημὶ
Ἀπρηκτον γενέεσθ᾽ ὅτι φρεσὶ σῇσι μνοιήσας.
Ὡς φάτο, μείδησεν δὲ βοῶπις πότνια Ἥρη,
Μειδήσασα δ᾽ ἔπειτα ἑῷ ἐγκάτθετο κόλπῳ.
Ἡ μὲν ἔβη πρὸς δῶμα Διὸς θυγάτηρ Ἀφροδίτης,
Ἥρη δ᾽ ἀίξασα λίπεν ῥίον ὄλυμπον,
Πιερίην δ᾽ ἦλθε καὶ Ἠμαθίην ἐρατεινὴν,
Σεύατ᾽ ἐφ᾽ ἱπποτόλων Θρηκῶν ὄρεα νιφόεντα,
Ἀκροτάτας κορυφὰς, οὐδὲ χθόνα μάρπτε ποδοῖϊν.
Ἐξ Ἄθω δ᾽ ἦλθε θόωντον ἐβήσατο κυμαίνοντα.

Λῆμνον

φέσι. λευκοῖς. πρίσθα.] ἐντιμοτάτην. συγκοπὴ τ πρίσθεσρα. ἄυσαι.] λέγει ὅτι φρονίεις.] ὅπερ βούλει. τετελεσμένον.] νῦν δυνατόν. ἵμερον.] ἐπιθυμίαν. δαμνᾷς.] δαμάζεις. ἄμμι] πορεύομαι. ἄπεμι. πολυφόρβης] πολυτρόφου. πείρατα.] πείρατα. τέλη. θεῶν γένεσιν.] θεῶν πατέρα. ἐπεὶ πρῶτον τοιχεῖον τινὲς τ φυσικῶν εἶπον τὸ ὕδωρ. ἢ δὲ αὐτ τὰ λοιπὰ τρία ὄθεν ὁ Πίνδαρος ἄριστον ἔφη τὸ ὕδωρ. Τηθὺν δέ φησι τὴν γῆν. οἱονεί τιθηνοῦσάν τινά οὖσαν ἢ τροφὸν πάντων, σφοῖσι τοῖς ἑαυτ. ὑτρεφον.] μετ᾽ ἐπιμελείας ἀνῆγον. ἀτίταλλον.] ἐπαιδοτρόφησε Ῥέης.] δι Ῥεᾶς. εὐρύοπα.] ὕτοι μὲ γαλαφθαλμῶ. ἀπὸ τ πάντα ἐποπτεύειν. ἢ μεγαλόφρονι. καθεῖσε.] καθίδρυσε. κάισφ᾽ ἄκριτα νείκεα λύσω.] ἢ τὰς πολλὰς αὐτ ἢ ἀδιαλύτους φιλονεικίας διαλύσω. κεῖνο.] κεῖνους δυνικῶς. παραπεπίθοσα.] παράπεισάσα. ἐξαπατήσασα. ὁμωθῆναι. δόμοι ωθῆναι. ἐκεωθῆναι. ἐς δόμους ἐλθεῖν ἀδελφόν.] ἀδελοῦς ἀξίας, ἀδελίσιμον. οὐκ ἐστ᾽ οὐδὲ ἔοικε τεόν ἔπος ἀρνήσασθαι.] οὔτε πρέπον, οὔτε δυνατὸν ἀρνήσασθαι παρὰ ὧν ἀξιοῖς. ἔοικε.] προσήκει. πρέπει. ἀγκοίνησιν.] ἀγκάλαις ἰαύεις.] κοιμᾶσαι. κεστὸν ἱμάντα.] ἢ στῆρα οὕτω καλούμενον, ἀπὸ τ πολυκέντητον αὐτ εἶναι τὰς ῥαφάς. θελκτήρια.] τὰ θέλγοντα ἢ ἀπατῶντα ζῶα ἀνθρώπους. ἐνί. ἐνεστι τὸ πλῆρες. φιλότης.] νῦν φιλία. πρὸς μίξιν ὄρεξις. ἵμερος δ᾽ ἀφροδισιοῦ πάρφασις.] ἐνιοι ἢ ἡδὺ ὁμιλία παραυτικήν. ἔκλεψεν.] ἐξέκλεψεν. ἐκφυγεῖν παρελογίσατο. πύκα. νῦν συνετῶς. φρονίμως. τῇ.] ἀγκαλάβετ. τεῷ δ᾽ ἐγκάτθεο κόλπῳ. κατάκρυψον τῷ ἰδίῳ κόλπῳ φησὶ. διὰ τὸν πρὸς τὸν Δία ἐπιβολήν. ἐγκάτθεο. ἐγκατάθου. τετύχαται.] ἐγκειται κατεσκεύασται. ῥίον.] ὄρος ἀκρωτήριον. παρὰ τὸ ῥαίειν καὶ κατελῆγειν εἰς ὀξύ. Πιερίην.] χώραν ἐπὶ τῶν Μακεδονίαν. οἱ ἢ ὄρ. Μακεδόνα ὃ Διὸς καὶ Αἰθρίας κατασχὼν τὴν χώραν ἔσχε δὲ Θράκης. ἀφ᾽ ἑαυτ πρόσηγόρευσε. γύμας ἢ μίαν τ ἐγχωρίων, τινὲς δύο φασὶν, Πίδρον, καὶ Ἀμαθοῦντα. ἀφ᾽ ὧν δύο πόλεις ἐν Μακεδονίᾳ Πιδρία καὶ Ἀμαθία. ἡ ἱστορία παρὰ Μαρσίᾳ. νῦν ἢ Ἡμαθίην κατάχρησις κὼς ὅλην τὴν Μακεδονίαν φησί. Πιερίαν ἢ ὄρ. Μακεδονίας ἱδρὸν μεσῶν. σεύατο. ὥρμησεν. ἐφ᾽ ἱπποπόλων.] πρὸς ἵππους ἀναστρεφομένων. νιφόεντα.] χιονιζόμενα. νιφόμενα. οὐδὲ χθόνα μάρπτε ποδοῖϊν.] οὐ ἢ

τοῖς ποσὶν αὐτῆ ἐπέβαινε δι γῆς. ἰδ Αθώ δι' ὅτι πόντου ἐβήσατο.] Αθως ὄρος ἐν Θράκη μέγα καὶ ὑψηλὸν ἰδίχον ἰς θάλασσαν, ἀφ' ἑαυτοῦ ἔχον χρόνον πόλιν, σταλίνα λιθάρια. ἔστο Ξέρξης ὁ Πέρσῶν βασιλεὺς ἀγανακτήσας ὅτι πρὸς αὐτὸ νῆδυ αὐτῷ λιμφθάρησαν, λιανόψας βατὸν ἐποίησεν· ἡ ἱστορία παρὰ Ηροδότῳ. ἰδ Αθώ.] ἐν ᾗ Αθω ὄρος ἐστιν ὄρος Θρᾴκης ὑψηλόν. ἐπὶ πόντων ἐβήσατο.] κυτὶ ἀφ θαλάσσης ἐπίβη. κυμαίνοντα.] κύματα ἔχοντα, ταραχώδεα.

Λῆμνον δ' εἰσαφίκανε πόλιν θείοιο Θόαντος,
Ἔνθ' ὕπνῳ ξύμβλητο κασιγνήτῳ θανάτοιο.
Ἐν τ' ἄρα οἱ φῦ χειρί, ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν.
Ὕπνε ἄναξ πάντων τε θεῶν, πάντων τ' ἀνθρώπων,
Ἦ μὲν δή ποτ' ἐμὸν ἔπος ἔκλυες ἠδ' ἔτι καὶ νῦν
Πείθευ, ἐγὼ δέ κέ τοι εὖ τέως χάρμ' ἄπατα πάντα.
Κοίμησόν μοι Ζηνὸς ὑπὸ ὀφρύσιν ὄσσε φαεινώ.
Αὐτίκ' ἐπείκην ἐγὼ πολὺ λέξομαι ὧν φιλότητι.
Δῶρα δέ τοι δώσω, καλὸν θρόνον ἄφθιτον αἰεὶ
Χρύσεον, Ἡφαιστος δέ κ' ἐμὸς πάϊς ἀμφιγυήεις
Τεύξει ἀσκήσας, ὑπὸ δὲ θρῆνυν ποσὶν ἧσει.
Τῷ κεν ὑπερχοίης λιπαρὸς πόδας εἰλαπινάζων.
Τὴν δ' ἀπαμειβόμενος πρόσφατο νήδυμος ὕπνος·
Ἠρη πρέσβα θεὰ θύγατερ μεγάλου Κρόνοιο.
Ἄλλον μέν κεν ἐγὼν ἐθέλω ἀείρυτον ἐπέων.
Ῥεῖα κατευνήσαιμι, καὶ εἰ ποταμοῖο ῥέεθρα
Ὠκεανὸς, ὅσπερ γένεσις πάντεσι τέτυκται.
Ζηνός δ' ὀκ ἂν ἐγὼν Κρονίονος ἆσσον ἰκοίμην,
Οὐδὲ κατευνήσαιμ' ὅτε μὴ αὐτός γε κελεύοι.
Ἤδη γάρ με καὶ ἄλλο τι ἐπίνυσσεν ἐφετμή.
Ἡματι τῷ, ὅτ' ἐκεῖνον ὑπέρθυμον Διὸς υἱὸν
Ἔπλεον Ἰλιόθεν Τρώων πόλιν ἐξαλαπάξας.
Ἤτοι ἐγὼ μὲν ἔθελξα Διὸς νόον αἰγιόχοιο.
Νήδυμον ἀμφιχυθείς, σὺ δὲ οἱ κακὰ μήδεο θυμῷ.
Ὄρσας ἀργαλέοιο ἀνέμοιο ὦκα πόντον ἄπαν,
Καί μιν ἔπειτα Κόων δ' εὖ ναιομένην ἀπέφηνας.
Νόσφι φίλων πάντων, ὅδ' ἐπερχόμενος καλέεσκε
Ῥιπάζων ἠΐ δ' ὅμαδος θέεν, ἐκ δ' ἔχεν πάντων
Ζήτει, καί κε μ' ἄϊσον ἀπ' ἀθέρος ἔμβαλε πόντῳ,
Εἰ μὴ νύξ δ' ἁμήτειρα θεῶν ἐσάωσε καὶ ἀνδρῶν,
Τὴν ἐκόμην φεύγων, ὅδ' ἐπάμπαυτο χωόμενος πῦ
Ἄζετο γὰρ μὴ νυκτὶ θοῇ ἀκάματοι ἔρδοι.
Νῶϊ ἂν τὸ τό μ' ἄνωγας ἀμήχανον ἄλλο τελέσσαι.
Τὸν δ' αὖτε προσέειπε, βοῶπις πότνια Ἥρη.
Ὕπνε πίη δὲ σὺ ταῦτα μετὰ φρεσὶ σῇσι μενοινᾷς;
Ἦ φὴς ὡς Τρώεσσιν ἀρηγέμεν εὐρύοπα Ζῆν',
Ὡς Ἡρακλῆι πέρι χώσατο παιδὸς ἑοῖο.

Λῆμνον δ' εἰσαφίκανε πόλιν θείοιο Θόαντος,
ἔνθ' ὕπνῳ ξύμβλητο. ξύμβλητο. συνέτυχε, διὰ ποίαν ἢ αἰτίαν ἐν τῇ Λήμνῳ μάλιστα ὁ ὕπνος διατρίβει. ῥητέον ὅτι Λήμνος μὲν ἦν Ἡφαίστου. γυνὴ δ' ἦν τότε Χαρίς. Πασιθέας ἢ δι Χάριτος ἀδελφῆς ὁρωτικῶς ἔχων ὁ ὕπνος ἐκεῖ διέτριβε. ταύτην ἢ αὐτῷ ἐπαγγέλλεται γυναῖκα δώσειν ἡ Ηρα. διώκατ' ἢ κεῖ φυσικώτερον λυθῆναι. ὅτι οἰνοφόρος ἡ Λῆμνος. καθὼς λέγει, νῆες δ' ἐκ Λήμνοιο παρέσσαμεν οἶνον ἄτερπα· τοῖς ἢ πολυποτῶσι μάλιστα ὁ ὕπνος παρέπεται. ξύμβλητο.] ἀπήντησε, συνέτυχε. φῦ.] ἐνέφυ, συνέπλεξεν. ἐδίδω χάριν.] γνώσομαι καὶ προσομολογήσωσι χάριν. θρῆνυν.] ὑποπόδιον ἀρσενικῶς. ἧσει.] ὑποθήσει. ἀλαπινάζων.] σὺν χύμῳ. ἤδη γάρ με καὶ ἄλλο τι ἔν.] ἢ κατ' ἄλλο. ἴνα ἢ ἤδη γάρ με νῦ κατ' ἄλλο ἐπαίδευσιν ἡ σὴ προστάξις. ἢ ἄλλοτε ἢ ἐπίνυσεν ἐφετμῇ. τοτίγι τῇ Ἰλίᾳ ἐσωφρόνισε καὶ ἐυσεβέστερον ἐντολῇ καὶ ἀπειλῇ. ἔκλυξα.] κατεκοίμισα. ἀμφιχυθείς.] περιχυθείς. μήσαο.] ἐμηχανήσω, ἐβουλεύσω. ὄρσασα.] ἐκ ὁρμῶ ἀγαγοῦσα, διεγείρασα. ἄϋτας.] τὰς τοῦ ἀνέμου πνοάς. Κόῳ δι.] ἐς τὴν Κῶν νῆσον. γράφεται ἢ σὺν τῷ. ναι κατ' αἰτιατικῶν. Ἡρακλῆ.] ἀδικομισθόμενον καὶ τὸ πορθῆσαι Τροίαν. γχόμενος τε κατὰ τὸ Αἰγαῖον πέλαγος βλήσει Ηρας, σφοδρῷ συνισχίοι αὐτόν. κατασυρθείς τε ἐς Κῶν τὴν μδροπίδα, ἐκωλύθη ἐπιβῶναι δι νήσου ὑπὸ Εὐρυπύλου τοῦ Ποσειδῶνος βασιλεύοντος αὐτοῦ. βιασάμενος ἢ ἦλθε ὡς ληστὴς ἐπιβάς. αὐθὶς τόν τε Εὐρύπυλον καὶ τὸς παῖδας αὐτοῦ. μιγεὶς ἢ τῇ θυγατρὶ αὐτοῦ Χαλκιόπῃ, Θεσσαλὸν ἐγέννησεν.

ἀπίνεικας.] ἀπήνεγκας. ἐπεγρόμενος.] ἐπαναστάς. δι' ὑπνιδιάς.

Οὖλον κεκλήγοντες ἴσαν, λήθοντο δὲ χάρμης.
Πολλὰ δὲ τεύχεα καλὰ πέσον περὶ τ' ἀμφί τε τάφρον
Φευγόντων Δαναῶν, πολέμος δ' ὀγίνετ' ἐρωή.

ΙΛΙΑΔΟΣ

πρὸ πούρων θηρητῆρων.] πρὸ νέων θηρατ. ἐλίξεται.] ἐπιστρέφεται. ἐτράπετο χρὼς.] ἀλάνευτο ὁ ἰδίᾳ τ προσώπῳ. λυγρῆς ἀκοῦσαι.] μάχεσθαι. φίλτρον ἐπηβῶν. ὄρμενον.] ὁρμώμενον. διὰ γεροῦ μενον. φλιγέθει.] φλέγει. μινύθουσιν.] ἐλαττοῦνται. διαφθείρονται. ἐπιβρέμει.] ἐπηχεῖ. ψοφῇ. ηρατόφρονι μένῳ ἀμφιβαλόντες.] πρόβιβαλόντες καὶ ἀντειρέσαντες ἀλλήλοις τὰς ἑαυτῶν δυνάμεις. ὅ ἐστι συνάψαντες καὶ ἰσώσαντες. ὠκαλόεσσαν.] ὑψηλόσυρτον, τραχεῖαν. ἀταρπόν.] ἀντὶ τ ἄτροπον ὁδόν. λόρυ.] ξύλον. ἰσχανέτην.] ἐπεῖχον τῷ ὁρμῇ. καὶ ἐπεκώλυον. πρῶν.] ὑλώδης τόπος. ἰθυχὴ ὄρυς. ὑλήεις.] ὑλώδης. ξυλώδης. ποταμῶν διαπρύσιον τετυχηκώς.] παρ' ὅλον τὸ ποταμὸν παρατεταμένως διήκων. πλάζων.] πλανῶν. νῦν ἢ ἀνακόπτων, καὶ ἀνακρούων. ἀνέργουσιν.] ἀνέστελλον. ψαρῶν.] συναγελαστικὸν ἢ ὃ κολοιὸς καὶ φιλάλληλον. ὡς ἡ παροιμία αἰεὶ κολοιὸς ποτὶ κολοιὸν ἰζάνει. φασὶ ἢ οὕτως φιλαλλήλους εἶναι. ὡς ἅτις ἐλαιῶν ἀπόβυτα, ἀφορῶντας εἰς τὸν σκιὰν μὴ κατιέντας δίψῃ πρὸς τοὺς ἑταίρους ἐλαιοῦσθαι καὶ ἁλίσκεσθαι ἕλῃ ὀρνέων. νέφος.] νῦν τὸ πολὺ τ ὀρνέων πλῆθος. οὖλον κεκλήγοντες.] ὀξὺ βοῶντες. ἢ πυκνὸν, πυρρόν.] ἕλῃ ἀντὶ τοῦ λεγόμενον ἁρπάξῃ. ὁ γὰρ αὐτὸς τὰ μεγάλα φονεύει. σμικρῇσι] σμικραῖς ἢ λέξις ἰώνων, ἐφωή.] ὁρμή. λίωξις.

ΥΠΟΘΕΣΙΣ

ΥΠΟΘΕΣΙΣ ΤΗΣ Σ ΤΟΥ
ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

Αχιλλεὺς τὸν Πατρόκλου θάνατον ἐπιγνοὺς, ὀδύρεται· ἀνελθοῦσα δὲ ἡ Θέτις εἰς τὴν θαλάσσης, παρηγορεῖ αὐτὸν, καὶ παραινεῖ ἀπέχεσθαι τῆς πολέμου, ἕως ἂν αὐτῷ ὅπλα κομίσῃ παρὰ τοῦ Ἡφαίστου. καὶ ἐρισάσης ἡ Ἥρας, ἄοπλος πρόσεισι θοῦ· τὸν τάφρον ἐπιφαίνεται τοῖς πολεμίοις, καὶ αὐτοὺς ἐκπλαγέντες φεύγουσι, καὶ κατὰ τὴν φυγὴν πολλοὶ διαφθείρονται. τὸ δὲ Πατρόκλου σῶμα διασώσαντες οἱ Μυρμιδόνες λούουσιν. Ἥφαιστος δὲ Ἀχιλλεῖ πανοπλίαν κατασκευάζει.

ΣΧΟΛΙΑ ΕΙΣ ΤΗΝ Σ ΤΟΥ
ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΝ

Σ οἱ μὰρναντο δίεμας πυρὸς αἰθομένοιο.] οὕτως μὲν οὖτοι ἐμάχοντο δίχην θρήνου πυρός. νεῶν ὀρθοκραιράων.] ὀρθὰς κεφαλὰς ἐχόντων. ὀρθοτρύμνων. καλεῖται ἡ κεφαλὴ τὸ ἐπάνω τοῦ ἰσοῦ διειλημένου πλαγίου ξύλου, οὗ ἁπτεται ἡ ὀθόνη. ἀχνύσας.] στενάξας. ἀτιζόμενοι.] φοβούμενοι. διεπίφραδε.] διεσάφησεν. ἔπειμ. ἐρήτηται ἡ πῶς οὐκ ἔστιν Αὐτομέδων μὴ νυ τῆς δὲ Πατρόκλου ἀναιρέσεως, ἀλλ' Αντίλοχος, καὶ διατί γυμνὸς τρέχει. ῥητέον οὖν, ὅτι Αὐτομέδοντα μὲν αἰσχρὸν ἦν μετὰ τοῦ ἵππων ἔρχεσθαι πρὸς Αχιλλέα ἄπρακτον. τὸ ἄλλων ἀγωνιζομένων περὶ τοῦ σώματος. Αντίλοχος ἦν ταχύτατος ὧν τῶν ἄλλων προεκρίθη. καὶ γυμνὸς ἄπεισι μετὰ τῶν ὅπλων, τὰς συμφορὰς ἐκ πομπεύειν παραιτούμενος ἢ διὰ τὸ μὴ βαρούμενον τοῖς ὅπλοις χρονίσαι τῇ ὁδῷ. Μυρμιδόνων. τὸν ἄριστον.] Ακτωρ γίνει μὲν ἦν Δοκρὸς, γήμας ἦ Αἴγιναν τὴν Ασωποῦ ἢ Θυδαὶς ποταμοῦ θυγατέρα μετὰ τὴν Διὸς μίξιν, ἣ καταμείνας ἐν Οἰνώνῃ ἐγέννησε Μενοίτιον ὃς ἀνελθὼν ὅπι τὴν πατρῴαν Οπουντα Πάτροκλον ἐγέννησεν, ὃν εἰκότως Μυρμιδόνα ἔφη διὰ τὸ γεννηθῆναι τὸν πατέρα αὐτοῦ ἐν Αἰγίνῃ. εἰ μάλα μὴ τέθνηκεν.] ἀκριβῶς μὴ τέθνηκεν. οὕτως γὰρ καὶ ἐν Οδυσσείᾳ ἔχει. εἰ μάλα μήτις ἔγημε πολυμνήστην βασίλειαν. ἵν' ἦ ἀκριβῶς ἔγημε. σχέτλιος.] ἀντὶ τοῦ σχετλιασμοῦ ἄξιος καὶ ἀγνώμων. ὡς πρὸς ἑαυτὸν λέγει. πεύσεται.] ἀκούσεται. μάθοις. πᾶται.] νῦν ἀντὶ τοῦ ἀνήρηται. τεθνηκέναι. Αχιλεὺς νεφέλην.] πολλὴ δὲ λύπης. ὅ ἐστι πολλὴ λύπη.

νόνιμ

ΙΛΙΑΔΟΣ Σ ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ

Σίγμα Θέτις Αχιλῆϊ παρὰ Ἡφαίστῳ φόβον ὅπλα

Σ οἱ μὲν μάρναντο δίεμας πυρὸς αἰθομένοιο.
Ἀντίλοχος δ' Αχιλῆϊ ποδώκεϊ τάχυς ἄγγελος ἦλθε.
Τὸν δ' εὗρε προπάροιθε νεῶν ὀρθοκραιράων,
Τὰ φρονέοντ' ἀνὰ θυμὸν ἃ δὴ τετελεσμένα ἦεν.
Οχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν.
Ὤμοι ἐγὼ, τί τ' ἄρ αὖτε κεκαρηκόμοντες Αχαιοί,
Νηυσὶν ἐπικλονέονται ἀτυζόμενοι πεδίοιο,
Μὴ δή μοι τελέσωσι θεοὶ κακὰ κήδεα θυμῷ,
Ὡς ποτέ μοι μήτηρ διεπέφραδε καί μοι ἔειπε,
Μυρμιδόνων ὑπὸ φῶτα ἄριστον ἔτι ζώοντος ἐμεῖο,
Χερσὶν ὑπὸ Τρώων λείψειν φάος ἠελίοιο,
Ἦ μάλα δὴ τέθνηκε Μενοιτίου ἄλκιμος υἱός
Σχέτλιος, ἦ τ' ἐκέλευον ἀπωσάμενον δήϊον πῦρ.
Ἂψ αὖ νῆας ἵκεν, μηδ' Εκτορι ἶφι μάχεσθαι.
Ἕως ὁ ταῦθ' ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν.
Τόφρα οἱ ἐγγύθεν ἦλθεν ἀγὰς Νέστορος υἱός,
Δάκρυα θερμὰ χέων. φάτο δ' ἀγγελίην ἀλεγεινὴν,
Ὤμοι Πηλέος υἱὲ δαΐφρονος, ἦ μάλα λυγρῆς
Πεύσεαι ἀγγελίης, ἣ μὴ ὄφελε γενέσθαι.
Κεῖται Πάτροκλος, νέκυος δὲ δὴν ἀμφιμάχονται
Γυμνός, ἀτὰρ τά γε τεύχε' ἔχει κορυθαίολος Εκτωρ.
Ὣς φάτο τὸν δ' ἄχεος νεφέλη ἐκάλυψε μέλαινα.

Αμφοτέρῃσι

Ἀμφοτέρῃσι δὲ χερσὶν ἑλὼν κόνιν αἰθαλόεσσαν,
Χεύατο κὰπ κεφαλῆς, χάρε δ' ἠσχύνε πρόσωπον.
Νεκταρέῳ δὲ χιτῶνι μελανὶ ἀμφίζανε τέφρη.
Αὐτός δ' ἐν κονίῃσι μέγας μεγαλωστὶ τανυσθείς
Κεῖτο, φίλῃσι δὲ χερσὶ κόμην ἤσχυνε δαΐζων.
Δμωαὶ δ' ἃς Αχιλεὺς λάβετο Πατρόκλος τε.
Θυμὸν ἀκηχέμεναι, μεγάλ' ἴαχον, ἐκ δὲ θύραζε
Ἔδραμον ἀμφ' Αχιλῆα δαΐφρονα. χερσὶ δὲ πᾶσαι
Στήθεα πεπλήγοντο, λύθεν δ' ὑπὸ γυῖα ἑκάστης.
Ἀντίλοχος δ' ἑτέρωθεν ὀδύρετο δάκρυα λείβων,
Χεῖρας ἔχων Αχιλῆος, ὅδ' ἔσχε κυδάλιμον κῆρ,
Δείδιε γὰρ μὴ λαιμὸν ἀκρητὴν ἐκτάμῃσι σιδήρῳ.
Σμερδαλέον δ' ὤμωξεν. ἄκουσε δὲ πότνια μήτηρ,
Ἡμένη ἐν βυθέσιν ἁλὸς, πὰρ πατρὶ γέροντι.
Κώκυσεν τ' ἄρ' ἔπειτα, θεαὶ δέ μιν ἀμφαγέροντο
Πᾶσαι, ὅσαι ῥ' ἔβυθε ἁλὸς Νηρηίδες ἦσαν.
Ἐνθ' ἄρ' ἔην Γλαύκη τε Θάλειά τε, Κυμοδόκη τε,
Νησαίη, Σπειώ τε, Θόη τ', Ἁλίη τε Βοώτις.
Κυμοθόη τε καὶ Ἀκταίη, καὶ Λιμνώρεια.
Καὶ Μελίτη, καὶ Ἰαίρα, καὶ Αμφιθόη, καὶ Αγαυή.
Δωτώ τε, Πρωτώ τε, Φέρουσά τε, Δωριμένη τε.
Δεξαμένη τε, καὶ Αμφινόμη, καὶ Καλλιάνειρα
Δωρὶς καὶ Πανόπη, καὶ ἀγακλειτὴ Γαλάτεια.
Νημερτὴς τε, καὶ Αψευδὴς, καὶ Καλλιάνασσα.
Ἔνθα δὲ καὶ Κλυμένη, Ἰάνειρά τε, καὶ Ἰάνασσα.
Μαῖρα καὶ Ὠρείθυια, εὐπλόκαμός τ' Αμάθεια.
Ἄλλαι θ', αἱ κατὰ βυθὸν ἁλὸς Νηρηΐδες ἦσαν.
Τῶν δὲ καὶ ἀργύφεον πλῆτο σπέος, αἱ δ' ἅμα πᾶσαι
Στήθεα πεπλήγοντο, Θέτις δ' ὀξὺ ἤρχε γόοιο.
Κλῦτε κασίγνηταί Νηρηΐδες, ὄφρ' εὖ πᾶσαι
Εἰδεῖτ' ἀκούσασαι, ὅσ' ἐμῷ ἐνὶ κήδεα θυμῷ.
Ὤμοι ἐγὼ ἀειλὴ, ὤμοι δυσαριστοτόκεια,
Ἦ τ' ἐπεὶ ἄρ' τέκον υἱὸν ἀμύμονά τε κρατερόν τε
Ἐξοχον ἡρώων, ὀδ' ἀνέδραμεν ἠΰτε ἶσον,
Τὸν μὲν ἐγὼ θρέψασα φυτὸν ὡς γυνὴ ἀλωῆς,
Νηυσὶ δίηι πέμψουσα κορωνίσιν Ἰλιον εἴσω,
Τρωσὶ μαχησόμενον, τὸν δ' οὐκέτ' ὀπάσσομαι αὖτις
Οἴκαδε νοστήσαντα δόμον Πηλήϊον εἴσω,
Ὄφρα δέ μοι ζώει καὶ ὁρᾷ φάος ἠελίοιο,
Ἀχνυται, οὐδέ τι οἱ δύναμαι χραισμῆσαι ἰοῦσα,
Ἀλλ' εἶμ' ὄφρα ἴδωμαι φίλου τέκος, ἠδ' ἐπακούσω,
Ὅττι μιν ἵκει πτώσσοντα πολεμοιο μένοντα.
Ὣς ἄρα φωνήσασα λίπε σπέος, αἱ δὲ σὺν αὐτῇ,
Δακρυόεσσαι ἴσαν, πόδι δὲ σφισι κῦμα θαλάσσης
Ῥήγνυτο, ταὶ δ' ὅτε δὴ Τροίην ἐρίβωλον ἵκοντο,
Ἀκτὴν εἰσαναβᾶσαι ἀδὴν ἐχέχυντο, φάλαγγες θαμειαὶ

Μυρμιδόνων

κόνιν αἰθαλόεσσαν.] τὴν κόνιν, τὴν σποδὸν παρὰ τὸ ἐπικαῦσαι. νεκταρέῳ.] θείῳ, καθαρῷ. ἀμφίζανε.] πρόσικάθητο. μεγαλωστί.] πολὺ τοῦ μεγάλου. κρατ. ὑπερνικῶντος. ἤσχυνε.] ἐβεβήλωσε.

δαΐζων.] διακόπτων, σπαράσσων.

λιάσατο.] ἐκ λαφύρων ἐκτήσατο.

ἀκαχέμεναι.] λιπόμεναι. πεπλήγοντο.] ἐπλησσον. κυδάλιμον.] ἐνδοξον. ἀποτμήξειεν.] ἀποτέμοι.

κώκυσεν.] ἀνεκλαυσεν. ἀμφαγέροντο.] πρὸς αὐτὴν ἠθροίζοντο. εὔπλοκάμου.] εὐπλόκου. εὐθρονος.] καλῆς. ἀργύφεον.] μέγα, ἢ λαμπρὸν. πλῆτο.] ἐπλήρωτο. ἦλιτε.] αὐτὶ τοῦ ἤλπιτε, ἢ γνώσεσθε.] δυσαριστοτόκεια.] ὡδὶ καλῶ τὴν ἄριστον τεκοῦσαν. αὐτὸ δραμεῖν.] ἐξέθη. ὄρνις.] φυτῷ. γανῷ ἀλωῆς.] ἐν τῷ γονιμωτάτῳ τόπῳ τῆς γῆς.

ἀπὸ πολέμοιο μένοντα.] χωρὶς ὄντα τοῦ πολέμου. πρὶ δίσφισι κῦμα θαλάσσης ῥήγνυτο.] πρὶν ῥήγνυτο ἢ αὐτοῖς τὰ τῆς θαλάσσης κύματα. ἀκτήν.] παραθαλάσσιον τόπον αἰγιαλόν. ἐπισχρὼ.] ἐφεξῆς.

ἀλήμεναι.]

Μυρμιδόνων ἔρωτο νέες, ταχὺ ἀμφ' Ἀχιλῆα.
Τῷ δὲ Βαρυσενάχοντι πιθέσατο ὠστία μήτηρ.
Ὀξὺ δὲ κωνύσασα κάρη λάβε παιδὸς ἑοῖο,
Καί ῥ' ὀλοφυρομένη, ἔπεα πτερόεντα προσηύδα.

Τέκνον τί κλαίεις, τί δέ σε φρένας ἵκετο πένθος;
Ἐξαῦδα μὴ κεῦθε, τὰ μὲν δὴ πὶ τελέσαι
Ἐκ Διός, ὡς αἶσα δὴ πρίν' εὔχεο χεῖρας ἀνασχών.
Πάντας ἂν πρύμνησιν ἀλήμεναι υἷας Ἀχαιῶν,
Σεῦ ἂν δὴ λευομένους, παθέειν τ' ἀεικέα ἔργα.

Τὴν δ' ἐβαρυστενάχων προσέφη πόδας ὠκὺς Ἀχιλλεύς
Μᾶτερ ἐμή, τὰ μὲν ἦ μοι ὀλύμπιος ἐξετέλεσσεν,
Ἀλλὰ τί μοι τῶν ἦδος, ἐπεὶ φίλος ὤλεθ' ἑταῖρος
Πάτροκλος, ὃν ἐγὼ πολὺ πάντων τῖον ἑταίρων
Ἶσον ἐμῇ κεφαλῇ, ὃν ἀπώλεσα, τεύχεα δ' Ἕκτωρ
Δηϊώσας ἀπέδυσε περικλυτά, θαῦμα ἰδέσθαι
Καλά, τά μιν Πηλῆϊ θεοὶ δόσαν ἀγλαὰ δῶρα
Ἤματι τῷ, ὅτε σε βροτοῦ ἀνέρος ἐμβάλον εὐνῇ.
Ὡς ὄφελες σὺ μὴ αὖθι μετ' ἀθανάτοισι ἁλιῆσι
Ναίειν, Πηλεὺς δὲ θνητὸν ἀγαγέσθαι ἄκοιτιν.
Νῦν δ' ἵνα σοὶ σῷ θυμὸς ἰδὲ φρεσὶ μύρεται εἶη,
Πολλὸς ἀποφθιμένοιο, ὃν οὐχ ὑποδέξεαι αὖθις
Οἶκόνδε νοσήσαντ' ἐπεὶ οὐδὲ ἐμὲ θυμὸς ἄνωγε
Ζώειν, οὐδ' ἄλλοισι μετέμμεναι, ἅλτε μὴ Ἕκτωρ
Πρῶτος ἐμῷ ὑπὸ δουρὶ τυπείς, ἀποθυμὸν ὀλέσῃ
Πατρόκλοιο δ' ἕλωρα Μενοιτιάδεω ἀποτίσῃ.

Τὸν δ' αὖτε προσέειπε Θέτις, κατὰ δακρυχέουσα.
Ὠκύμορος δὴ μοι τέκος ἔσσεαι, οἷ ἀγορεύεις.
Αὐτίκα γάρ τοι ἔπειτα μετ' Ἕκτορα πότμος ἑτοῖμος.

Τὴν δὲ μεγ' ὀχθήσας προσέφη πόδας ὠκὺς Ἀχιλλεύς
Αὐτίκα τεθναίην, ἐπεὶ οὐκ ἄρ' ἔμελλον ἑταίρῳ
Κτεινομένῳ ἐπαμῦναι. ὁ μὲν μάλα τηλόθι πάτρης
Ἔφθιτ', ἐμοῖο δὲ δῆσεν ἀρῆς ἀλκτῆρα γενέσθαι.
Νῦν ἐπεὶ οὐ νέομαί γε φίλην ἐς πατρίδα γαῖαν
Οὐ δέ τι Πατρόκλῳ γενόμην φάος, οὐδ' ἑτάροισι
Τοῖς ἄλλοις, οἵ δὲ πολέες δάμεν Ἕκτορι δίῳ.
Ἀλλ' ἧμαι παρὰ νηυσὶν ἐτώσιον ἄχθος ἀρούρης,
Τοῖος ἐὼν οἷος οὔτις Ἀχαιῶν χαλκοχιτώνων
Ἐν πολέμῳ. ἀγορῇ δέ τ' ἀμείνονες εἰσὶ καὶ ἄλλοι.
Ὡς ἔρις ἔκ τε θεῶν, ἔκτ' ἀνθρώπων ἀπόλοιτο
Καὶ χόλος, ὅστ' ἐφέηκε πολυφρονά περ χαλέπηναι,
Ὅς τε πολὺ γλυκίων μέλιτος κατὰ λείβδην αὔει
Ἀνδρῶν ἐν στήθεσιν ἀέξεται ἠύτε καπνός,
Ὡς ἐμὲ νῦν ἐχόλωσεν, ἄνακτ' ἀνδρῶν Ἀγαμέμνονα,
Ἀλλὰ τὰ μὲν προτετύχθαι ἐάσομεν, ἀχνύμενοί περ.
Θυμὸν ἐνὶ στήθεσσι δαμάσσαντες ἀνάγκῃ.
Νῦν δ' εἶμ' ὄφρα φίλης κεφαλῆς ὀλετῆρα κιχείω
Ἕκτορα,

Ἕκτορα, κῆρε δ' ἔπειτα δεξάμενος θάνατον Διὸς ἐκ νοσφίσσομαι αὐτός.
Καὶ γὰρ ἐγὼ τότε δὴ ἐξέσομαι ὁππότε κεν δὴ
Ζεὺς ἐθέλῃ τελέσαι, ἠδ' ἄλλοι ἀθάνατοι θεοί ἄλλοι.
Οὐδὲ γὰρ οὐδὲ βίη Ἡρακλῆος φύγε κῆρα.
Ὃς περὶ φίλτατος ἔσκε Διὶ Κρονίωνι ἄνακτι.
Ἀλλὰ ἑ μοῖρα δάμασσε καὶ ἀργαλέος χόλος Ἥρης.
Ὡς καὶ ἐγών εἰ δή μοι ὁμοίη μοῖρα τέτυκται,
Κεῖσομ' ἐπεί κε θάνω, νῦν δὲ κλέος ἐσθλὸν ἀροίμην.
Καί τινα Τρωϊάδων τε καὶ Δαρδανίδων βαθυκόλπων,
Ἀμφοτέρῃσιν χερσὶ πρὸ εἰθέων ἄπαλάων,
Δάκρυ ὀμορξαμένην ἁδινὸν στενάχησαι ἐφείην.
Γνοίεν δ' ὡς δὴ δηρὸν ἐγὼ πολέμοιο πέπαυμαι.
Μὴ δέμ' ἔρυκε μάχης φιλέουσά περ, σὺ δέ με πείσεις.
Τὸν δ' ἠμείβετ' ἔπειτα θεὰ Θέτις ἀργυρόπεζα.
Νὰ δὴ ταῦτά γε τέκνον ἐτήτυμον ὃ κακὸν ἐσι.
Τειρομένοις ἐπάροισιν ἀμυνέμεν ἀπὸ λοιγόν.
Ἀλλὰ τοι ὥρτεο κάλ' ἀπὸ Τρώεσσιν ἔχοντα.
Χάλκεα μαρμαίροντα, τὰ μὲν κορυθαίολος Ἕκτωρ
Αὐτὸς ἔχων ὤμοισιν ἀγάλλεται, οὐδὲ ἕ φημὶ
Δηρὸν ἐπαγλαϊεῖσθαι, ἐπεὶ φόνος ἐγγύθεν αὐτῷ.
Ἀλλὰ σὺ μὲν μήπω κατὰ λύσεο μῶλον Ἄρηος.
Εἰῇ γ' ἐμὲ δεύτερ' ἐλθόντα φάσθαι ὀφθαλμοῖσιν ἰδέσθαι.
Ἤματι γὰρ νεῦμαι ἅμ' ἠελίῳ ἀνιόντι.
Τεύχεα καλὰ φέρουσα παρ' Ἡφαίστοιο ἄνακτος.
Ὡς ἄρα φωνήσασα πάλιν πρὰπεδ' ἴσος ἑοῖο.
Καὶ στρεφθεῖσ', ἀλίῃσι κασιγνήτῃσι μετηύδα.
Ὑμεῖς μὲν νῦν δῦτε θαλάσσης εὐρέα κόλπον.
Ὀψόμεναί τε γέροντ' ἅλιον, καὶ δώματα πατρός.
Καί οἱ πάντ' ἀγορεύσατ', ἐγὼ δ' ἐς μακρὸν Ὄλυμπον.
Εἶμι παρ' Ἥφαιστον κλυτοτέχνην, αἴ κ' ἐθέλησιν
Υἱεῖ ἐμῷ δόμεναι κλυτὰ τεύχεα παμφανόωντα.
Ὡς ἔφαθ', αἱ δ' ἂρ ἔβαν κῦμα θαλάσσης αὐτίκ' ἔδυσαν
Ἠδ' αὖτ' ἔλυμπόν δε θεὰ Θέτις ἀργυρόπεζα
Ἤϊεν ὄφρα Φίλῳ παιδὶ κλυτὰ τεύχε' ἔνεικοι.
Τὴν μὲν ἄρ' ἔλυμπόν δε ποσὶ φέρον, αὐτὰρ Ἀχαιοί,
Θεσπεσίῳ ἀλαλητῷ ὑφ' Ἕκτορος ἀνδροφόνοιο
Φεύγοντες, νῆάς τε καὶ Ἑλλήσποντον ἵκοντο.
Οὐ δέ κε Πάτροκλόν περ, εὐκνήμιδες Ἀχαιοὶ
Ἐκ βελέων ἐρύσαντο νέκυν θεράποντ' Ἀχιλῆος.
Αὖτις γὰρ δὴ τόν γε κίχον λαός τε καὶ ἵπποι
Ἕκτωρ τε Πριάμοιο παῖς φλογὶ εἴκελος ἄλκην.
Τρὶς μὲν μιν μετόπισθε ποδῶν λάβε φαίδιμος Ἕκτωρ.
Ἑλκέμεναι μεμαὼς, μέγα δὲ Τρώεσσιν ὁμόκλα.
Τρὶς δὲ δύ' Αἴαντες θοῦριν ἐνὶ μαιμῶτε ἀλκήν.
Νεκρὸν ἀπεσυφέλιξαν, ὃ δ' ἔμπεδον ἀλκὶ πεποιθώς,
Ἄλλοτ' ἐπαΐξασκε ἴ μόθον, ἄλλοτε δ' αὖτε
Στάσκε, μέγα ἰάχων, ὀπίσω δ' οὐ χάζετο πάμπαν.

Ὡς δ'

ὁμορξαμένην.] ἀποψησαμένην. ἁδινόν.] ἐλιεινόν. οἰκτρόν. στεναχῆσαι στενάξαι. ἰφθίμην.] ἀναγκάσαιμι. ἀγάλλεται.] χαίρει. ἐπαγλαϊεσθαι.] ἀγαλλιᾶσθαι. γαυριᾶν. μῶλον.] τὸν μολισμὸν τῆς μάχης. ἰῶθεν.] ἐωθεν, ὄρθρου, πρὸ τοῦ ἅλιον ἀνατέλαι. ὁ μὲν καὶ ἐπέλασε. παρεκελεύετο. ἀπεσυφέλιξαν ἀπεκίνησαν. λίσσεσθαι.

αἴθονα.]

αἰθωνα. διὰπυρον. θρῴμόν. ἀπὸ σώματος.] ἀπό τινος ῥως. νεκρὸν γάρ φασι, μὴ ἀπηλιθιᾶσαι λέοντα. λίεσθαι.] λιῶσαι. κηρύβδια.] λαθραίως. ἔρσετο.] διεγέρθ. ἐρύσασθαι.] ἑλκύσαι. ἐπιβήσουσιν.] ἐπ' εὐθείας ὁρμῶσι. πῆξαι ἀνὰ σκολόπεσσι.] ἀνασκολοπίσαι. ἄνα.] ἀνάστηθι. μὴ δέ τι κῆσο.] μὴ ᾖ ἀργὸς διατέλει. σίβας.] αἰδοῦς κρὶ σεβασμοῦ ἄξιον. ἠσχυμμένον.] καθυβρισμένον. λώβη.] αἰσχύνη. κυδρόν.] ἔνδοξος. σεμνόν. Ηφαίστοιο παρά.] παρὰ Ηφαίστῳ. ἠΐστην ὁ τρόπος ἀναγροφή. ἄλλα δ' οὔθημι οἶδα ζεῦ ἄμ κλυτὰ τεύχεα δύω.] ἀλλ' ἀδινὸς οἶδα ἁρμάζεσάι μοι πανοπλίαν. διατί δέ φησι, τῶν Πατρόκλῳ πανοπλίαν ἐκ ἀναλαμβάνει ὁ Αχιλλεύς. ἐπεδὴ κῆ Πατρόκλῳ τὰ αὐτὰ ὅπλα ἁρμοσι. καί φασί τινες ὅτι καταγέλαστον ἦν ταπεινὸν φανῆναι τοῖς τεθαρρηκόσιν. οἱ δ' ὅτι τῷ Πατρόκλῳ Αὐτομέδων. ἔχειν ἵνα διὰπαντὸς Αχιλλέως ἡνίοχος νομίζηται. αὖτως.] οὕτως ὡς ἔχεις. ἀμφὶ δ' οἱ κεφαλῆ νέφος ἔστυφε.] τῶν κεφαλῆν αὐτῷ νέφει κάλυπτεν.

ὡς ἄρ'

Ὣς δ' ἀρ' σώματος ὄπτ' λέοντ' ἄδωνα δ' ὠσαν ταῖ
Ποιμένες ἀγραυλοι μέγα περικόντα δίεσθ.
Ὣς ῥα τὸν κὲ δ' ὠσαντο δύω Αἰαντε κορυσσὲ
Ἕκτορα πελαμίδην ἀρ' νεκρῶ δ' εἰσίξασθ.
Καὶ νύκεν εἴρυσσόν τε, κρὶ ἄσπετον ἤρατο κῦδος.
Εἰ μὴ Πηλείωνι ποδήνεμος ὠκέα Ιρις,
Ἄγγελος ἦλθε θέσσ' ἀπ' ὀλύμπου θωρήσεσθαι.
Κρύβδα Διὸς, ἄλλων τε θεῶν, πρὸ γὰρ ἦκε μιν Ηρη.
Ἀγχοῦ δ' ἱσταμένη, ἔπεα πτερόεντα προσηύδα.
Ὄρσεο Πηλείδη πάντων ἐκπαγλότατ' ἀνδρῶν.
Πατρόκλῳ ἐπάμυνον, οὗ εἵνεκα φύλοπις αἰνὴ
Ἔσηκε πρὸ νεῶν, οἱ δ' ἀλλήλους ὀλέκουσιν.
Οἱ μὲν ἀμυνόμενοι νέκυος πέρι τεθνειῶτος,
Οἱ δὲ ἐρύσασθαι προτὶ Ιλιον ἠνεμόεσαν
Τρῶες ἐπιθύουσι, μάλιστα δὲ φαίδιμος Ἕκτωρ
Ἑλκέμεναι μέμονεν, κεφαλὴν δέ ἑ θυμὸς ἄνωγε
Πῆξαι ἀνὰ σκολόπεσσι, τάμόνδ' ἀπαλῆς ἀρ' ἀειρῆς.
Ἀλλ' ἄνα μὴ δὲ τι κεῖσο, σέβας δέ σε θυμὸν ἱκέσθω,
Πάτροκλον Τρωῆσι κυσὶν μέλπηθρά γενέσθαι.
Σοὶ λώβη, αἰ κήν τι νέκυς ἠκυμόν ἔλθῃ,

Τὸν δ' ἠμείβετ' ἔπειτα, ποδάρκης δῖος Αχιλλεύς
Ἶρι θεὰ, πίς τ' ἄρσε θεῶν ἐμοὶ ἄγγελον ἦκε;

Τὸν δ' αὖτε προσέειπε, ποδήνεμος ὠκέα Ιρις
Ηρη με πρόεικε Διὸς κυδρὴ παράκοιτις,
Οὐδ' οἶδε Κρονίδης ὑψίζυγος, οὐδέ τις ἄλλος
Ἀθανάτων, οἳ Ὄλυμπον ἀγάννιφον ἀμφινέμονται.

Τὴν δ' ἀπαμειβόμενος, προσέφη ποδάρκης δῖος Αχιλ-
Πῶς τ' ἄρ' ἴω μετὰ μῶλον, ἔχουσι δὲ τεύχε' ἐκεῖνοι, λεὺς
Μήτηρ δ' ὄ με Φίλη, πρίν γ' εἶα θωρήσεσθαι,
Πρίν γ' αὐτὴν ἐλθεῖν ἐν ὀφθαλμοῖσιν ἰδωμαι,
Στεῦτο γὰρ Ηφαίστοιο παρ' οἰσέμεν ἔντεα καλά.
Ἄλλου δ' οὔθημι οἶδα τεῦ ἂν κλυτὰ τεύχεα δύω,
Εἰ μὴ Αἴαντός γε σάκος Τελαμωνιάδαο,
Ἀλλὰ καὶ αὐτὸς ὄγ' ἔλπομ' ἐνὶ πρώτοισιν ὁμιλεῖ,
Ἐγχεῖ δηΐοιο περὶ Πατρόκλοιο θανόντος,

Τὸν δ' αὖτε προσέειπε ποδήνεμος ὠκέα Ιρις,
Ἴδμεν καὶ ἡμεῖς ἴσμεν, ὅτι κλυτὰ τεύχε' ἔχονται.
Ἀλλ' αὖτος ὧδε πάρελθε πύλας, Τρώεσσι φάνηθι.
Αἴκεν ὑποδείσαντες ἀποσχόνται πολέμοιο
Τρῶες, ἀναπνεύσωσι δ' Ἀρηΐ φίλοι υἷες Αχαιῶν
Τετρόμενοι, ὀλίγη δέ τ' ἀνάπνευσις πολέμοιο.
Ἦ μὲν ἄρ' ὣς εἰποῦσ' ἀπέβη πόδας ὠκέα Ιρις,
Αὐτὰρ Αχιλλεὺς ὦρτο Διὶ φίλος, ἀμφὶ δ' Ἀθήνη
Ὤμοις ἰφθίμοισι βάλ' ἀιγίδα θυσανόεσσαν.
Ἀμφὶ δέ οἱ κεφαλὴν νέφος ἔστυφε δῖα θεάων
Χρύσειον, ἐκ δ' αὐτοῦ δαῖε φλόγα παμφανόωσαν.

Ὡς δ'

Ὡς δ' ὅτε καπνὸς ἰὼν δῆ ἄστεος] ἐθ τοῖς ἀρχαίοις τὸν πολεμούμενον τῇ μὲν ἡμέρᾳ καπνὸν ἀπὸ τῶν τειχῶν διὰ γίνεσθαι, τῇ δ' νυκτὶ φλόγα, τῶν ἀπὸ τῶν πυρσοῖς βοήθειαν ἀλλήλοις συμμαχίαν ἐπὶ καλουμένοις. δηΐπω γὰρ ὧν σίνεσθαι σάλπιγξ. ἐπήβροι.] ἐπάλληλοι, πυκνοί. περικτιόνεσσι.] τοῖς πέριοίκοις. ἀρῆος ἀλκτῆρες.] ἀποβλητοί τῶν πολέμων. σίλας.] λαμπρότης.

ὠπίζετο.] ἐστρέφετο, φροντίζων ἐπεὶ τί το ἀριβήλη.] μεγάλως ἐκόλασε.

Ὡς δ' ὅτ' ἀριβήλη φωνὴ ὅτε τ' ἴαχε σάλπιγξ.] ἀπὸ τῶν ἰδίων χρόνων ὁ Ποιητὴς ὠνόμασε τὴν σάλπιγγα. ἐπεὶ δέπω σύριττο παρὰ τοῖς παλαιοῖς κοίλην γὰρ θαλασσίαν ὄζ ἐλάπιζον. πόρε πλομένων.] πορβρομένων. θυμοραϊσέων.] τῶν ψυχῆς φθαρτικῶν. ἀείρομ.] ἤκουσ. ὄπα χάλκεον.] σφεῶν φωνὴν. ἀψ ὄχεα τρόπεον.] ἐς τὸ πίσω πορίστρεφον τὰ ἅρματα. ὄασντο.] πρωϊώρων. μετὰ διαύοιαν πρόβλεπον. ἐκπλαγεν.] ἐξεπλάγησαν.

ἐκυκήθησαν.] ἐταράχθησαν. ἀμφὶ σφοῖς.] πρὸς τοῖς ἰδίοις. μυρόμενοι.] ὀδυρόμενοι, πλαίοντες. φορέτρῳ.] νεκροφόρῳ, κλινιδίῳ, ᾗ φορέφ. ἀκάμαντα.] μισθίστους κοπιῶντας. μισθώσαι.] ἐπιμελεῖσθαι. ὃν δ' ἀγοράων ἀγέροντο.] ἐς τὴν ἐκκλησίαν συνεθροίζοντο. πρὸς τί φησιν ἐκκλησίαν ἀθροίσει. τινὲς μὲν ὅν τῶν Ποιητὴν φασί μετάγειν τὴν μάχην ἐς λόγους ἀεὶ θαρρώμενον τὸ πολέμου. οἱ δὲ διὰ διότι τὸν Τρῶας αὐτομάτως συναραμένων ἀναχαιτίσαι δύνασθαι τοὺς ἡγεμόνας. πρόσω κρὶ ὀπίσω.] ἐς τὸ παρόν καὶ τὸ μέλλον.

ἀμφὶ

Ὅς σφιν

ἀμφὶ μάλ᾽ φράζεσθε.] ἐπιμελῶς βουλεύεσθε. ῥηϊτεροι.] εὐκολώτεροι ἐν τῷ πολέμῳ ἀνταγωνισταί. πολεμίζεμεν.] ἀντὶ τοῦ πολεμίζεσθαι, μάχεσθαι. τοῦ ἑρμηνεία ὁ ῥόπος. θοῇς ἵπποις νυσσέμεν ἰαύων.] ἐπαυλιζόμενος ταῖς ναυσί, καθεύδων. μίμνομεν Ἀρηος.] ἢ πόλεμον καθ᾽ ὅσον. ὁτὲ μὲν ἐφεύγομεν ὁτὲ δὲ διώκομεν. μίμνομεν Ἀρηος διατείνοντες.] μιμίζοντες ἢ τοῦ πολέμου κίνδυνον.

αἰ γὰρ δὴ μοι ἀπ᾽ ἄατος.] ὤφελεν γὰρ ἀπὸ τῆς ἀνοίας γενέσθαι. ἔτι ἐστιν. ἐλθὲ γὰρ μὴ ἀπόσχωμι. τινὲς ἢ ἀπάτορα, ἢ κακόμοιρον· ἢ τὸν Ἀχιλλέα. αὐτὶ τοῦ. ἐλθὲ γὰρ κακὸς ἐγένετο, ἔτι ἐστὶ λειπός. νύκτα μὴ ἂν ἀγορῇ δέωμεν ἐξομεν.] τὴν βοηθῆς ἐπικρατήσωμεν καὶ ἱκανισχύσωμεν. ὃ ἐστι βουλευσώμεθα, ἔτι ἐστι συναθροισθῶμεν. ἐρευγμέναι.] ἁρμοσμέναι. ἄασε.] πληρώσῃ, κορέσῃ. ἠλασκάζων.] πλανώμενον, πρὸς ὀρχούμενον, ἢ ἐκκλίνων, ἢ ἐλαύνων.

κεκόρηθε.] ἐκορέσθητε, ἐπλησθητε. ἐελμένοι.] συγκεκλεισμένοι, συννεγμένοι. μυθέσονται.] ἐλέγομεν. Μησθίνιμ.] Λυδίαμ. ὅτω γὰρ πρότερον ἐκαλεῖτο. πόρναμαι.] πιπρασκόμενα. ἥκει.] ἀφικνῆται, ἢ ἀπέρχεται. ὠλύσατο.] ἐχολώθη, ὠργίσθη. νούμματα.] βουλεύματα. φᾶνε.] διαφανῆ ἐποίησεν. ἐντελέεσσιν.] ἐν τοῖς τάγμασιν.

Τρώων

Ὅς σφιν ἐϋφρονέων ἀγορήσατο καὶ μετέειπεν.
Ἀμφὶ μάλα φράζεσθαι φίλοι, κέλομαι γὰρ ἔγωγε
Ἄσυ δὲ νῶϊ ἰέναι, μὴ μίμνειν δὴ δηΐων
Ἐν πεδίῳ πρὸ νηυσίν, ἐπὰς δ᾽ ἀρὴ τέχεϊ ἐμῷ.
Ὄφρα μὲν ὅδ᾽ ἀνὴρ Ἀγαμέμνονι μήνιε δίῳ,
Τόφρα δὲ ῥηΐτεροι πολεμίζειν ἦσαν Ἀχαιοί.
Χαίρεσκον γὰρ ἔγωγε θοῆς ὑπὸ νηυσὶν ἰάων,
Ἐλπόμενος νῆας γ᾽ ἀρεησέμεν ἀμφιελίσσας.
Νῶϊ δ᾽ ὤνησ᾽ λείβηκα ποδώκεα Πηλέϊωνα.
Οἷος ἐκείνου θυμὸς ὑπερφίαλος, οὐκ ἐθελήσει
Μίμνειν ὧ πεδίῳ ὄφρι πρὸ Τρῶες καὶ Ἀχαιοί,
Ἐν μέσῳ ἀμφότεροι μιμνόμεν Ἄρηος λαοσσόοι.
Ἀλλὰ πόδι πτολίος τε μαχήσεται ἠδὲ γυναικῶν.
Ἀλλ᾽ ἴομεν ταχέως, ὥς μοι πιθέσθε γὰρ ἔσται.
Νῦν μὲν νὺξ ἀπέπαυσε ποδώκεα Πηλέϊωνα
Ἀμβροσίη, εἰ δ᾽ ἄμμε κιχείσεται ὧδε μάλ᾽ ἐόντας,
Αὔριον ὁρμηθεὶς σὺν τεύχεσιν, εὖ νύ τις αὐτὸν
Γνώσεται, ἀασάσιος γὰρ ἀφίξεται Ἰλιον ἱρὴν,
Ὅς κε φύγῃ, πολλὸὺς δὲ κύνες καὶ γῦπες ἔδονται
Τρώων, αἰ γὰρ δή μοι ἀπ᾽ ἄατος ὧδε γένοιτο.
Εἰ δ᾽ αὖ ἐμοῖς ἐπέεσι πιθώμεθα κεν δαμέντες πρὸ
Νύκτα μὲν εἰν ἀγορῇ δῴωμεν ἔξομεν, ἄσυ δὲ θύργοι
Ὑψηλαί τε πύλαι, σανίδες τ᾽ ἐπὶ σφὶ ἀραρυῖαι
Μακραὶ εὐξέσοι ἔδ᾽ ὑγμεναι εἰρύσσονται.
Πρωὶ δ᾽ ἔνοπλοι ἰόντες ἐπὶ πρόμαχοι τέχεος στησόμεθ᾽ αὐτῆ πύργος, ἔσται δ᾽ ἄλγιον ἀσκὲ ἐθέλησιν
Ἐλθὼν ἐκ νηῶν ποδώκεα τείχεος ἄμμι μάχεσθαι.
Ἀψ πάλιν εἶσ᾽ ὠδί νῆας ἐπεὶκ ἐελάσσας ἵππους
Παντοίης βρόμου ἄσῃ κατὰ πτολίων πλατάζων.
Εἴσω δ᾽ ὅ μιν θυμὸς ἐφορμηθῆναι ἐάσει.
Οὐδέ ποτ᾽ ἐκπέρσει πρὶν μιν κύνες ἀργοὶ ἔδονται.
Τόνδ᾽ ἄρ᾽ κατόβρα ἰδὼν πωσέφρων κορυθαίολος Ἕκτωρ
Βαλυδάμα, σὺ μὲν δή τ᾽ ἐμοὶ φίλε ταῦτ᾽ ἀγορεύεις.
Ὅς κέλεαι ἦμ᾽ ἄσυ ἀλήμεναι αὖτις ἰόντας.
Ἦ ὄφρα κεκόρησθε ἐελμένοι ἔνδοθι πύργων.
Πρὶν μὲν γὰρ Πριάμοιο πόλιν μέροπες ἄνθρωποι,
Πάντες μυθέσκοντο πολύχρυσον, πολύχαλκον.
Νῦν δὲ δὴ ἔβη ἀπόλωλε δόμων κειμήλια καλά.
Πολλὰ δὲ δὴ Φρυγίην καὶ Μηονίην ἐρατεινὴν.
Κτήματα πρὶν ἀνὰ μὲν ἥκει, ἐπεὶ μέγας ὠδίνατο Ζεύς.
Νῦν δ᾽ ὅτε πέρ μοι ἔδωκε Κρόνου πάϊς ἀγκυλομήτεω,
Κῦδος ἀρέσθ᾽ ὧδί νηυσὶ, θαλάσσης τ᾽ ἔλασε Ἀχαιούς
Νήπιε, μηκέτι ταῦτα νοήματα φᾶσιν ἐνὶ δήμῳ.
Οὐ γάρ τις Τρώων ὧδε πείσεται, οὐδὲ γὰρ ἐάσω.
Ἀλλ᾽ ἄγε δὴ ὡς ἂν ἐγὼ εἴπω πειθώμεθα πάντες.
Νῦν μὲν δόρπον ἕλεσθε κατὰ στρατὸν ἐν τελέεσσι

Καὶ

Καὶ φυλακῆς μνήσασθε, καὶ ἐγρήγορθε ἕκαστος,
Τρώων δ᾽ ὅς κτεάτεσσιν ὑπερφιάλως ἀνιάζει
Συλλέξας λαοῖσι, δότω κατὰ δημοβορῆσαι.
Τῶν τινα βέλτερόν ὄσσιν ἐπαυρέμεν, ἢ πῦρ Ἀχαιούς,
Πρωῒ δ᾽ ὦ πόποι σὺν τεύχεσι θωρηχθέντες,
Νηυσὶν ὕπ᾽ γλαφυρῇσιν ἐγείρομεν ὀξὺν Ἄρηα.
Εἰδ᾽ ἕτερον πρὰ ναῦφιν ἀνέστη δῖος Ἀχιλλεύς,
Ἄλγιον ἄκη ἑθέλησι θοῷ ἔστεται. ὅ μιν ἔγωγε
Φεύξομαι ἐκ πολέμοιο σύσσχεθον, ἀλλὰ μάλ᾽ αὖτην
Στεῦμαι, ἥκε φέρεσι μέγα κράτος ἠκὲ φεροίμην.
Ξωὸς γὼ ἀλέομαι καί τε κτανέοντα κατέκτα.
Ὡς Ἕκτωρ ἀγόρευε, ἀϋσὰν δὲ Τρῶες κελάδησαν
Νήπιοι, ἐκ γάρ σφεων φρένας εἵλετο Παλλὰς Ἀθήνη,
Ἕκτορί μὲν γὰρ ἐπήνησαν κακὰ μητιόωντι.
Πουλυδάμαντι δ᾽ ἄρ᾽ οὔτις, ὃς ἐσθλὰ φράζετο βουλήν,
Δόρπον ἔπειθ᾽ εἵλοντο κατὰ στρατόν, αὐτὰρ Ἀχαιοί,
Παννύχιοι Πάτροκλον ἀνασσάχοντο γοῶντες.
Τοῖσι δὲ Πηλεΐδης ἀδινὸν ὄρχηρχε γόοιο,
Χεῖρας ἐπ᾽ ἀνδροφόνους θέμενος στήθεσσιν ἑταίρου,
Μυκνὰ μάλα σφάχων, ὥς τε λὶς ἠϋγενείων,
Ὧι ῥά θ᾽ ὑπὸ σκύμνους ἐλαφηβόλος ἁρπάσῃ ἀνὴρ,
Ὑλης ἐκ πυκινῆς, ὅ δέ τ᾽ ἄχνυται ὕστερος ἐλθών.
Πολλὰ δέ τ᾽ ἄγκε ἐπῆλθε μετ᾽ ἀνέρος ἴχνι ἐρευνῶν
Εἴ ποθεν ὀξέως εὕροι, μάλα γάρ δριμὺς χόλος αἱρεῖ.
Ὡς ὅ βαρὺ σφάχων μετεφώνεε Μυρμιδόνεσσιν,
Ὦ πόποι, ἦ ῥ᾽ ἄλιον ἔπος ἠνβαλον ἤματι κείνῳ
Θαρσύνων ἥρωα Μενοίτιον ᾧ μεγάροισι,
Φῆν δὲ οἱ εἰς Ὀπόεντα πολυκλυτὸν ἤδη ἀπάξειν,
Ἰλιον ἐκπέρσαντα, λαχόντά τε λαὶ δόον αἶσαν,
Ἀλλ᾽ ὁ Ζεὺς ἀνδρεσσι νοήματα πάντα τελευτᾷ.
Ἄμφω γὰρ τὼ πρῶτα ὁμοίην γαῖαν ἐρύσαι,
Αὐτὸν ὧι Τροίῃ, ἐπεὶ ὅ δ᾽ με νοσήσαντα
Δέξεται ὧ μεγάροισι γέρων ἱππηλάτα Πηλεύς.
Οὐ δὲ Θέτις μήτηρ, ἀλλ᾽ αὐτοὶ γαῖα παθέξει.
Νῶϊ δ᾽ ἐπεὶ δὴ Πάτροκλε σοὶ ὕστερος εἶμ᾽ ὑπὸ γαῖαν,
Οὔσε πρὶν κτερίῳ πρίν γ᾽ Ἕκτορος ἐνθάδ᾽ ἐνεῖκαι,
Τεύχεα καὶ κεφαλὴν μεγαθύμου σεῖο φονῆος.
Δώδεκα δὲ πρόπαροιθε πυρῆς, ἀρῶν δειροτομήσω
Τρώων ἀγλαὰ τέκνα, σέθεν κταμένοιο χολωθείς.
Τόφρα δ᾽ ἐμοὶ πρὸς νηυσὶ κορωνίσι, κείσεαι αὔτως.
Ἀμφὶ δέ σε Τρωὰς καὶ Δαρδανίδες βαθύκολποι
Κλαύσονται, νύκτας τε καὶ ἤματα δακρυχέουσαι,
Τὰς αὐτοὶ καμόμεσθα βίηφί τε δορί τε μακρῷ.
Πιέρας ὠχέοντε πόλεις μερόπων ἀνθρώπων.
Ὡς εἰπὼν, ἑτάροισιν ἐκέκλετο δῖος Ἀχιλλεύς.
Ἀμφὶ τρυπόδα μέγαν ὄφρα τάχιστα

Πάτροκλον

Τρῶων δ᾽ ἐς πτεάτεσιν.] καὶ τὰ ἑξῆς. ἢ ὁ Τρώων ὅς τις αὖ ὑπερβαλλόντως αὐίσεται ἐπὶ τοῖς χρήμασιν ὡς μέλλων ἀπολλύειν αὐτὰ ὑπὸ ἢ τοῦ πολεμίου. ἦλο γὰρ ἐλλιπὲς, προσυπακοίτεσθαι συναγαγὼν αὐτὰ, δότω τοῖς πολίταις. βέλτιον γάρ ἐστιν ὑπὸ τούτων αὐτὰ διαπανηθῆναι. καταδημοβορῆσαι.] δόσ τῳ αὐτὰ τῷ πλήθει καταναλῶσαι. ἐπαυρέμεν.] ἀπόναιτο, ἀπολαῦσαι. ξυνὸς ἐνυάλιος.] κοινὸς ὁ ἢ τοῦ πολέμου τύχη, καί τι κτανέοντα κατέκτα, ἐλπὶς ζωῆς αὐτοῖς ἢ τλησίον. συμβαίνει ποτὲ λάθις τοῦ ἑκάστου αὐαιρεθῆναι. ἀσὶ νῦ.] ἀξίως οἰκτροῦ. χεῖρας ἐπ᾽ αὐθροφόνους θέμενος στήθεσιν ἑταίρου.] ἀμφὶ βόλον πότρου τὰς ἑαυτοῦ αὐθροφόνους χεῖρας ὁ Ἀχιλλεὺς ἐπιθεὶς τῷ ἢ ἑταίρου στήθει. ἢ τὰς ἢ αὐθροφόνους Πατρόκλου, ἐπιθεὶς τῷ ἰδίῳ στήθει. βέλτιον ἢ τὸ πρότερον. σκύμνους.] ἀξυτενυμένους μὲν πρώτως συλλαβοῦς, τὸ ἢ λέοντος ἐκγονον. βαρυνομένης ἢ τὰ ἢ ἄλλων ζώων. ἐλαφηβόλος.] κυνηγός. ἄγνια.] τὰς συνδίνησεις τόκου ἢ ὀδῦνας. ἐκάλουν.] μάτην φωνὴν ἀνῆκεν. Ὀπόεντα.] Ὀποῦντα. πόλις δὲ Λοκρίδος. πίπρωται.] ἔμαρται. ἐρυσσαι.] ἐρυθραὶ τῷ αἵματι ποιῆσαι. πτρδιῶ.] βάλλω. ἀποδειροτομήσω.] τὰς βαχάλους ἀποτέμω. ἀνομόωδα.] μεμὲ καὶ ἀποπαυθέας, καὶ πόνου ἐπησάμενα. πιέρας.] πλουσίας, εὐδαίμονας. ἀμφὶ πυρὶ σῆσαι βίπόδα.] ἐν τῷ πυρὶ θερμαῦναι τὸ ὕδωρ.

βρότομ.]

Πάτροκλον λάσειαν ἀρηρότα δεμάτῳσιν.
Οἱ δὲ λοιποὶ τροχοὶ ποσὶ ἴσασαν ὠκυπόδεσσι,
Ἐν δ' ἄξ' ὗδωρ ἔχυσαν, ὑπὸ δὲ ξύλα δαῖσαν ἐλόντες.
Τάσεμε γὰρ τρίποδ' οὖπω ἀμφέπε, θέρεσε δ' ὕδωρ,
Αὐτὰρ ἐπεὶ δὴ ζέσσε ὕδωρ ὠκὶ πυρὶ κηλέῳ,
Καὶ τότε δὴ λοῦσάντε καὶ ἤλειψαν λίπ' ἐλαίῳ
Ἐν δ' ὠτειλὰς πλῆσαν ἀλείφατος ὠνητοῖο,
Ἐν λεχέεσσι δὲ θέντες ἑανῷ λιτὶ κάλυψαν,
Ἐς πόδας ἐκ κεφαλῆς καβύσσαντες δὲ φάρεϊ λοὐκῷ.
Παννύχιοι μὲν ἔπειτα πόδας ταχὺν ἀμφ' Ἀχιλῆα
Μυρμιδόνες Πάτροκλον ἀνιεφάχοντο γοῶντες.
Ζεὺς δ' Ἥρην πρόσεφη κασιγνήτην ἄλοχόν τε.
Ἔπρηξας καὶ ἔπειτα βοῶπις πότνια Ἥρη,
Ἀνσήσασ' Ἀχιλῆα πόδας ταχύν, ἦ ῥά νυ σεῖο
Ἐξ αὐτῆς ἐγένοντο καρηκομόωντες Ἀχαιοί.
Τόνδ' ἠμείβετ' ἔπειτα βοῶπις πότνια Ἥρη.
Αἰνότατε Κρονίδη ποῖον τὸν μῦθον ἔειπες.
Καὶ μὲν δή πέ τις μέλεϊ βροτὸς ἀνδρὶ τελέσσαι.
Ὅς περ θνητός τ' ἔσκει καὶ τόσα μήδεα οἶδε.
Πῶς δὴ ἔγωγ', ἢ φημὶ θεάων ἔμμεν ἀρίστη,
Ἀμφοτέρων, γένεῇ τε καὶ οὔνεκα σὴ πρόκοιτις
Κέκλημαι, σὺ δὲ πᾶσι μετ' ἀθανάτοισιν ἀνάσσεις,
Οὐκ ὄφελον Τρώεσσι κοτεσσαμένην κακὰ ῥάψαι;
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
Ἡφαίστοιο δ' ἵκανε δόμον Θέτις ἀργυρόπεζα
Ἄφθιτον ἀστερόεντα μεταπρεπὲ ἀθανάτοισι
Χάλκεον, ὃν ῥ' αὐτὸς ποιήσατο κυλλοποδίων
Τὸν δ' εὗρ' ἰδρώοντα ἑλισσόμενον περὶ φύσας
Σπεύδοντα, πρίποδας γὰρ ἐείκοσι πάντας ἔτυχθεν.
Ἑστήκεσαν πρὸς τοῖχον, ἐϋσταθέος μεγάροιο.
Χρύσεα δέ σφ' ὑπὸ κύκλα ἑκάστῳ πυθμένι θῆκεν.
Ὅφρα οἱ αὐτόματοι θεῖον δύοντοι ἀγῶνα,
Ἦ δ' αὖτις πρὸς δῶμα νεοίατο θαῦμα ἰδέσθαι.
Οἱ δ' ἤτοι τόσσον μὲν ἔχον τέλος, ὄφρα τὰ δ' ὄπω
Δαιδάλεα προσέκειτο τά ῥ' ἤρτυε κόπτε δὲ δέσμός.
Ὀφρ' ὅγε τοῦτ' ἐπονεῖτο ἰδυίησι πραπίδεσσι.
Τόφρά οἱ ἐγγύθεν ἦλθε θεὰ Θέτις ἀργυρόπεζα.
Τὴν δὲ ἴδε προμολοῦσα χάρις λιπαροκρήδεμνος
Καλὴ, τὴν ὤπυιε περικλυτὸς ἀμφιγυήεις.
Ἔνθ' ἄρα οἱ φῦ χειρὶ, ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε.
Τίπτε Θέτι τανύπεπλε, ἱκάνεις ἡμέτερον δῶ.
Αἰδοίη τε φίλη τε, πάρος γε μὲν ὄτι θαμίζεις.
Ἀλλ' ἕπεο πρότερω, ἵνα τοι πρόξενια θείω.
Ὣς ἄρα φωνήσασα, πρόσω ἄγε δῖα θεάων.
Τὴν μὲν ἔπειτα καθεῖσεν ἐϋδμήτου θρόνου ἀργυροήλου.
Καλοῦ δαιδάλεου, ὑπὸ δὲ θρῆνυς ποσὶν ἦεν.

Κέκλετο δ' Ἥφαιστον κλυτοτέχνην, εἰπέ τε μῦθον.
Ἥφαιστε πρόμολ' ὧδε, Θέτις νύ τι σεῖο χατίζει.
Τὴν δ' ἠμείβετ' ἔπειτα πολύμητις ἀμφιγυήεις.
Ἦ ῥά νυ μοι δεινή τε καὶ αἰδοίη θεὸς ἔνδον.
Ἣ μ' ἐσάωσ', ὅτε μ' ἄλγος ἀφίκετο τῆλε πεσόντα,
Μητρὸς ἐμῆς ἰότητι κυνώπιδος, ἥ μ' ἐθέλεσκε
Κρύψαι χωλὸν ἐόντα, τόθ' ἂν πάθον ἄλγεα θυμῷ.
Εἰ μὴ ἐμὲ Εὐρυόμη τε Θέτις θ' ὑπεδέξατο κόλπῳ.
Εὐρυόμη θυγάτηρ, ἀψορρόου Ὠκεανοῖο.
Τῇσι παρ' εἰνάετες χάλκευον δαίδαλα πολλά.
Πόρπας τε, γναμπτάς τ' ἕλικας, κάλυκάς τε καὶ ὅρμους.
Ἐν σπῆϊ γλαφυρῷ, περὶ δὲ ῥόος ὠκεανοῖο
Ἀφρῷ μορμύρων ῥέεν ἄσπετος, οὐδέ τις ἄλλος
Ἤιδεεν οὔτε θεῶν, οὔτε θνητῶν ἀνθρώπων.
Ἀλλὰ Θέτις τε καὶ Εὐρυόμη ἔσαν ἀμφὶ ἑσάωσαν.
Ἦ νύ μοι ἠμέτερον δόμον ἵκει, τῷ με μάλα χρεὼ
Πάντα Θέτι καλλιπλοκάμῳ ζωάγρια τίνειν.
Ἀλλὰ σὺ μὲν νῦν οἱ πρόφρασσαι ξεινήϊα καλά.
Ὄφρ' ἂν ἐγὼ φύσας ἀρθείομαι, ὅπλα τε πάντα.
Ἦ καὶ ἀπ' ἀκμοθέτοιο, πέλωρ ἄϊντον ἀνέσχε
Χωλεύων, ὑπὸ δὲ κνῆμαι ῥώοντο ἀρηκαί.
Φύσας μὲν ῥ' ἀπάνευθε τίθει πυρὸς ὅπλα τε πάντα.
Λάρνακὶ δὲ ἀργυρέῃ συλλέξατο, τοῖς ἐπονεῖτο.
Σπόγγῳ δ' ἀμφὶ πρόσωπα, καὶ ἄμφω χεῖρ' ἀκμόεργνα
Αὐχένα τε στιβαρὸν, καὶ στήθεα λαχνήεντα.
Δῦν δὲ χιτῶν', ἕλε δὲ σκῆπτρον παχὺ, βῆ δὲ βύραζε
Χωλεύων, ὑπὸ δ' ἀμφίπολοι ῥώοντο ἄνακτι
Χρύσειαι ζωῇσι, νεήνισιν ἐοικυῖαι.
Τῇς ἐν μὲν νόος ἔστι μετὰ φρεσίν, ἐν δὲ καὶ αὐδὴ,
Καὶ σθένος, ἀθανάτων δὲ θεῶν ἀπὸ ἔργα ἴσασιν,
Αἱ μὲν ὑπαίθα ἄνακτος ἐποίπνυον, αὐτὰρ ὁ ἕρδων
Πλησίον ἔστη Θέτιδος παῦρον θρόνου ἐΐσας φαεινοῦ,
Ἔνθ' ἅρα οἱ φῦ χειρί, ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε.
Τίπτε Θέτι τανύπεπλε ἱκάνεις ἡμέτερον δῶ,
Αἰδοίη τε φίλη τε, πάρος γε μὲν ὄτι θαμίζεις,
Ἀλλά μοι εἰπὲ ἔπος τι, τελέσσαι δ' ἐστὶ μοι ἐμπὲς,
Εἰ δυνατὰ τελέσαι γε, καὶ εἰ τετελεσμένον ἔσται.
Τὸν δ' ἠμείβετ' ἔπειτα Θέτις, κατὰ δ' ἀκρυχέσσατο,
Ἥφαιστ', ἦ ἄρα δή τις, ὅσαι θεαὶ εἰσ' ἐν Ὀλύμπῳ,
Τόσσα δ' ἐνὶ φρεσὶν ἦσιν ἀνέχετο κήδεα λυγρὰ,
Ὅσσ' ἐμοὶ ἐκ πασέων, Κρονίδης Ζεὺς ἄλγε' ἔδωκεν,
Ἐκ μὲν μ' ἀλλάων ἁλιάων ἀνδρὶ δάμασσεν,
Αἰακίδῃ Πηλῆϊ, καὶ ἔτλην ἀνέρος εὐνὴν
Πολλὰ μάλ' οὐκ ἐθέλουσα, ὁ μὲν δὴ γήραϊ λυγρῷ
Κεῖται ἐνὶ μεγάροις ἱερμῖνος, ἄλλα δέ μοι νῦν
Υἱὸν ἐπεὶ μοι δῶκε γρηϊδαν, τετραφέμην τε

βρότον.] ἢ δὲ μάχην μολισμὸν. λοιγοχόον.] ἀφ' ἧς τὰ λοιγρὰ κακὰ βροτοῖσι γίγνονται. γάστρην.] χώρημα. τὸ πλάτος ἢ λέβητος. ἄμφιπε.] περιέλαβε, περιῆχεν. ἀλέφατος.] ἀπὸ ἀλήματος ἐλαίας. ἐννεώροιο.] ἐννεαετοῦς. ὥρος γὰρ ὁ χρόνος. ἑανῷ.] λευκῷ πέπλῳ. παρὰ τὸ ἐννυσθαι. λιτί.] λιτῷ, καὶ ἀποικίλῳ τῷ ὑφάσματι.

ὀξὺ πόδας ἐκ κεφαλῆς.] αὐτὶ τοῦ ἀπὸ κεφαλῆς ἕως ποδῶν. ἐπρηξας ἢ ἔπεισας.] αὐτὶ τοῦ ἐτελείωσας λέγει καὶ ὕβρισας ὁ Ἥρα, ὠνασήσασα τὸν Ἀχιλλέα. καὶ μή πού τις μέλλει βροτὸς αὐδήεις.] προσληπτέον τινὶ εἶναι, ἵν' ᾖ καὶ μὴ αὐθρώπῳ αὐθρώπῳ κακὸν κατασκευάσει. ῥάψαι.] μηχανήσασθαι, κατασκευάσαι. κυλλοποδίων.] χωλός. ἑλισσόμενον.] νεῦον καπαθέντα, ἐνεργοῦντα. ἑκέοσι παύτας.] πορίσασθαι τὰ παύτας, φησὶν ἢ. ἐϋσταθέος.] εὐποιήτου, εὐδράου.

χρύσεα δέ σφ' ὑπὸ κύκλα.] ἐπάσῳ ἢ πυθμένι χρυσοῦς κύκλους ὑπέβαλλε. θεῖον δύσονται ἀγῶνα.] ἀντὶ τοῦ τὰ τῶν θεῶν κατελύσοντα τεμένη καὶ ἁθροίσματα. τόσσον μὲν ἔχεν τέλος.] τὸ μὲν λοιπὸν παντελῶς ἔσχεν. ὅ ἐστι τετελείωντο. ἤρτυε.] κατεσκεύαζεν. κόπτε.] κατεσκεύασεν, ἐχάλκευεν. δέσμός.] ἥλος. παρ' ὃ συμβάλλουσι καὶ συνδεσμοῦσι τὰ ὦτα ἢ ῥίπτοδος. προμολοῦσα.] προελθοῦσα. λιπαροκρήδεμνος.] ἤτοι λαμπρὰ ἔχουσα περιβόλαια τῇ κεφαλῇ. ἀφ' ἧς σύσταλις καὶ κοσμία, ἢ λιπαρά. ἀπὸ ἢ ἐλαίας. τανύπεπλε.] τετραμένον ἔχουσα τὸν πέπλον, κοσμίαν. ἔτι θαμίζεις.] πανικῶς ὁ παρεγγίνει. βρήνυς.] ὑποπόδιον.

προμολε.]

προμολε.] πρόελθε. ὧδε.] ὅτως ὡς ἔχεις. δεινὸ.] νεῦσι ἡ θαυμαστή.

αἰδοίη.] ἐς τὸ πίσω ῥέοντος. ὑπὸ χωρέοντος. ἢ ἢ ταχέως ῥέοντος καθ' ὃ περιέχει τὴν γῆν. τῆσι παρὰ.] παρ' αἷς. αὐασφοῖ ὁ ῥόος. πόρπας.] αἷς αἱ χλαυίδες καταβάλλονται. πρόνας δηλαδή. γναμπτὰς ἕλικας.] ἐπιπαμπαίας. λέγει ἢ τὰ ψέλλια καλούμενα. κάλυκας.] σωληνίσκους. λέγει ἢ τὰς λεγομένας σύριγγας. αἷς συρίλλαμβάνουσι τὸν πλοκάμους. ἢ ἐς ἃς καταπλέονται αἱ πόρπαι. ὅρμους.] πόρπας. ταχύλλια. μορμύρων.] φοβερῶς ῥέων. καὶ οἱονεὶ αὐαίνων. ἴσαν.] παρεγίνοντο. ῥωάγρια.] τὰ ἀπὸ ῥωῆς καὶ ῥιστήρια. ἀπαμοιβαῖος.] τόπῳ ᾧ ἀμείβεται ὁ ἄπαμος τῷ κορμῷ. πέλωρ.] μέγιστον. αἴϊκτον.] μέγα. πέλωρ αἴϊκτον, πέλωρ μέγιστον, αἴϊκτον ἢ τὸ μέγα. ἢ πελώριος ὁ μετέωρος. ἀπὸ μεταφορᾶς ἢ τὸ αἴϊκτον ἀπὸ τ ἀετ. κατὰ γὰρ τὴν πτῆσιν οἱ ἀετοὶ πολύτι ἑαυτοὺς βαρύνουσι. κακῶς δ' ὑφ' ἓν μέρος ἀναγνόντες πελωράμιτον ἀποδιδοῦσι, τὸ μέγα, ἀπὸ τ μεγέθους. ὑπὸ ἢ πνεύματι ῥώοντο ἀρηκαί.] αἱ ἢ ἀσθενεῖς καὶ λιπτὰς αὖ τ πνεύματι ὑποδρικινδυντο μετὰ πακοπαθείας. ὄπλα.] νεῦσι τὰ χαλκευτικὰ ὄργανα. λαχνήεντα.] πίδωτον. τοῖς ἐπονεῖτο.] οἷς ὀργάζετο, ἢ ἐνύργει. λαχνήεντα.] τεθριχωμένα. σκῆπτρον.] τῶν βακτηρίαν. ὑπὸ δ' ἀμφίπολοι ῥώοντο.] συνεξώρμων ἢ αὐτῷ. νεήνισι.] νεανίαις. ἀθανάτων ἢ θεῶν ἀπὸ ὄργα ἴσασι.] παρὰ ἢ τ θεῶν τὰ ὄργα ἐσί διδιδαγμένα. ὕπαιθα.] ἐς τὸ μπροσθεν. ἐποίπνυον.] ἐνήργουν. ἔρρων.] ἐνεργῶν. ἴσαν μὲν μετὰ καπαθείας καὶ φθορᾶς παραγενόμενον. νῦν ἢ μάλις, διὰ τὴν χολωτηταν αὐέσχετο.] ὑπέμενεν, αὐδὴς ἔξατο. ἀρηκέν.] ἀφεμένον, βεβλαμμένον. ἄλλα δέ μοι νῦν.] ἀπὸ ποινῆ προσληπτέον τὸ ἐδωκε καπά.

γνῇ

γενῶ ἀλωῆς.] τῷ γονίμῳ τόπῳ ἢ γῆς.
βελόν.] βλάστημα ἐλάωσαν. ἀχέων.] λυπούμενος. ἐφθιεν.] αὐτὶ ἔτι τίτηκεν. ἐήλεον.] συνέλαυν, συνέκλεισον. ὁ γὰρ ἰὼν οἱ.] ἕπτως γὰρ ἰὼν αὐτῷ. Τρωσὶ λαμεὶς.] αὐτὶ τοῦ ὑπὸ τῶν Τρώων αὐαιρεθάς. χαυόωσι.] χώνοις πλίνοις ἐν οἷς χωνεύονται τὰ μέταλλα. σύπρησον.] σύφυσητον.
ἀϋτμιῶ.] πνοιῶ. βανείσαι.] ἀφίσαι. ωαρέμμεναι.] παρεῖναι.
αὔοιτο.] αὐύοιτο, τελειοῦτο. ἀτερείας.] ἀκατασπόντεμ. ῥαιστῆρα.] σφύραν σιδηρᾶν. ωαρὰ τὸ ῥάιζειν. γίνετο.] ἔλαβε. πυραγρίω.] τὸν χαλκευτικὸν μοχλίνον. τὸν ὀξύλαβον. ωαρὰ τὸ τὰ ἐν τῷ πυρὶ ἀγρεύειν. παύροσι δαμάλλων.] ὡς παῦρα μέρη δαμάλων ἐνθεὶς. ὅ ἐστι ποικίλλων αὐτό.
αὖτυγα.] τὰ ἐξωθεν ἢ ἀσπίδος νύκλον. ῥιπλακα.] ῥιπλῶ τρίπτυχον. πτύχες γὰρ τὰ ἐλάσματα ἢ ἀσπίδος. ἰσλίγσιν.] ἐμπέρειαι.

ἐν μὲν

Ἔξοχον ἡρώων, ὅσ᾽ ἀνέδραμεν ἔργεϊ ἴσος
Τὸν μὲν ἐγὼ βρέψασα φυτὸν ὡς γανδ᾽ ἄλωῆς,
Νηυσὶν ὐπ᾽ πρὸ ἔπεκα κορωνίσιμ Ιλιον εἴσω,
Τρωσὶ μαχησόμενον, τὸν σ᾽ ὀχ᾽ ὤσω σ᾽ ἑξομαι οὔτις,
Οἰκαδε νοσήσαντα, δόμον Πηλήϊον εἴσω.
Ὄφρα σ᾽ ἐμοὶ ζώει καὶ ὁρᾷ φάος ἠελίοιο,
Ἄχνυται, οὐδέ τι οἱ δύναμαι χραισμῆσαι ἰοῦσα.
Κόρην, ἣν ἄρα οἱ γέρας ἔξελον υἷες Ἀχαιῶν,
Τὴν αὖ ἐκ χειρὸς ἕλων κρείων Ἀγαμέμνων,
Ἤτοι ὅ, ἢ ἀχέων φρένας ἔφθιγ, αὐτὰρ Ἀχαιοὺς
Τρῶες ὧν πρύμνησιν ἐέλσειν, οὐδὲ θύραζε
Εἴων ἐξιέναι, τὸν σ᾽ ἐλίσσοντο γέροντες
Ἀργείων, καὶ πολλὰ παρῴχλυτα δῶρ᾽ ὀνόμαζον,
Ἔνθ᾽ αὐτὸς μὲν ἔπειτ᾽ ἀνάγαστο λοιγὸν ἀμῦναι,
Αὐτὰρ ὁ Πάτροκλον ποδὶ μὲν τὰ ἃ τεύχεα ἔσσω,
Πέμπε δὲ μιν πόλεμόν δε, πολὺν δ᾽ ἅμα λαὸν ὄπασσε.
Πᾶν δ᾽ ἦμαρ μάρνοντο πρὸ Σκαιῆσι πύλῃσι,
Καὶ νύκ᾽ ἂν αὐτῆμαρ πόλιν ἔπραθον, εἰμὴ Ἀπόλλων
Πολλὰ κακὰ ῥέξαντα Μγοιτίδ᾽ ἄλκιμον υἱόν,
Ἕκταῶ γνὶ προμάχοισι καὶ ἕκτορι κῦδ᾽ ὄρσε.
Τὸ γὰρ νέκα τὰ σὰ γνάθ᾽ ἱκάνομαι ἄλκὶ ἐθέλησθα
Υἱὲ ἐμῷ ὠκυμόρῳ δόμῳ ἀσπίδα καὶ τρυφάλειαν,
Καὶ καλὰς κνημίδας ἀδὶ σφυρίοις ἀραρυίας.
Κὼ θώρηχ᾽, ὃ γὰρ ἰὼν οἱ, ἀπώλεσε πιὸς ἑταῖρον,
Τρωσὶ δαμεὶς, ὁ δὲ κεῖται ὧν χθονὶ θυμὸν ἀχεύων.
Τὴνδ᾽ ἠμείβετ᾽ ἔπειτα ποδώκλυτος ἀμφιγυήεις.
Θάρσει, μή τοι ταῦτα μετὰ φρεσὶ σῇσι μελόντων.
Αἴ γὰρ μιν θανάτοιο δυσηχέος ὧδε δωαάμην
Νόσφιν ἀφ᾽ κρύψαι, ὅτε μιν μόρος ἀνὸς ἱκάνει.
Ὡς οἱ τεύχεα καλὰ πρέοσεται, οἷά τις οὔτε
Ἀνθρώπων πολέων θαυμάσεται, ὅς κ᾽ ἴδ᾽ κηται.
Ὡς εἰπὼν τὴν μὲν λίπ᾽ ἐν αὐτοῦ, βᾶ δ᾽ ὦλ φύζας.
Τὰς δ᾽ ὧδ πῦρ ἔτρεψε, κελδυσέ τε ἐργάζεθαι.
Φῦσας δ᾽ ἐν χοάνοισιν εἴκοσι πᾶσι ἐφύσων,
Πάντοθεν σύπρησον ἀϋτμιῶ ἀξανιεῖσαι,
Ἄλοτε μὲν πρεύδνοι πρὸ ἐμμεναι, ἄλλοτε δ᾽ αὖτε
Ὅππως Ἡφαίστός γ᾽ ἐθέλοι, καὶ ὄργον ἄνοιτο.
Χαλκὸν δ᾽ ἐν πυρὶ βάλλεν ἀτειρέα, κασσίτερόν τε,
Καὶ χρυσὸν τιμῆντα καὶ ἀργυρον, αὐτὰρ ἔπειτα
Θῆκεν ἐν ἀκμοθέτῳ μέγαν ἄκμονα, χῆρ᾽ τὸ δὲ χειρὶ
Ῥαιστῆρα κρατερὸν, ἑτέρῃ φ᾽ χῆρ᾽ τὸ πυράγρην.
Ποίει δὲ πρώτιστα σάκος μέγα τε σιβαρόν τε,
Πάντοσε δαιδάλλων, πολὶ δ᾽ ὠτυγα βάλλε φαεινὼ
Τρίπλακα μαρμαρέγν, ἐκ δ᾽ ἀργύρεον τελαμῶνα.
Πέντε δ᾽ ἄρ᾽ αὐτοῦ ἔσαν σάκεϊ πτύχες, αὐτὰρ ἐν αὐτῷ
Ποίει δαίδαλα πολλὰ ἰδυίῃσι πραπίδεσσιν.

Ἐν μὲν

ἐν μὲν γαῖαν ἔτευξ᾽ ἐν δ᾽ οὐρανὸν.] ἐγκατασκεύασε ἢ τῇ ἀσπίδι. οὐρανὸν καὶ γῆν. ἀκάμαντα.] τὸν ἀπατατόνητον, καὶ ἄοκνον. σιλλοὺς τε ωλήθουσαν.] τὸν οἶον ωεωληρωμένην, καὶ ἐγκύμονα ἢ ἐλιακοῦ φωτός. λέγει δὲ τὸν ωανσέληνον. ἔρηται ἢ σελήνη οἱονεὶ σίλας νέον. τήρια.] τὰ ἄστρα. ωαρὰ τὸ τηρατώδη, καὶ σημειώδη ταῦτα ὄντα. τάτ᾽ οὐρανὸς ἐγεφαίνατο.] οἷς μεσούρανος ὁ οὐρανός. Πλειάδας.] ἑπτὰ ἀστέρες εἰσὶ κήμωαι ἐπὶ τῶν ὠλενῶν ἢ Ταύρου. ὁ γὰρ Ταῦρος σῶος ἂν καὶ ὁλόκληρος, ἀλλ᾽ ὡς ἢ ἰσχίων, αὗται δέ φασιν Ατλαντος. καὶ Πλειόνης θυγατέρες. ὧν τὰ ὀνόματα, Μαῖα, Ταϋγέτη, Κελαινώ, Μερόπη, Ηλέκτρα, Στερόπη, Αλκυόνη. Ατλας εἷς ἢ γιγάντων, μιγεὶς Πλειόνῃ τῇ Ωκεανοῦ ἴσχι θυγατέρας ἑπτὰ αἳ τῶν ωαρθενίαν ἀγαπήσασαι, συνεπυνύγην τῇ Αρτέμιδι. θεὰ σάμη, ὃς ἢ Ωρίων, ὁράδη καὶ ἐδίωκεν αὐτὰς μιγῶναι βελόμενος. αἱ ἢ ωόρρω κατάληπτοι γιγνόμεναι. θεοῖς ἤνεγκαν τὸ μεταβαλεῖν τὴν φύσιν. Ζεὺς ἢ ἐλεήσας αὐτὰς Πελειάδας ἐποίησε, καὶ Δι᾽ αὐτῶν ἄστρον ἐκάθισεν. ὠνομάσθησαν ἢ Πλειάδες. ἀπὸ Πλειόνης ἢ μητρὸς αὐτῶν. φασὶ ἢ Ηλέκτραν ἀ βουλομένην τὴν Ιλίῳ πόρθησιν θεάσασθαι, τό* κτίσμα ἄναι ἢ ἀπογόνων, ἱσταλιπεῖν τὸν τόπον ἔνθα κατησέρισε. διόπερ ἔσως ωρότερον ἑπτὰ, γρᾴδαι ἐξ. ἡ ἱστορία ωαρὰ τοῖς Κυπλιοῖς. Υάδας.] τὰς ὑπὸ ἢ κράτωρ ἢ Ταύρου ἑπτὰ ἀστέρας κειμένους. λαλόνται ἢ Υάδες, ἤτοι διὰ τὴν ωρὸς τὸ ὑ, στοιχεῖον ὁμοιότητα. ἢ ἐπειδὴ αἴτιοι ὄμβρων καὶ ὑετῶν λαβίσανται. Ζεὺς ἐκ ἢ μητρὸς γενηθέντα Διόνυσον. τᾶς Δωδωνίσι νύμφας ἔφαμι ἐδίωξε. Αμβροσίᾳ. Κορωνίδι. Εὐδώρᾳ. Λιώνῃ. Αἰσύλῃ. Πολυξοῖ. αὗται βρέφασαι τὸν Διόνυσον, ωορρίψασαι σὺν αὐτῷ, τὴν σύριθέσαν ἄμπελον ὑπὸ ἢ θεῖ τοῖς αὐθρώποις χαρίζόμενοι. Δυκοῦργος ἢ μέχρι δὴ βαλάσσης συνελίωξε τὸν Διόνυσον, ἐκείνας ἢ ἐλεήσας ὁ Ζεὺς κατησέρισεν. ἡ ἱστορία ωαρὰ Φερεκύδῃ. Πλειάδας θ᾽ Υάδάς τε.] τὰς μὲν κατησερισμένας ἐν τῷ μετώπῳ ἢ ταύρου Υάδας φασὶν ἐρῆσθαι. τὰς ἢ ὑπὸ δὴ ἡμιτόμου ωλευρὰς, Πλειάδας καλεῖσθαι. Ατλαντι γὰρ ἢ Ιαπετ ἢ, καὶ Αἴθρᾳ τῇ Ωκεανοῦ καθάφησι Τίμαιος. θυγατέρες λάδιλνα, καὶ ὗες ὕας. ἦτον ἐν Λιβύῃ πυννυξένται. ὅφις κτένει. καὶ αἱ μὲν ωέντε τὸν ἀδελφὸν θρηνοῦσαι ἀπόλλυνται. τὰς ἢ λοιπὰς δι᾽ οἶκτον κατασερίσας Ζεὺς, Υάδας ἐπωνόμασεν, ἐπωνύμως τοῦ ἀδελφοῦ. αἱ ἢ πλέονες ἑπτὰ, ἐραδίως μὲν ωλὼ ἀποθανοῦσαι, Πλειάδες ἐρέωται. Φερεκύδης ἢ καθάπερ ἔρηται, τὰς Υάδας Δωδωνίδας νύμφας φησὶ ἔναι, καὶ Διονύσου τροφούς. ἀ: ωαρακαταθήκαι ἢ Διόνυσον Ινοῖ διὰ τὸν δὴ Ηρας φόβον. καθ᾽ ὃν καιρὸν καὶ αὐτὰς Δυκοῦργος ἐδίωξε. ἢ Πλειάδων σὺν ὧν ἑπτὰ, παῦρ᾽ ἀμαυρὸς ὁ ἕβδομος ἀστήρ. ὡς μὲν Αρατος ἐν τῷ ωρὸς Θεόπροπον ἐπικαλέῳ φησὶ. Τροίας ωερθομένης τὴν Δαρδανίδα μητέρα Ηλέκτραν μίαν ὄσαν τῶν Πλειάδων. φυγεῖν τι τὴν ἢ ἀδελφῶν συνοδίαν. καὶ τὰς ὁδοὺς λύσασαν. ἐνίστε νομίσθην ἀστέρα φαίνεσθαι. φησὶ ἢ καὶ Ελλάνικος ἐν τῷ πρώτῳ τῶν Ατλαντιδῶν. τὰς μὲν ἑξ θεοῖς συνελθεῖν. Ταϋγέτην Διὶ. ὧν γενέσθαι Λακεδαίμονα. Μαῖαν Διὶ. ἀφ᾽ ὧν Ερμῆς. Ηλέκτραν Διὶ. ὧν Δαρδανον. Αλκυόνην Ποσειδῶνι. ὧν Υριεὺς. Στερόπην Αρει. ὧν Οινόμαον. Κελαινώ, Ποσειδῶνι καὶ αὐτὴν συγγενέσθαι ὧν Λύκον. Μερόπην ἢ Σισύφῳ ἐνηνεῶν ὄντι. ὧν Γλαῦκον. Ἰὼ καὶ ἀμαυρὰν ἔναι. Υάδας ἢ ἐρῆσθαι, ὅτει ωαρὰ τὸ σχῆμα ἢ ἀστέρων θέσεως. τὸ γὰρ. υ. στοιχεῖω ωαραπλήσιόν ἐστιν. ᾗ ἐπεὶ αἰτιᾶται αὐτὰ καὶ ὄνησιν ὗες ὁ Ζεύς. αἱ ἢ Πλειάδες. ὅτει ἀπὸ ἢ μητρὸς αὐτῶν Πλειόνης. ᾗ ὅτι πλέους ὁμῶ κατὰ μίαν συναγωλιῶσι. βότρυν γοῦν αὐτὰς λέγουσιν, ᾗ ὅτι πλέους μὲν ἔναι δοκοῦσιν, ἀδῆ ἢ ἢ ἀληθὰς ἐλάττους εἰσίν. ᾗ πλησιάδας πλησίον γὰρ πάντα. ᾗ ὅτι πλέους δὶ αὐτὰς αὐτῶν ὡράων ἐπισημασίαι. ᾗ ὅτι πλεῖοι, ὃ ἐστιν ἐνιαυτὸν συμαντικοί. χειμῶνας γὰρ καὶ εἶος διεξίασιν ἀαλεῖσι ἐπιφέροντα. καὶ διὰ μόνων αὐτῶν σημειοῦνται τὰς ἴσας ἐπιτελὰς ωρὸς θέρος. καὶ τὰς ἐσπερίους ωρὸς ἀμέρας. ὡς Ησίοδος. Πλειάδων Ατλαγενέων ἐπιτελλομένων, ἀρχεῖθ᾽ ἀμητοῖ, ἀρότου δὲ δυομενάων. τὰς ἢ Ατλαντος ἀτυχίας κλαυσάσας αὐτὰς, ἰατησθρίδαι φησὶν Αἰσχύλος. Πλειάδων. δὶ αὐτελῆ ἴσα ἡλίου ὄντος ἐν διαδύμοις. δύσις ἢ ἴσα ἰατὰ τὴν διαμέτρον ἡλίῳ ὄντος ἐν Σπορπίῳ. Ταύρου δὲ ὄντος ἰατὰ τὸ ἀκὸς ἑκατέρωθεν ἐπίφασις γίγνεται. καὶ γὰρ τὸν ωρεσανατέλλοντα μεσοῦντὶ τίνι ἡμέρας ωρονακταλάμπει ἰαταρχὰς ἐγγὺς ὢν αὐ᾽. καὶ τὸν ωρεσανατέλλοντας διδύμους ἐπ᾽ ἄλλαις ἡμέραις πέντε. ὥσπέρ τι ἰαὶ ὑμέραν ωῦρ ἑκάτερα ἀπέρροιαν, ἔχει βραχὺ καὶ ωρὸς τοὺς ἑκατέρωθεν. διὰ ἕττο καὶ Ησίοδος ἔφη. αἳ δή τοι νύκτας τε καὶ ἤματα τεσσαράκοντα λικμήσαται. διότι κατανέλονται, τότε δὴ ὁ Ωρίων.] ωορίζασικῶς τὸν Ωρίωνα. ὁ δὲ Σείριος ὀξὺν ἄστρον μάγιστον ἐν τῷ οὐρανῷ ἰατησθρισμένον οὕτως. Υριεὺς ὁ Ποσειδῶν καὶ Αλκυόνης μᾶς ἢ Ατλαντος θυγατέρων, ὡνεῖ μὲν ἐν Ταναγρᾳ δὶ Βοιωτίας. φιλεξεώτατος ἢ ὢν ὑπεδέξατο ποτὲ καὶ θεούς. Ζεὺς δὲ καὶ Ποσειδῶν καὶ Ερμῆς ἐπεξεταίνοντες αὐτῷ καὶ τὸν φιλοξενοῦντα ἐν ἀπειλεξάμενοι, παρήνεσαν αὐτῷ ὅτι αὐ βόλοιτο ἢ ἄτινι ἂν ἡμέρᾳ ἔθυσε παῖδα. λαβόντες ἐν εἰ ἔτει τὸν ἢ ἱερεύοντα αὐτοῖς βοῦς εὗρον, ἀπεσπέρμηναν δὲ αὐτὰ καὶ ἐπέλεσαν ἐμπρῆσαι. διατελῶν καὶ μετὰ δέκα μῆνας αὐτὸ ἐδίδασκεν. ἀμ διελθόντων ἐγένετο ὁ Σείριος. ἔτους ὄντος ἀφ᾽ οὗ τὸ ἀρχαῖον ἀστὴρ τὸν ὑδὸν ἔπεσε διὰ τὸ ἀρχαῖον ἀστὴρ τὸν ὑδὸν ἔπεσε διατί ἀφιμισμένος μιμησυγκυνηγῶν ἢ ἐν Ορχομενῷ ἐπιχώριον ἀ τὸν βιάσασθαι. ὀργισθεὶς σὺν ἢ ὑδὸν ἐδίδασκεν ἐν θήρᾳ ἐς σκεπτόμενος μὴ ωλήξας διατὶν ἀσφαλεσθαι. ἀνέπεμψεν. Ζεὺς ἢ συμπαθήσας κατησέρισεν αὐτόν. διὸ ἢ Σπερπὶς αἰεὶ ἀνέλκεται. Σείριον δὲ ὠνόμασε ἢ ἱστορία ωαρὶ ἐνίων. Αρκτενὸ ἐν καὶ ἄμαξαν ἐπίκλησιν διαλέσιν.] ἐγκατεσκεύασε ἐν τῷ Ευξείνῳ κλίματι. αὐτὰ τὰ μεγάλα ἢ καλοῦμεν καὶ

ἄμαξα διὰ τὸ εἰς ἁμάξης τύπον κατηστερίσθαι. καὶ ἐγγὺς ἐκείνης ἡ μικρὰ ἡ Κυνόσουρα καλουμένη διὰ τὸ ὡς κυνὸς ἔχειν ἀνακεκλασμένην τὴν οὐρὰν. ἧς Ὅμηρος οὐ μέμνηται. ὡς ὕστερον εὑρεθείσης ὑπὸ Θάλου τοῦ Μιλησίου ἑνὸς τῶν ἑπτὰ σοφῶν. Ζεὺς Καλλιστοῦς τῆς Λυκάονος ἐρασθεὶς, ἐμίσγετο αὐτῇ λανθάνων Ἥραν. ἐπιγνοῦσα δὲ ἡ θεὸς μετέβαλλεν αὐτὴν εἰς ἄρκτον. καὶ ὡς θηρίον Ἀρτέμιδι προσέταξε τοξεῦσαι. Ζεὺς δὲ εἰς οὐρανὸν αὐτὴν ἀναγαγὼν, πρώτην κατηστέρισεν. ἡ ἱστορία παρὰ Καλλιμάχῳ. ἥτ' αὐτοῦ στρέφεται.] ἥτις περὶ τὸν ἀρκτικὸν καὶ ἀειφανῆ καλούμενον κύκλον. ἤτοι πόλον στρέφεται καὶ ἐπιτηρεῖ τὸν Ὠρίωνα, νεύουσα εἰς αὐτὸν ὡς κυνηγέτην. βλέπει γὰρ ἡ μεγάλη ἄρκτος πρὸς τὸ τοῦ Ὠρίωνος ἄστρον. ἥτ' αὐτοῦ στρέφεται.] αὐτὶ τοῦ περὶ τὸν αὐτὸν τόπον ὡς μὴ καταδυομένη. οἴη δ' ἄμμορός ἐστι λοετρῶν ὠκεανοῖο.] αὐτὶ τοῦ μόνη οὐ δύει εἰς τὸν ὠκεανόν. αἱ γὰρ ἄρκτοι οὐ δύουσιν, οὖσαι ἐν τῷ ἀεὶ φανερῷ. αἵ εἰσιν ἀμφότεραι τοῦ ἀπ' αὐτοῦ καλουμένου πόλου ἀρκτικοῦ. μόνη οὖν δηλονότι τῶν κατηστερισμένων ἄμοιρός ἐστι τῶν ὠκεανοῦ ῥέεθρων, καὶ οὐ καταδύεται. ἐπεί τοι καὶ ἄλλα τινὰ ἐστὶν ἀειφανῆ, ὅσα ὁ ἀρκτικὸς ἀποτέμνεται κύκλος. ἔστι δὲ ἥτε Κυνόσουρα καλουμένη ἄρκτος. καὶ ὁ διὰ ἀμφοτέρων τῶν ἄρκτων Δράκων. καὶ ἡ χεὶρ τοῦ Βοώτου, μέρη τε τοῦ Κηφέως τὰ ἀπὸ ἰξύος μέχρι ποδῶν. ἄμμορος.] ἀμέτοχος, ἄμοιρος. λοετρῶν ὠκεανοῖο.] αὐτὶ τοῦ δύσεως. εἰλαπίναι τε.] θυσίαι, ἑορταί. τίνες εἰσὶν αἱ δύο πόλεις, ἅς φησιν ἐν τῇ Ἀσπιδοποιΐᾳ, ἐν δὲ δύο ποίησε πόλεις. Ἀγαλλίας ὁ Κερκυραῖος, ὁ Ἀριστοφάνους γνώριμος εἶπε τὰς δύο πόλεις εἶναι Ἀθήνας καὶ Ἐλευσῖνα κατασκευάζων οὕτως, τὴν μὲν προτέραν, ἐπεὶ κατὰ γένεσιν τοῦ κόσμου πρώτη πόλις Ἀθῆναι. μετὰ δὲ τὴν φύσιν τῶν στοιχείων ὁ θεὸς τὴν πόλιν τειχοποιεῖ. ἐπιφέρει δὲ γάμους καὶ ὑμεναίους. ἐν γὰρ Ἀθήναις ταῦτα πρῶτον ἤχθη. αὐλούς τε ἐν τοῖς γάμοις δεῖξεν Ἀθηνᾶ. δίκας τε ἐν τῇ πόλει, παρὰ γὰρ Ἀθηναίοις πρῶτον ἐγένετο δικαστήριον ἐπὶ Ἁλιρροθίῳ τοῦ Ποσειδῶνος. οἱ δὲ δικασταὶ Ἀθήνησι μισθὸν λαμβάνουσι καὶ διὰ τοῦτο λέγει κεῖσθαι ἐν τῷ μέσῳ χρυσοῦ δύο τάλαντα. τὴν δευτέραν πόλιν οὖσαν Ἐλευσῖνα. πόλεμον δὲ Ἀθηναῖοι ἔσχον πρὸς Ἐλευσινίους. ὃν ἐπολέμησεν Εὔμολπος ὁ Ποσειδῶνος. βοηθοὶ δὲ αὐτοῖς εἰσὶν Ἄρης τε καὶ Ἀθηνᾶ. ὁ μὲν Χάριτας ἀποδιδοὺς, ὅτι ἀπελύθη κριθεὶς ἐν Ἀρείῳ πάγῳ. ἡ δὲ ὅτι τῆς πόλεως ὡς οἰκείας ἐκήδετο. καὶ τὰ ἐπαγόμενα δὲ ἴδια Ἐλευσῖνος. εὗρε γὰρ Τριπτόλεμος. ἐπεὶ περ Ἐλευσῖνι πρῶτον καρποὺς Δημήτηρ ἔδωκεν. ἡ δὲ σταφυλὴ ἡ κατὰ μέγα βρίθουσα ἀλωὴ, ἐπὶ Ἰκαρίου καὶ Διονύσου πορεία. ὁ δὲ ποικιλόμενος χορὸς, Ἀριάδνης καὶ Θησέως ἔχει πράξεις. ἴδιος δὲ καὶ ὁ τεχνίτης τῶν Ἀθηνῶν Ἥφαιστος, Ἐριχθονίῳ γὰρ τῷ υἱῷ χαριζόμενος βασιλεύοντι Ἀθηνῶν τὴν τοιαύτην κατασκευὴν παρήγαγε. τῷ δὲ ἱερῷ κύκλῳ, τὸν Ἄρειον πάγον ἑρμηνεύει. οἵ τε δικασταὶ Ἀθηναῖοι. διὰ ποίαν δὲ αἰτίαν μόνος ὁ ὠκεανὸς ποταμὸς οὐ πάρεστι τῇ ἐκκλησίᾳ τῶν θεῶν. ῥητέον ὅτι ἐπεὶ συνεκτικὸν ἔχει τὸ τοῦ κόσμου ῥεῦμα, κατὰ τὸ, ὠκεανὸς ᾧ πᾶσα περίρρυτος ἐνδέδεται χθών. νύμφας.] νέας τὰς γαμουμένας. δαΐδων ὕπο λαμπομενάων.] αὐτὶ τοῦ μετὰ λαμπάδων. ἠγίνεον.] ἦγον. πολὺς δ' ὑμέναιος ὀρώρει.] ὠδὴ ἦν, διεγήγερτο πλείστη γαμήλιος ᾠδή. τὸν δὲ ὑμέναιον ἐτυμολογοῦσιν. οἱ μὲν ἀπὸ τοῦ ναίειν ὁμοῦ τὸν νυμφίον, καὶ τὴν νύμφην. ἄλλοι δὲ φυσικῶς. ἐπεὶ ὑμὴν ἐστὶν ὁ ῥηγνύμενος ἐν τῇ τῶν παρθένων διακορήσει. οἱ δὲ ὅτι Ὑμέναιός τις Ἀργεῖος παραπλέων τὰς Ἀθήνας, κατέλαβεν ἀττικὰς παρθένους ἁρπαζομένας ὑπὸ Πελασγῶν τινων. αἷς ἐπιφανεὶς αἴτιος ἐγένετο τοῦ μὴ βιασθῆναι. ἀποδιώξας τοὺς Πελασγοὺς, διὰ γοῦν τοῦτο νομίμως γαμούμεναι. ὥσπερ προσκαλούμεναι αὐτὸν, ὕμνον τινὰ ἔλεγον εἰς αὐτὸν ὃν ἐκάλουν ὑμέναιον. ἐδίνεον.] ἀνεστρέφοντο, ἐκινοῦντο. ἔνθα δὲ νεῖκος ὀρώρει.] ἐφιλονείκουν, ἠμφισβήτουν. δικαστήριον εἰσάγει δύο τινῶν ἀνδρῶν. ὧν ὁ μὲν ἐγκαλούμενος, ἀποδεδωκέναι λύτρα ὑπὲρ τοῦ πεφονευμένου φησίν. ὁ δὲ ἐγκαλῶν, ἔλεγε μὴ εἰληφέναι. δύο δὲ τάλαντα χρυσοῦ κατέθεντο. ὥστε τὸν ἀποδείξαντα τὸ ἀληθὲς λαβεῖν ἀμφότερα. ποινῆς οὖν λέγει τῆς καλουμένης παρὰ τοῖς Ἀττικοῖς, ὑποφόνια. ἃ ἐδίδοσαν τοῖς οἰκείοις τῶν ἀνῃρημένων οἱ ἀνελόντες. λέγεται δὲ κοινῶς πᾶσα ἀντέκτισις ποινή. εὔχετο.] νῦν διερρίζετο. δήμῳ πιφαύσκων.] τῷ κοινῷ παντὶ δεικνὺς καὶ ἐμφανίζων. ἀναίνετο.] ἀπηρνεῖτο. ἱέσθην.] προεθυμοῦντο, ἐβούλοντο, ἐσπούδαζον.

ἐπὶ ἴστορι.] μάρτυρι, ἢ κριτῇ. ἀμφότεροι δὲ ἐβούλοντο ἐπὶ μάρτυρι δικάσασθαι. τοῦτ' ἔστι παρέχοντες μάρτυρας. ὁ μὲν τοῦ δεδωκέναι. ὁ δὲ τοῦ μὴ εἰληφέναι τὰ ὑποφόνια. πεῖραρ.] πέρας. ἐπήπυον.] ἐνήργουν. τὸ δὲ πλῆθος εἰς τοὺς δικάζοντας διῃρημένας ἔσχε. ἀμφὶς ἀρωγοί.] χωρὶς ἑκατέρῳ οἱ ἴδιοι βοηθοί.

Ἥτ' αὐτοῦ στρέφεται, καί τ' Ὠρίωνα δοκεύει.
Οἴη δ' ἄμμορός ἐστι λοετρῶν ὠκεανοῖο.
Ἐν δὲ δύω ποίησε πόλεις μερόπων ἀνθρώπων
Καλάς, ἐν τῇ μέν ῥα γάμοι τ' ἔσαν, εἰλαπίναι τε.
Νύμφας δ' ἐκ θαλάμων δαΐδων ὕπο λαμπομενάων
Ἠγίνεον ἀνὰ ἄστυ, πολὺς δ' ὑμέναιος ὀρώρει.
Κοῦροι δ' ὀρχηστῆρες ἐδίνεον, ἐν δ' ἄρα τοῖσιν,
Αὐλοὶ φόρμιγγές τε βοὴν ἔχον, αἱ δὲ γυναῖκες,
Ἱστάμεναι θαύμαζον ἐπὶ προθύροισιν ἑκάστη.
Λαοὶ δ' εἰν ἀγορῇ ἔσαν ἀθρόοι ἔνθα δὲ νεῖκος
Ὠρώρει, δύω δ' ἄνδρες ἐνείκεον εἵνεκα ποινῆς
Ἀνδρὸς ἀποφθιμένου, ὁ μὲν εὔχετο πάντ' ἀποδοῦναι,
Δήμῳ πιφαύσκων, ὁ δ' ἀναίνετο μηδὲν ἑλέσθαι.
Ἄμφω δ' ἱέσθην ἐπὶ ἴστορι πεῖραρ ἑλέσθαι.
Λαοὶ δ' ἀμφοτέροισιν ἐπήπυον ἀμφὶς ἀρωγοί.
Κήρυκες δ' ἄρα λαὸν ἐρήτυον, οἱ δὲ γέροντες.

Εἴατ' ἐπὶ

ἱερῷ ἐνὶ

ἱερῷ ἐνὶ κύκλῳ.] τῷ μεγίστῳ δικαστηρίῳ. ἐπὶ τὸ δίκαιον ἀποδιδοῦσιν ἑκάστῳ ἐν ἀφιδρωμένῳ. γέροντες.] οἱ δικασταὶ δηλονότι. ἠεροφώνων.] μεγαλοφώνων. ἢ τῶν τὸν ἀέρα πληττόντων τῇ φωνῇ. φωνὴ γάρ ἐστι ὡς Ἀπολλώνιός φησιν ἀὴρ πεπληγμένος. τοῖσιν ἔπειτ' ἤϊσσον.] αὐτὶ τοῦ σὺν οἷς σκήπτροις ἐπὶ τὸ δημηγορεῖν ὥρμων. ἔνιοι δὲ ἤϊσσον κατεσίγαζον. ἢ ὅτι ἀεὶ συνδιετίθεντο τοῖς λόγοις. ἀμοιβηδὶς δ' ἐδίκαζον.] ἐν μέρει δὲ ἀκούοντες ἐδίκαζον. ὃ ἐστι κατὰ ἐναλλαγὴν ἀποφαίνων τὴν ἑαυτοῦ γνώμην ἕκαστος. ἰθύντατα.] δικαιότατα, ὀρθότατα. τὴν δ' ἑτέρην πόλιν ἀμφὶ δύω στρατοὶ εἵατο λαῶν.] ἓν στράτευμα νοητέον εἰς δύο διῃρημένον. πολιορκία γὰρ ἦν καὶ οὐ πεδιὰς ἡ μάχη. δίχα δέ σφισιν ἥνδανε βουλή.] σημειοῦται ὅτι οἱ ἐπιστρατεύσαντες πόλει τινί, καὶ μετασπονδῶν ἀπαλλασσόμενοι, ἐλάμβανον παρὰ τῶν πολεμουμένων τὸ ἥμισυ τῶν ἐν τῇ πόλει κτημάτων. ἐπήρατον.] ἐπέραστον, καλόν. ἔεργε.] φυλάττει, ἐπέχει.

λόχῳ δ' ὑπεθωρήσσοντο.] εἰς ἐνέδραν παρασκευάζοντο. τεῖχος μέν ῥ' ἄλοχοί τε φίλαι καὶ νήπια τέκνα ῥύατ' ἐφεσταότες μετὰ δ' ἀνέρες.] εἰς τὸ ῥύατο στικτέον. τὸ δὲ ἐφεσταῶτες τῷ ἀνέρες συντακτέον. ἕσθην.] περιβεβλημένοι ἦσαν, ὅτε δὲ ἐκάθευδον. ἀμφὶς ἀριζήλω.] χωρὶς ἑκάτεροι διάδηλοι.

λαοὶ δ' ὑπολίζονες ἦσαν.] οἱ δὲ ὄχλοι ἐλάττονες καὶ μικρότεροι ἦσαν.

εἶκε λοχῆσαι.] ἐνεχώρει. ὥστε ἐνεδρεῦσαι. ἀρδμός.] ποτισμός, ἀρμὸς δὲ ἡ φιλία. βοτοῖσι.] βοσκήμασιν. εἰλυμένοι.] περιβεβλημένοι, κεκαλυμμένοι. ὅτι προνόησαν.] οὐ προσκόπησαν. τάμνοντ' ἀμφί.] περιέτεμνον, περιῄρουν, ἀπεχώριζον. πώεα.] τὰ ποίμνια. μηλοβοτῆρας.] βοσκητῆρας, νομέας. ἱράων προπάροιθε.] πρὸ τῶν ἀγορῶν. ὅ ἐστιν ἐκκλησιῶν ἀπὸ τοῦ εἴρειν ἐν αὐταῖς καὶ λέγειν ὅθεν ὁ ἶρος.

ἀερσιπόδων.] αἰρόντων εἰς ὕψος τοὺς πόδας ἐν τῇ πορείᾳ. μετεκίαθον.] μετήρχοντο. ὁμίλεον.] ἀνεστρέφοντο. νεούτατον.] νεωστὶ τετρωμένον.

ἄουτον.] ἄτρωτον. δαφοίνεον.] ἤτοι φονικοῦ χρώματος πεποιημένον. ἢ αἵματι διάβροχον, πεφοινιγμένον.

ὡμίλευν.] αὐτὶ τοῦ παρετάσσοντο συνανεστρέφοντο. ἔρυον.] εἷλκον.

νειόν.] τὴν λεγομένην νεατόν. ὅ ἐστι νεωστὶ ὑποβριασμένην, ἁπαλήν. καὶ διακεχυμένην. ὡς γὰρ νέα φαίνεται ἡ τοιαύτη γῆ. πίειραν.] λιπαρόγειον χωρίον. τρίπολον.] τρὶς ἐστραμμένην, καὶ ἠροτριασμένην. δινεύοντες.] στρέφοντες τὴν ἄνω κάτω. ἐλάστρεον.] ἤλαυνον.

Εἴατ' ἐπὶ ξεστοῖσι λίθοις ἱερῷ ἐνὶ κύκλῳ.
Σκῆπτρα δὲ κηρύκων ἐν χέρσ' ἔχον ἠεροφώνων,
Τοῖσιν ἔπειτ' ἤϊσσον, ἀμοιβηδὶς δ' ἐδίκαζον.
Κεῖτο δ' ἄρ' ἐν μέσσοισι δύω χρυσοῖο τάλαντα.
Τῷ δόμεν ὃς μετὰ τοῖσι δίκην ἰθύντατα εἴπῃ.
Τὴν δ' ἑτέρην πόλιν ἀμφὶ δύω στρατοὶ εἵατο λαῶν,
Τεύχεσι λαμπόμενοι, δίχα δέ σφισιν ἥνδανε βουλή,
Ἠὲ διαπραθέειν, ἢ ἄνδιχα πάντα δάσασθαι
Κτῆσιν, ὅσην πτολίεθρον ἐπήρατον ἐντὸς ἔεργε.
Οἱ δ' οὔπω πείθοντο, λόχῳ δ' ὑπεθωρήσσοντο.
Τεῖχος μέν ῥ' ἄλοχοί τε φίλαι καὶ νήπια τέκνα
Ῥύατ' ἐφεσταότες, μετὰ δ' ἀνέρες οὓς ἔχε γῆρας.
Οἱ δ' ἴσαν, ἦρχε δ' ἄρα σφιν Ἄρης καὶ Παλλὰς Ἀθήνη,
Ἄμφω χρυσείω, χρύσεια δὲ εἵματα ἕσθην,
Καλὼ καὶ μεγάλω σὺν τεύχεσιν, ὥς τε θεώ περ
Ἀμφὶς ἀριζήλω, λαοὶ δ' ὑπολίζονες ἦσαν.
Οἱ δ' ὅτε δή ῥ' ἵκανον ὅθι σφίσιν εἶκε λοχῆσαι,
Ἐν ποταμῷ, ὅθι τ' ἀρδμὸς ἔην πάντεσσι βοτοῖσι.
Ἔνθ' ἄρα τοί γ' ἵζοντ' εἰλυμένοι αἴθοπι χαλκῷ,
Τοῖσι δ' ἔπειτ' ἀπάνευθε δύο σκοποὶ εἵατο λαῶν,
Δέγμενοι ὁππότε μῆλα ἰδοίατο καὶ ἕλικας βοῦς.
Οἱ δὲ τάχα προγένοντο, δύω δ' ἅμ' ἕποντο νομῆες,
Τερπόμενοι σύριγξι, δόλον δ' οὔτι προνόησαν.
Οἱ μὲν τὰ προϊδόντες ἐπέδραμον, ὦκα δ' ἔπειτα,
Τάμνοντ' ἀμφὶ βοῶν ἀγέλας καὶ πώεα καλὰ
Ἀργεννῶν οἰῶν, κτεῖνον δ' ἐπὶ μηλοβοτῆρας.
Οἱ δ' ὡς οὖν ἐπύθοντο πολὺν κέλαδον παρὰ βουσίν,
Ἱράων προπάροιθε καθήμενοι, αὐτίκ' ἐφ' ἵππων,
Βάντες ἀερσιπόδων μετεκίαθον, αἶψα δ' ἵκοντο,
Στησάμενοι δ' ἐμάχοντο μάχην ποταμοῖο παρ' ὄχθας,
Βάλλον δ' ἀλλήλους χαλκήρεσιν ἐγχείῃσιν,
Ἐν δ' ἔρις ἐν δὲ κυδοιμὸς ὁμίλεον, ἐν δ' ὀλοὴ κήρ,
Ἄλλον ζωὸν ἔχουσα νεούτατον, ἄλλον ἄουτον,
Ἄλλον τεθνειῶτα κατὰ μόθον ἕλκε ποδοῖιν
Εἷμα δ' ἔχ' ἀμφ' ὤμοισι δαφοίνεον αἵματι φωτῶν.
Ὡμίλευν δ' ὥς τε ζωοὶ βροτοί, ἠδ' ἐμάχοντο,
Νεκρούς τ' ἀλλήλων ἔρυον κατατεθνειῶτας.
Ἐν δ' ἐτίθει νειὸν μαλακὴν πίειραν ἄρουραν,
Εὐρεῖαν τρίπολον, πολλοὶ δ' ἀροτῆρες ἐν αὐτῇ
Ζεύγεα δινεύοντες ἐλάστρεον ἔνθα καὶ ἔνθα,

Οἱ δ'

τέλσον.]

θέλσομ.] τέλος, πέρας. ἐπιὼμ.] ἐποδρχόμενος. ὄγμας.] τὰς ἐπ' εὐθείας ἢ ὄργυιὰς ἑξηκοντόδους φησί. τὰς αὔλακας μηλάσαντο.] βαθείας ἐγίγνετο. ἀρηρομένην.] ἠροτριασμένην. τίμνοντες.] χωρίον. εἰς τιμὴν ἀποτιτημένον τινί. ὄρθιοι.] κυρίως μὲν ὀρθιεργοί. καταχρηστικῶς δὲ ἡκεῖ οἱ μιᾶς ὀργαῤῥόμενοι. ὄγμον.] ἐθίσιμον. ῥάγματα.] τὰ τῶν χερῶν πληρώματα. ἐπήρατα.] ἐπάλληλα, πυκνά. ὄρασε.] ἐπὶ τὴν γῆν.

ἀλίαστον.] χαλεπὸν, ἄφυκτον. ἐγεῖρεν.] ἤγειρεν, ἐκίνησε. δίχα.] διχῶς, εἰς δύο. ἀγῶνα νεῶν.] τὴν συναγωγὴν τοῦ πλοίου. Ἐριούνης.] μεγάλην ὑπόσιν ποιούμενος, μεγαλοφυλής. ποιηκαλίμοισι,] πολυμέλειας, συντάξεις. βλεμεαίνων.] ἐπιῤῥωνύμενος, ἐπιών. ἀκηδεκόμης.] μὴ κεῤῥόμενος τὴν κόμην. ἀεὶ κομῶν διὰ τὰς ἀκτῖνας. ἴσως γὰρ τῷ ἡλίῳ ὁ Ἀπόλλωνος ἐκύδαινον.] ἐκύδαζον. ἐπ' ἀκτάων.] ὠθῶν τοῦ αἰγιαλῶν. λέγω ἢ τοῦ παραβαλασσίων τόπων τοῦ ἢ κακῶσε ἢ ναυσάλμας πρεσβυβλημένων. ὀρεσιδέπων.] μεγαλοήχων. μακρὸν αὔτει.] μέγα ἐβόα. αὔων.] ἐφώνει, ἐβόα. καὶ ὁ δασώνυμος, ἀξιόμαχος. ὄρεμνῇ.] σκοτεινῇ, φοβερᾷ. ὀξύ.] χαλεπὸν, δριμύ.

θεὼν ὑπὸ καλλιπολώνην.] ὁ ἐστι πρέχων. Ἀρίσταρχος οὕτως ὑφίστησε τὸ χωρίον θεῶν λέγων. ἡ δὲ καλλιπολώνη ἐστὶν ὑψηλὸς τόπος. ῥίγνυντο.] ἐῤῥήγνυτο. ἐτίναξε.] ἐλέσεισεν. ἀπειρεσίην.] μεγάλην. πόδες.] τὰ καταλήγοντα τοῦ ὄρους μέχρι φορικῶς. ἴαχεν.] ἤδα. συγέουσι.] διεδοίκασι, φοβοῦνται. ξυνιόντων.] συνδραμόντων. ἤτοι μὲν γὰρ ἐναντίος Ποσειδάων] ἀνταγωνιστής. τὸ μὲν μὴ πῦρ τῷ ἀντὶ ὑγρῷ, Ἀθηνᾷ δὲ Ἄρει. ἡ φρόνησις τῇ ἀφροσύνῃ. Ἥρα δὲ Ἀρτέμιδι. ὁ πρὸς γάμον ἀὴρ τῇ σελήνῃ. Ἑρμῆς δὲ Λητοῖ, ὁ λόγος τῇ λήθῃ. Ἥφαιστος δὲ Ξάνθῳ. τὰ ὅλον πῦρ μέρει τοῦ ὕδατος. διατί δέ ἦτοι οἱ θεοὶ προῄρηνται βοηθεῖν τοῖς Ἕλλησιν· Ἥρᾳ, Ἀθηνᾷ, Ποσειδῶνι, Ἡφαίστῳ, Ἑρμῆ· τοῖς δὲ Τρωσὶν, Ἀπόλλωνι, Ἀρτέμιδι, Λητοῖ, Σκαμάνδρῳ, Ἀφροδίτῃ. Ἥρᾳ μὲν ὃν Ἕλλησι βουλεῖ. ὅτι γαμήλιος ὢν ἡ θεὰ μισεῖ τὸν μοιχὸν ὄντα τὸν Ἀλέξανδρον. ἢ ὅτι τὸ τῷ Ἄργει τιμᾶτο λαμπρῶς. ὅθεν φησὶν ὁ Ποιητὴς καὶ τὸ Ἥρης Ἀργεῖη. ἢ κατὰ ὅτι ὡς τὸ Ἄργος ὅλως οἰκεῖα ἦν αὐτῇ κατὰ τὴν Σπάρτην καὶ τὴν Μυκήνην φησὶν ἐν τῷ δ. Ἀθηνᾶ δὲ ἦτοι διὰ ἀποδοκιμασθῆναι ὑπὸ Ἀλεξάνδρου. ἢ διὰ τὸ ἀλλοτρίως ἔχειν πρὸς συνέσεως τοὺς βαρβάρους. Ποσειδῶν ἢ ἐπὶ πλείστοις τοῦ Ἑλλήνων ὑποπτεύεται ὢν. καὶ διὰ τὸ ὀργίζεσθαι μὲν Λαομέδοντι ὧν τῇ ἀποστρήσει τοῦ μισθοῦ πρὸς τοὺς Ἕλληνας. ἢ ὅτι ἐξ Ἀρκαδίας. ἢ ὅτι λόγος, ἢ ὅτι ἐπειδὴ νήσους ἀποσαλεύοντας πρὸς αὐτοὺς ὑπὸ Ἑλλήνων ἐπὶ διαλύσει

ἠβουλήθησαν ἀνιλεῖν οἱ Τρῶες. ☩ ὁ κηρύκων προστάτης ὁ Ἑρμῆς. Ἡφαιστος ὁ διὰ τὸ μισεῖν Ἄρην ὅτι ἐμοίχευσεν αὐτὴν τὴν γυναῖκα Ἀφροδίτην. τοῖς ὁ Τρωσὶ πρόσκηται Ἄρης. τὸ ὅμοιον μετασκευάζων. φιλοπόλεμος γὰρ ὁ θεός. φιλοπόλεμοι ὁ καὶ οἱ Τρῶες. καὶ τὴν μοιχείαν ☩ Πάριδος παρείπων ὡς μοιχός. ὁ ὁ Ἀπόλλων. καὶ ὅτι διὰ τὸ τεῖχος. τοιχοὶ ὁ καὶ οἱ Τρῶες. καὶ ἐν πρώτοις Ἀλέξανδρος ☩ ὅτι πυθαρίστης. καὶ εὔμορφος ὡς Ἀλέξανδρος. Ἄρτεμις ὁ καὶ Δητὼ χαριζόμενα τῷ Ἀπόλλωνι. ☩ ὅτι παρὰ τοῖς βαρβάροις τιμᾶται. ☩ Ἀφροδίτη διὰ τὸ ὑπὸ Ἀλεξάνδρου προηρῆσθαι, καὶ σχεδὸν εἰπεῖν, αὐτὴ ἀνδίσασθαι τῷ πολέμῳ καὶ ἀκότως πάρεστι βοηθὸς τοῖς Τρωσίν.] βέλη, πληθυντικῶς. ἄντα δ' Ἐννοσίγαιος.] ἀβιαναντίας ὁ ☩ Ἄρεος. ὁ ὁ τρόπος μετωνυμία. ὡς ἀπὸ ἐννοῦς δὴ τοῦ πολεμικῆς δαίμονος. χρυσηλάκατος.] ἐργατική. νῦν ὁ ἡ χρυσοῦν τόξον ἔχουσα. χρυσότοξος. ἀπὸ τούτου ὁ καὶ κιθαριστική. κραυγάζουσι γὰρ οἱ κυνηγοί. Σῶκος.] ἄλλοι ὁ ἰσχυρός. σώσειν γὰρ τὸ ἰσχύειν. ὃ σοῦμινος ὠκέως. τετάχυται ὀρθῶς ταχέως. ἄγγελος γὰρ ὁ θεός. ὃν Ξάνθον καλέσουσι θεοί, ἄνδρες ὁ Σκάμανδρον.] ☩ διωνύμως. τὸ μὲν πρωγενέστερον ὄνομα εἰς θεοὺς ἀναφέρει ὁ ποιητής. τὸ ὁ μεταγενέστερον εἰς ἀνθρώπους. διαπὶ ὁ κατὰ τὸν πόλεμον οὗτοι οἱ θεοὶ ἐναντίοι ἔσονται ἀλλήλοις. Ποσειδῶν μὲν Ἀπόλλωνι. ὅτι κατὰ ☩ μῦθον συναλικιωθεὶς αὐτῷ ὑπὸ Λαομέδοντος, ἐκείνῳ συνήργει. Ἄρης Ἀθηνᾷ. ἐπεὶ ἐκώλυσεν αὐτὸν τὸν Ἀσκαλάφου θάνατον ἐκλιπῶσαι. ἢ διότι ἐν ὄψει ☩ θεῶν ὕβρισεν αὐτόν, εἰπὼν σα, μαινόμενε φρένας ἠλί. Ἥρα ὁ Ἀρτεμίδι. ἔστι γὰρ αὐτὴ μητρυιά. Λητοῖ ὁ Ἑρμῆς, λικάων. μυστικὸς γὰρ ὑπάρχων τῶν ☩ μυστικῶν Ἀπόλλωνα γενήσασαν καὶ ☩ ἐπιτηδευμάτων ἀντίζηλον μεμίσηκεν. ἢ ὡς λόγιος καὶ μνήμων ἀποσῴζεται αὐτῶν ὡς λήθην. Ἡφαιστος ὁ Ζάνθῳ. εἰκότως ὅτι ἡ μὲν ποταμῶν φύσις πύρωσιν ὑγρᾶς. Ἡφαιστος δὲ ἐστι ☩ πυρὸς λισπότης. οὗ τὰ ξύλα τροφή. καὶ ὁ ☩ φυσικὸν λόγον Ἀπόλλωνι ἥλιος ὢν ἀνακτίνει τὰ ὑγρὰ σοιχεῖα. Ἀθηνᾶ δὲ ἐστι φρόνησις. Ἄρης ὁ ἀφροσύνη. ἐναντία ὁ καὶ πολεμικά ἐστι ταῦτα ἀλλήλοις Ἥρα ὁ ἐστιν ἀήρ. Ἄρτεμις ὁ σελήνη, ἀερότεμις τις οὖσα, καὶ τὸν ἀέρα τέμνουσα. Βλ οὖ ἤρτηται. καὶ τὸ βεβρύνον αὐτῶν πολεμικὸν νενόμικεν. Ἑρμῆς δέ ἐστιν ὁ λόγος. Λητὼ ὁ ἀμνημοσύνη. οἷον Λητώ τις ☩ λόγων. Ἡφαιστος ὁ τὸ ὠμὸν. Ξάνθος τὸ ὑγρόν. ἀλλότριον ὁ τὸ ὠμὸν ☩ ὑγροῦ. ἄσαι.] πλησθῆναι. κόρεσαι. εἴσατο.] ὡμοιώθη. ἀπειλάς.] νῦν καυχήσεις. οἰνοποτάζων.] ☩ ἀμυνόμενον τιμῶν τε καὶ γεφῶν ἀπολαύων καὶ εὐσχούμενον. πάρα.] πάρεστιν. ἀπολύσει.] ἀποπαύσεται. ἀνδρομένοιο.] ἀνθρωπίνου. Λύρνησσον.] πόλις ☩ Ὑποπλακίῳ Θηβῶν. Πήδασον.] ποταμὸς Ἑλλησπόντου, καὶ τόπος. Λέλιγας.] τοὺς ἐν Ἑλλησπόντῳ ἀπὸ δὲ Θετταλίας πρὸς

Ἴσατ' Ἀπόλλωι φοῖβος ἔχων ἰὰς πηρόεντας.
Αὐτὰρ δ' Ἐνυαλίοιο θεὰ γλαυκῶπις Ἀθήνη.
Ἥρῃ δ' αὖτ' ἐπέσῃ χρυσηλάκατος κελαδεινὴ
Ἄρτεμις ἰοχέαιρα, κασιγνήτη ἑκάτοιο,
Λητοῖ δ' αὖτε σῶκος Ἐριούνιος Ἑρμῆς.
Αὐτὰρ δ' ἄρ' Ἡφαίστοιο μέγας ποταμὸς βαθυδίνης,
Ὃν Ξάνθον καλέεσκε θεοί, ἄνδρες δὲ Σκάμανδρον.
Ὡς οἱ μὲν θεοί, ἄντα θεῶν ἴσαν, αὐτὰρ Ἀχιλλεὺς,
Ἕκτορος ἄντα μάλιστα λιλαίετο δῃώσαι ὁμίλου
Πριαμίδεω, τοῦ γ' ῥὰ μάλιστά γε θυμὸς ἀνώγει
Αἵματος ἆσαι Ἄρηα παλαίφατον πολεμιστήν,
Αἰνείαν δ' ἰθὺς λαοσσόος ὦρσεν Ἀπόλλων,
Ἀντία Πηλείωνος, φῆκε δὲ οἱ μῦνος ἠΰ.
Υἱεῖ δὲ Πριάμοιο Λυκάονι εἰδάτο φωνήν,
Τῷ μιν ἐεισάμενος, προσέφη Διὸς υἱὸς Ἀπόλλων,
Αἰνεία Τρώων βουληφόρε, ποῦ τοι ἀπειλαὶ,
Ἂς, Τρώων βασιλεῦσιν ὑπεὶχεο οἰνοποτάζων,
Πηλείδεω Ἀχιλῆος, φάντιβιον πολεμίζειν;
Τόν δ' αὖτ' Αἰνείας ἀπαμείβετο μῦθον ἔειπε.
Πριαμίδη, τί με ταῦτα, δαΐφρονα περ, κελεύεις,
Ἀντία Πηλείωνος ὑπερθύμοιο μάχεσθαι.
Οὐ μὲν γὰρ δὴ πρῶτα ποσὶν κίε φῶτ' Ἀχιλῆος
Στήσομαι, ἀλλ' ἤδη μιν καὶ ἄλλοτε δηρὸν ἐφόβησεν,
Ἐξ ἵππων ὅτε βασσι ἐπήλυθεν ἡμετέρῃσιν.
Πέρσε δὲ Λυρνησσὸν καὶ Πήδασον, αὐτὰρ ἐμὲ Ζεὺς
Εἴρυσαθ', ὅς οἱ ἐπῶρσε μένος καὶ γυῖα πάλασσε,
Ἦ κ' ἐδάμη ὑπὸ χερσὶν Ἀχιλλῆος καὶ Ἀθήνης
Ἥ οἱ πρόδρομος ἴδε πᾶσι φάος ἦλθ' ἐκέλευεν,
Ἔγχεϊ καλκείῳ, λέλεγας καὶ Τρῶας ἀναίρειν.
Τῷ οὐκ ἔστ' Ἀχιλῆος γ' ἀντίον ἄνδρα μάχεσθαι.
Αἰεί γ' ἄμμε θεῷ γε θεῶν ὅς λοιγὸν ἀμύνει.
Καί δ' ἄλλως τῷ γ' ἀδὺ βέλος, φάσθαι, οὐδ' ἀπολήγει,
Πρὶν χροὸς ἀμφοτέρωθι διελθέμεν, εἰ δὲ θεός περ
Ἴσον τεύχειεν πολέμου τέλος, ἄμμε μάλα ῥεῖα
Νικήσειν οὐδ' εἰ παγχάλκεος εὐχεται εἶναι.
Τόν δ' αὖτε προσέειπεν ἄναξ Διὸς υἱὸς Ἀπόλλων.
Ἥρως, ἀλλά μιν καὶ σὺ θεοῖς ἀείγενέτῃσιν
Εὔχεο, σὲ γὰρ φασὶ Διὸς κύνης Ἀφροδίτης
Ἐκγεγάμεν, κεῖνος δὲ χερείονος ἐκ θεὸς ἐσίν.
Ἡ μὲν γὰρ Διὸς ἐξ ὠκυαλίοιο γέροντος.
Ἀλλ' ἰθὺς φέρε χαλκὸν ἀτειρέα μηδέ σε πάμπαν
Λευγαλέοις ἐπέεσσιν ἀποτρεπέτω κραδίαων.
Ὣς ἐπιὼν ἔμπνευσε μένος μέγα ποιμένι λαῶν.
Βῆ δὲ διὰ προμάχων κεκορυθμένος ἄσπετα χαλκῷ.
Οὐδ' ἔλαθ' Ἀγχισιάδαο πάϊς λευκώλενον Ἥρην.
Αἰνεία Πηλείωνος ἰὼν ἀνὰ ὁλαμὸν ἀνδρῶν.
Ἤδ' ἄμυδις καλέσασα θεὰς, μετὰ μῦδον ἔειπε.
Φράζεσθον δὴν σφὼϊ Ποσειδάων καὶ Ἀθήνη
Ἐμ φρεσὶν ὑμετέρῃσιν, ὅπως ἔσαι τάδε ἔργα.
Αἰνείας ὅ δ' ἔβη κεκορυθμένος ἄσπετα χαλκῷ.
Ἀντία Πειλείωνος, ὠκῆϊ δὲ φοῖβος Ἀπόλλων,
Ἀλλ' ἄγε δ' ἡμεῖς τὼ μὲν ἀποτρωπῶμεν ὀπίσσω
Αὐτόθεν, ἤ τις ἔπειτα Πηλείωνι Ἀχιλλῆϊ
Ῥαῖσάν, ἀλοίη δὲ κράτος μέγα, μησέτι θυμῷ
Δευέσθω, ἵνα εἰδῇ ὅ μιν φιλέουσιν ἄριστοι
Ἀθανάτων, οἳ δ' ὣς αὖτ' ἀνεμώλιοι οἵ τ' ἀπὸ πάρος ἦμ
Τρωσὶν ἀμυνόμενοι πόλεμον δ' ἀνιστῆτε.
Πάντες δ' ἀλύμποιο καθήλθομεν αὐτόθεν ὦντες
Τῆς δὲ μάχης ἵνα μή τι μετὰ Τρώεσσι πάθῃσι
Σήμερον, ὕστερον αὖ τε τὰ πείσεται ἄσσα οἱ αἶσα
Γεινομένῳ ἐπέγνησε λίνῳ ὅτε μιν τέκε μήτηρ.
Εἰ δ' Ἀχιλεὺς ὃ πάσσεται ἔπεσιν ἀγγελίωνος
Δείσετ' ἔπειθ' ὅτε κέν τις ἀθανάτων θεὸς ἔλθῃ
Ἐμ πολέμῳ, χαλεποὶ δὲ θεοὶ φαίνεσθαι ἀναργεῖς.
Τὴν δ' ἠμείβετ' ἔπειτα Ποσειδάων ἐνοσίχθων.
Ἥρη, μὴ χαλέπαινε πάρεκ νόον, οὐδέ τι σε χρή,
Οὐκ αὖ ἐγώ γ' ἐθέλοιμι θεὸς ἔνδοθι ξωὸν ἑλκέσαι.
Ἡμέας δὴ ἄλλος ἔπειτα πολὺ φέρτεροι ἦμεν. Νόθος
Ἀλλ' ἡμεῖς μὲν ἔπειτα καθεζώμεσθα νιόντες,
Ἐκ πάντες ἐς σκοπιήν, πόλεμος δ' ἄνδρεσι μελήσει.
Εἰδόκη Ἄρης ἠὲ μάχῃσι, ἢ φοῖβος Ἀπόλλων.
Ἢ Ἀχιλῆι ἰσχωσι καὶ οὐκ ἐθέλωσι μάχεσθαι,
Αὐτὰρ ἔπειτα καὶ ἄμμι πάρ' αὐτόφι νείκος ὀρεῖται
Φυλόπιδος, μάλα δ' ὦκα διακινθήσετ' ὀΐω,
Ἀψ ἡμὲν οὔλυμπόν δε θεδὲ μεθ' ὁμήγυριν ἄλλων,
Ἢ μετόπιν ὑπὸ χερσὶν ἀνάγκῃ ἴφι δαμέντας,
Ὡς ἄρα φωνήσας ἡγήσατο κυανοχαίτης
Τεῖχος ἐς ἀμφίχυτον Ἡρακλῆος θείοιο
Ὑψηλόν, ὃ ῥά οἱ Τρῶες καὶ Παλλὰς Ἀθήνη
Ποίεσαν, ὄφρα ὁ κῆτος ὑπεκπροφυγὼν ἁλέοιτο,
Ὁππότε μιν σεύαιτο ἀπ' ἠιόνος πεδίονδε.
Ἔνθά ποσειδάων καὶ ἄρ ἕζετο καὶ θεοὶ ἄλλοι,
Ἀμφὶ

τὰς κατοικοῦντας. ἴσον γένηται τὸ λέγειν τέλος.] ἴσον ποιήσει τὸ τέλος ☩ πολέμου. μὴ δ' ἑτέρῳ βουλῇ. ἀρῇ.] ἀπειλῇ. οἱ ὁ βλάβῃ. ἀπὸ τοῦ Ἄρεος. ἢ δ' ἄμυδις καλέσασα θεούς.] αὖτη ὁ τὰς θεοὺς. ὁμοῦ συγκαλέσασα. ἀλεύω.] προσελάω. οἱ τὸ παρ' ὃ.] νῦν οἱ ἀβαρχῆς. ἐπένησεν.] ἐπέπλωσεν. ὁμῇς.] πλησίον. εἰ δ' Ἀχιλεὺς οὐ ταῦτα θεῶν ἐπεύσεται ὁμῇς.] ἐὰ ὁ Ἀχιλλεὺς οὐκ ἀκούσεται ἐκ δὲ θέας. φωνῆς. τοῦτ' ἔστιν ὑμῶν αὐ ☩. χαλεποί ὁ θεοὶ φάνεσθαι ἐναργεῖς.] χαλεποὶ ὁ ἡκὲ δεινοὶ οἱ θεοὶ φανεροὶ φαινόμενοι τοῖς ἀνθρώποις. δείσεται.] φοβηθήσεται. παρὲκ νόον. παραγνώμην. ἀνοήτως. ἐκ πάτος.] ἐκβοθεν δὲ κοινῆς ὁλοῦ. τοῦτ' ἔστι δὲ συναναστροφῆς. ἐκ πάτος ἐς σκοπίην.] ἐκ δὲ πεπαυμένης ὁλοῦ ἐς τόπον σκοπιὰν ἔχουσαν. λέγει τὸ Ἡρακλέους χῶμα αὐτόθι ἔπειτα καὶ ἄμμι παρ' αὐτόφι νεῖκος ὀρῆται.] ἵν' ἤ. διεγερθήσεται πυνθήσεται. εὐθέως οὖν φησι καὶ ἡμῖν αὐτοῖς φιλονεικία καὶ μάχη γενήσεται. ὁ μύγυριν.] ἄθροισιν. τάχ ☩ ἐς ἀμφιχύτου.] τὸ πανταχόθεν πεφυρμένον καὶ πύκνωμα. πολλῷ τῷ χώματι ἐς ὕψος. τὸ καὶ χωστὸν λεγόμενον. ὃ κατεσκεύασαν οἱ Τρῶες. τάχ ☩ ἐς ἀμφίχυτον Ἡρακλῆος θείοιο.] τὸ ῥᾳδίως Τρῶες καὶ Παλλὰς Ἀθήνη ποιῆσαι. ὅπως ἂν ἐκφύγοι ἀλέοιτο.] ποσειδῶν καὶ Ἀπόλλων προσάξαντες Διὸς Λαομέδοντι ὑπηύσαν ἐπὶ μισθῷ τεταγμένῳ. τὸ τεῖχος κατασκευάζουσι. Λαομέδων δ' παραβὰς τοὺς ὅρους καὶ τὰς συνθήκας μὴ δοὺς τὸν μισθὸν. ἀπήλασεν αὐτούς. ἀγανακτήσας ὁ Ποσειδῶν ἐπέμψε τῇ χώρᾳ κῆτος. ὃ τούς τε παρατυγχάνοντας ἀνθρώπους καὶ τοὺς γινομένους καρπούς ἀφθερεῖ μαντευομένῳ ὁ τῷ Λαομέδοντι βοράν. ἐκδοῦναι. καὶ οὕτως ἀπαλλαγήσεσθαι τοῦ δεινοῦ. προθυὶς ὁ ἐπὲν ☩ τῷ δυγατέρα, μιᾷδὲν ἐπύρωξε τῷ τὸ κῆτος ἀντιπέντοντι τοὺς ἀθανάτους ἵππους δώσειν. οὓς Τρωὶ Ζεὺς ἀντὶ Γανυμήδους ἔδωκεν. Ἡρακλῆς ὁ παραγενόμενος, ὑπέσχετο τὸν ἆθλον καθορθώσειν. καὶ Ἀθηνᾶς αὐτῷ πρόβλημα ποιησάσης τὸ καλούμενον ἀμφίχυτον τεῖχος εἰς

ἅδυς διὰ τοῦ τόμιτος εἰς τὴν κοιλίαν ☩ κήτους τὰς λαγόνας λίψθερεν. ὁ ὁ Λαομέδων ὑπαλλάξας, θυτεύς λίθων ἵππους. μαθὼν ὁ Ἡρακλῆς ἐστράτευσε. καὶ Ἴλιον ἐπόρθησε. καὶ οὕτως ἔλαβε τοὺς ἵππους. ἡ ἱστορία παρὰ Ἑλλανίκῳ.

ἀλέοιτο.] ἐκηλίνοι. φυλάξοιτο. σεύαιτο.] κατεπείγετο διωκόμενος. ἀπ' ἠιόνος.] ἀπὸ τῆς αἰγιαλοῦ. ἄῤῥηκτον.] ἄπρακτον. ὀφρύσι.] ἐξοχαῖς. μεταφορικῶς. ἤϊε.] Ἀπόλλων τοξικὴ, ἀπὸ τῆς ἵεναι. ἑκάτερθε.] κεχωρισμένως. καθείατο.] ἐκαθέζοντο. μητιόωντες.] βουλευόμενοι. δυσηλεγέος.] δεινοῦ. χαλεποῦ. δυσκόλου. ὤκνεον.] ὤκνουν. ἐπλήσθη.] ἐπληρώθη. κάρκαιρεν.] ἐκινεῖτο. ἤχρ. ὀνοματοποιία ὁ τρόπος. νευστάζων κόρυθι.] ἐπινεύων τῇ περικεφαλαίᾳ βριαρῇ.] στιβαρῇ. ἀσφαλεῖ. θούριν πολεμικήν. σίντης.] βλαπτικός. κακοῦργος. ἀγρόμενοι πᾶς δῆμος.] ἐν σχήματι περιφραστικῷ, ἀντὶ τοῦ οἱ δημόται ἀτίζων.] ἀτιμάζων. ἀρκιθόων.] ἐν τῷ πολέμῳ εὐκινήτων. ἐάλη.] συνεστραφη ἐλήθη. στένει.] στενάξει. ἢ στενοχωρεῖται οὐρῇ μαστίεται.] τῇ οὐρᾷ μαστίζει ἑαυτόν φησιν ὁ λέων οὕτως εἰωθώς. ἔχει δέ τι ἐν τῇ οὐρᾷ ἀναμέσον τῶν τριχῶν κεντρίον μέλαν ὡς κεράτιον. ὑφ' οὗ νυττόμενος, πλέον ἀγριοῦται ἐκ τῆς ὀδύνης. ἐέ δ' αὐτόν.] ἀντὶ τοῦ αὐτὸς δὲ ἑαυτὸν ἀγριοῦσθαι ποιεῖ. γλαυκιόων.] πυῤῥῶδες καὶ φοβερὸν βλέπων, ἀφ' οὗ ἀγριούμενος. φθίεται.] φθείρεται. τιμῆς τῆς Πριάμου.] ἕνεκεν τῆς βασιλείας ἀντιφέρει γὰρ οὕτως τοὔνεκα Πρίαμος γέρας. οὐ δ' ἀεσίφρων.] οὐ δὲ κοῦφος καὶ ματαιόφρων τὸ φρόνημα. χαλεπῶς. δυσκόλως. ἐόλπα.] ἐλπίζω σεῦα.] ἐδίωξα. οὔτι μετετροπαλίζεο.] οὐδὲ ἐπεστρέφου. λυϊάδας.] τὰς ἐκ τῆς Λείας αἰχμαλώτους. ὡς ἐνὶ θυμῷ βάλλεαι.] ὡς κατὰ διάνοιαν ἐννοῇ.

νηπύτιον.]

Ἀμφὶ δ' ἄρ' ἄῤῥηκτον νεφέλην ὤμοισιν ἔσαντο.
Οἳ δ' ἑτέρωσε κάθιζον ἐπ' ὀφρύσι καλλικολώνης,
Ἀμφὶ σὲ ἤϊε Φοῖβε καὶ Ἄρηα πτολίπορθον,
Ὣς οἱ μὲν ῥ' ἑκάτερθε καθείατο μητιόωντες
Βουλὰς, ἀρχέμεναι δὲ δυσηλεγέος πολέμοιο,
Ὤκνεον ἀμφότεροι, Ζεὺς δ' ἤμενος ὕψι κέλευε.
Τῶν δ' ἅπαν ἐπλήσθη πεδίον, σὺν ἐλάμπετο χαλκῷ
Ἀνδρῶν ἠδ' ἵππων, κάρκαιρε δὲ γαῖα πόδεσσιν,
Ὀρνυμένων ἄμυδις, δύο δ' ἀνέρες ἔξοχ' ἄριστοι
Ἐς μέσον ἀμφοτέρων συνίτην μεμαῶτε μάχεσθαι.
Αἰνείας τ' Ἀγχισιάδης, καὶ δῖος Ἀχιλλεύς.
Αἰνείας δὲ πρῶτος ἀπειλήσας ἐβεβήκει,
Νευστάζων κόρυθι βριαρῇ, ἀτὰρ ἀσπίδα θούριν,
Πρόσθεν ἔχε στέρνοιο, τίνασσε δὲ χάλκεον ἔγχος.
Πηλείδης δ' ἑτέρωθεν ἐναντίον ὦρτο λέων ὡς
Σίντης, ὅν τε καὶ ἄνδρες ἀποκτάμεναι μεμάασιν
Ἀγρόμενοι πᾶς δῆμος, ὁ δὲ πρῶτον μὲν ἀτίζων.
Ἔρχεται, ἀλλ' ὅτε κέν τις ἀρηϊθόων ἀϊζηῶν.
Δουρὶ βάλῃ. ἐάλητε χανὼν περί τ' ἀφρὸς ὀδόντας
Γίνεται, ἐν δέ τε οἱ κραδίη στένει ἄλκιμον ἦτορ,
Οὐρῇ δὲ πλευράς τε καὶ ἰσχία ἀμφοτέρωθεν
Μαστίεται, ἔεδ' αὐτὸν ἐποτρύνει μαχέσασθαι.
Γλαυκιόων δ' ἰθὺς φέρεται μένει ἤν τινα πέφνῃ,
Ἀνδρῶν ἢ αὐτὸς φθίεται πρώτῳ ἐν ὁμίλῳ.
Ὡς Ἀχιλῆ' ὤτρυνε μένος καὶ θυμὸς ἀγήνωρ
Ἀντίον ἐλθέμεναι μεγαλήτορος Αἰνείαο,
Οἵδ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες,
Τὸν πρότερος προσέειπε ποδάρκης δῖος Ἀχιλλεύς,
Αἰνεία, τί σὺ τόσσον ὁμίλου πολλὸν ἐπελθὼν,
Ἔστης, ἢ σέ γε θυμὸς ἐμοὶ μαχέσασθαι ἀνώγει,
Ἐλπόμενον Τρώεσσιν ἀνάξειν ἱπποδάμοισιν
Τιμῆς τῆς Πριάμου, ἀτὰρ εἴκεν ἐμ' ἐξεναρίξῃς.
Οὔτοι τοὔνεκά γε Πρίαμος γέρας ἐν χερὶ θήσει.
Εἰσὶ γὰρ οἱ παῖδες, ὅ δ' ἔμπεδες οὐδ' ἀεσίφρων.
Ἢ νύ τι τοι Τρῶες τέμενος τάμον ἔξοχον ἄλλων,
Καλὸν φυταλιῆς, καὶ ἀρούρης, ὄφρα νέμηαι
Αἴκεν ἐμὲ κτείνῃς, χαλεπῶς, δὲ σ' ἔολπα τὸ ῥέξειν
Ἤδη μὲν σέ γε φῆμι καὶ ἄλλο τε δουρὶ φόβησα.
Ἢ οὐ μέμνῃ. ὅτε πέρσε βοῶν ἄπο μοῦνον ἐόντα,
Σεῦα κατ' Ἰδαίων ὀρέων ταχέεσσι πόδεσσι
Καρπαλίμως. τό τε δ' οὔτι μετετροπαλίζεο φεύγων.
Ἔνθεν δ' ἐς Λυρνησσὸν ἐπεκφυγες, αὐτὰρ ἐγὼ τὴν,
Πέρσα μεθορμηθεὶς σὺν Ἀθήνῃ καὶ Διὶ πατρί.
Λυϊάδας δὲ γυναῖκας ἐλεύθερον ἦμαρ ἀπούρας,
Ἦγον, ἀτάρ σε Ζεὺς ἐῤῥύσατο καὶ θεοὶ ἄλλοι.
Ἀλλ' οὐ νῦν σ' ἐρύεσθαι οἴομαι ὃς ἐνὶ θυμῷ

Βάλλεαι

Βάλλεαι, ἀλλάσ' ἔγωγ' ἀναχωρήσαντα κελεύω,
Ἐς πληθὺν ἰέναι, μὴ δ' αὐτίος ἵστασ' ἐμεῖο,
Πρίν τι κακὸν παθέειν, ῥεχθὲν δέ τε νήπιος ἔγνω.
Τὸν δ' αὖτ' Αἰνείας ἀπαμείβετο φώνησέν τε.
Πηλείδη, μὴ δή μ' ἐπέεσσί γε νηπύτιον ὥς,
Ἔλπεο δειδίξεσθαι ἐπεὶ σάφα οἶδα καὶ αὐτὸς
Ἡμὲν κερτομίας, ἠδ' αἴσυλα μυθήσασθαι,
Ἴδμεν δ' ἀλλήλων γενεήν. ἴδμεν δὲ τοκῆας
Πρόκλυτ' ἀκούοντες ἔπεα θνητῶν ἀνθρώπων,
Ὄψει δ' οὔτ' ἄρπω σὺ ἐμοὺς ἴδες, οὔτ' ἄρ' ἐγὼ σοὺς,
Φασί σε μὲν Πηλῆος ἀμύμονος ἔκγονον εἶναι.
Μητρὸς δ' ἐκ Θέθιδος καλλιπλοκάμου ἁλοσύδνης
Αὐτὰρ ἐγὼν υἱὸς μεγαλήτορος Ἀγχίσαο
Εὔχομαι ἐκγεγάμεν, μήτηρ δέ μοι ἔστ' Ἀφροδίτη,
Τῶν δὴ νῦν ἕτεροί γε φίλον παῖδα κλαύσονται
Σήμερον, οὐ γὰρ φημ' ἐπέεσσί γε νηπυτίοισιν
Ὁδε διακριθέντε μάχης ἐξαπονέεσθαι,
Εἰ δ' ἐθέλεις καὶ ταῦτα δαήμεναι ὄφρ' εὖ εἰδῇς
Ἡμετέρην γενεήν, πολλοὶ δέ μιν ἄνδρες ἴσασιν,
Δάρδανον αὖ πρῶτον τέκετο νεφεληγερέτα Ζεύς,
Κτίσε δὲ Δαρδανίην ἐπεὶ οὔπω Ἰλιος ἱρὴ,
Ἐν πεδίῳ πεπόλιστο πόλις μερόπων ἀνθρώπων,
Ἀλλ' ἔθ' ὑπωρείας ᾤκεον πολυπιδάκου Ἰδης.
Δάρδανος αὖ τέκεθ' υἱὸν Ἐριχθόνιον βασιλῆα.
Ὃς δὴ ἀφνειότατος γένετο θνητῶν ἀνθρώπων,
Τοῦ, τρισχίλιαι ἵπποι ἕλος κάτα βουκολέοντο,
Θήλειαι πώλοισιν ἀγαλλόμεναι ἁπαλῇσι,
Τάων καὶ Βορέης ἠράσσατο βοσκομμενάων,
Ἵππῳ δ' εἰσάμενος πρηλέξατο κυανοχαίτῃ,
Αἱ δ' ὑποκυσσάμεναι ἔτεκον δυοκαίδεκα πώλους,
Αἳ δ' ὅτε μὲν σκιρτῶεν ὑπὸ ζείδωρον ἄρουραν,
Ἄκρον ἐπ' ἀνθερίκων καρπὸν θέον, οὐδὲ κατέκλων,
Ἀλλ' ὅτε δὴ σκιρτῶεν ἐπ' εὐρέα νῶτα θαλάσσης,
Ἄκρον ὑπὸ ῥηγμῖνος ἁλὸς πολιοῖο θέεσκον,
Τρῶα δ' Ἐριχθόνιος τέκετο Τρώεσσιν ἄνακτα,
Τρωὸς δ' αὖ τρεῖς παῖδες ἀμύμονος ἐξεγένοντο,
Ἴλλος τ', Ἀσσάρακός τε, σὺν ἀντίθεος Γανυμήδης,
Ὡς δὴ κάλλιστος γένετο θνητῶν ἀνθρώπων,
Τὸν καὶ ἀνηρείψαντο θεοὶ, Διὶ οἰνοχοεύειν
Κάλλεος εἵνεκα οἷο, ἵν' ἀθανάτοισι μετείῃ,
Ἴλλος, δ' αὖ τέκεθ' υἱὸν ἀμύμονα Λαομέδοντα.
Λαομέδων δ' ἄρα Τιθωνὸν τέκετο Πρίαμόν τε
Λάμπον τε, Κλυτίονθ', Ἱκετάονάτ' ὄζον Ἄρηος,
Ἀσσάρακος δὲ Κάπυν, ὅ δ' ἄρ' Ἀγχίσην τέκε παῖδα.
Αὐτὰρ ἐμ' Ἀγχίσης, Πρίαμος δ' ἔτεχ' Ἕκτορα δῖον,
Τάντης τοί γενεῆς τε καὶ αἵματος εὔχομαι εἶναι,

Ζεὺς

νηπύτιον.] νήπιον. ἄφρονα. ἔλπεο.] ἐλπίζε. δειδίξεσθαι.] εἰς δέος ἄξειν. φοβηθῆναι. κερτομίας.] ἐρεθ. στικοὺς καὶ κλευαστικοὺς λόγους. πρόκλητα.] τὰ ὑπὸ τῶν προτέρων πεφημισμένα. παλαιά. ὄψει.] ὀφθαλμοῖς. ἁλοσύδνης.] ἐναλείας θεοῦ ἐν θαλάσσῃ κατοικούσης. ἐκγεγάμεν.] γεγονέναι. ὧδε.] οὕτως νῦν. Δάρδανον αὖ πρῶτον τέκετο νεφεληγερέτα Ζεύς.] τὸ Δαρδάνου γένος δηλονότι πρῶτον ἐποιήσατο ὁ Ζεύς. Δάρδανον αὖ πρῶτον τέκετο.] Δάρδανος ὁ Διὸς καὶ Ἠλέκτρας τῆς Ἀπλαντος θυγατρὸς δι' ἐὰν τὴν Σαμοθράκην ἐπομβρίας γενομένης, κατασκευάσας σχεδίαν, καὶ ἀσκὸν ἑαυτῷ πορισθεὶς, διεκομίσθη εἰς τὴν Ἰδην τῆς Τρῳάδος. καὶ ἀποβὰς Διὸς ὑποθεμένου, κτίζει πόλιν. ἣν καὶ ἀφ' ἑαυτοῦ Δαρδανίαν ἐκάλεσεν. ἱστορεῖ Λυκόφρων. Δαρδανίαν.] πόλις Τροίας. πεπόλις.] ἔκτιστο. ὑπορείας.] τὰ κάτω μέρη τῶν ὀρῶν. ἁπαλῇσιν.] ἁπαλαῖς. νέαις. τῶν δὴ νῦν ἑτέροι γε φίλον παῖδα κλαύσονται σήμερον.] ὑπερβολικῶς εἴρηκε τὸ σήμερον. πῶς γὰρ ἔμελλεν ὁ ἐν Φθίᾳ ὢν ἀκούσεσθαι. ἢ λείπει τὸ ἀναιρεθέντα. τάων καὶ βορέης ἠράσσατο.] λείπει ἡ ἐκπρόθεσις. ἵν' ᾖ ἐκ τούτων οὐ γὰρ πασῶν ἠράσθη. κυανοχαίτῃ.] μελαίνας τρίχας ἔχοντι. ὑποκυσσάμεναι.] ἔγκυαι γενόμεμαι ἄκρον ἐπ' ἀνθερίκων καρπὸν θέον οὐδὲ κατέκλων.] νῦν τῶν ἐν τοῖς στάχυσι λεπτῶν ἀθέρων. ἐλαφρῶς οὖν φησὶν ἄνωθεν αὐτῶν διέτρεχον. ὁμοίως καὶ ἐπὶ τῶν κυμάτων ἐπιφανείας. μὴ βαπτιζόμεναι τῷ ὕδατι. κυρίως δὲ ἀνθέριξ καλεῖται, ὁ τοῦ ἀσφοδέλου καυλός. ἐστι δὲ φυτὸν λαχανῶδες. ἀνηρείψαντο.] ἀνήρπασαν. κάλλεος εἵνεκα οἷο. διὰ τὸ ἴδιον αὐτοῦ κάλλους.

ἀρετήν.]

Ζεὺς δ' ἀρετὴν ἀνδρεσσιν ὀφέλλει τε μινύθει τε,
Ὅππως κεν ἐθέλησιν, ὃ γὰρ κάρτιστος ἁπάντων,
Ἀλλ' ἄγε μηκέτι ταῦτα λεγώμεθα νηπύτιοι ὡς,
Ἑστάτ' ἰὼ μέσῃ ὑσμίνῃ δηϊοτῆτος.
Ἔστι γὰρ ἀμφοτέροισιν ὀνείδεα μυθήσασθαι
Πολλὰ μάλ', ὅσ' αὐ νηῦς ἑκατόζυγος ἄχθος ἀέροιτο.
Στρεπτὴ δὲ γλῶσσ' ὅτι βροτῶν, πολέες δ' ἐνὶ μῦθοι
Παντοῖοι, ἔπεσιν δὲ πολὺς νόμος ἔνθα καὶ ἔνθα,
Ὁπποῖόν κ' εἴπῃσθα ἔπος, τοῖον κ' ἐπακούσαις.
Ἀλλὰ τίη δρίδας καὶ νείκεα νωΐν ἀνάγκη
Νεικεῖν ἀλλήλοισιν ἐναντίον ὥς τε γυναῖκας,
Αἵ τε χολωσάμεναι ἔριδος πέρι θυμοβόροιο
Νεικεύσ' ἀλλήλῃσι μέσην δι' ἀγυιὰν ἰοῦσαι,
Πόλλ' ἐτεά τε καὶ οὐκί, χόλος δέ τε καὶ τὰ κελεύει.
Ἀλκῆς δ' οὔ μ' ἔπεεσιν ἀρτρέψεις μεμαῶτα,
Εἰμὶ χαλκῷ μαχέσασθαι ἐναντίον, ἀλλ' ἄγε θᾶσσον
Ἐλθωμεν ἀλλήλων χαλκήρεσιν ἐγχείῃσιν,
Ἡ ῥά, καὶ ἐν δεινῷ σάκεϊ πλάσε χάλκεον ἔγχος
Σμερδαλέον, μέγα δ' ἀμφὶ σάκει μύκε δουρὸς ἀκωκή.
Πηλεΐδης δὲ σάκει μὲν ἀρὴ ἔσχεθε πολλὸν ἐόντι,
Ἔσχετο, τὰρβήσας, φάτο γὰρ δολιχόσκιον ἔγχος,
Ῥεῖα δ' ἐλεύσεσθαι μεγαλήτορος Αἰνείαο,
Νήπιος, ὃς δὴ ἐώνησε κῆρ φρεσὶ καὶ μένεϊ θυμῷ,
Ὡς ὃ ῥηϊδίως θεῶν ἐρικυδέα δῶρα,
Ἀνδράσι γε θνητοῖσι δαμήμεναι, ἠδ' ὑποείκειν.
Οὐδὲ τόθ' Αἰνείαο δαΐφρονος ὄμβριμον ἔγχος
Ῥῆξεν σάκος, χρυσὸς γὰρ ἐρύκακε δῶρα θεοῖο
Ἀλλὰ δι' ὤμου μὲν ἔλασσε διὰ πτύχας, αἳ δ' ἄρ' ἔπ' ὀϊστῷ
Ἦκαν, ὃν ποτ' ἐπ' ὤμῳ πτύχας ἤλασε κυλλοποδίωνος,
Τὰς δύο χαλκείας, δύο δ' ὀγδοάδι κοσμητόρους,
Τῶν δὲ μίαν χρυσῶν, τῇ ῥ' ἔχε χάλκεον ἔγχος,
Δεύτερος αὖτ' Ἀχιλεὺς πρὸϊει δολιχόσκιον ἔγχος,
Καὶ βάλεν Αἰνείαο κατ' ἀσπίδα παντοσε ἴσην,
Ἄντυγ' ἐπὶ πρώτην, ᾗ λεπτότατος θέε χαλκός,
Λεπτοτάτη δ' ἐπέην ῥινὸς βοός, ἣ δὲ δι' αὐτῆς
Πηλιάδαο ἄνακτος ἐΰξεε μελίη, λάκε δ' ἀσπὶς ὑπ' αὐτῆς.
Αἰνείας δ' ἐάλη καὶ ἀπ' ἔθεν ἀσπίδ' ἀνέσχε
Δείσας, ἐγχείη δ' ἄρ' ὑπὲρ νώτου φύσε γαίῃ
Ἔσγε μεμυίῃ, διὰ δ' ἀμφοτέρους ἔλε κύκλους,
Ἀσπίδα ἀμφιβρότην, ὃ δ' ἀλυσάμενος δόρυ μακρὸν,
Ἔσγε, καθ' δ' ἄχος οἱ χύτο μυερὸν ὀφθαλμοῖσι
Ταρβήσας, ὅ οἱ ἄγχι πάγη βέλος, αὐτὰρ Ἀχιλλεὺς
Ἐμμεμαὼς ἐπόρουσε ἐρυσσάμενος ξίφος ὀξύ,
Σμερδαλέα ἰάχων, ὁ δὲ χερμάδιον λάβε χειρὶ
Αἰνείας μέγα ὄργυιον, ὃ δ' οὐδὲ δύο γ' ἄνδρε φέροιεν,
Οἷοι νῦν βροτοί εἰσ', ὁ δ' ἐμὴ ῥέα πάλλε καὶ οἷος.

Ἐνθακεν

Ἔνθάκεν Αἰνείας μὲν ἐπεσσύμενον βάλε πέτρῳ.
Ἣ κόρυθ', ἣ σάκος, τό οἱ ἄρκεσε λυγρὸν ὄλεθρον,
Τὸν δέ κε Πηλείδης χείλεϊ θοῦρος θυμὸν ἀπηύρα,
Εἰ μὴ ἄρ' ὀξὺ νόησε Ποσειδάων ἐνοσίχθων,
Αὐτίκα δ' ἀθανάτοισι θεοῖς μετὰ μῦθον ἔειπεν,
Ὤ πόποι, ἦ μοι ἄχος μεγαλήτορος Αἰνείαο.
Ὃς τάχα Πηλείωνι δαμεὶς, ἀΐδῐος δέ κ' ἄτεισι
Πειθόμενος μύθοισιν Ἀπόλλωνος ἑκάτοιο
Νήπιος, ὃ δέ τι οἱ χραισμήσει λυγρὸν ὄλεθρον,
Ἀλλὰ τίη νῶϊ οὗτος ἀναίτιος ἄλγεα πάσχει.
Μᾶψ' ὅγε καὶ ἄλλοτρίωμ ἀχέωμ, κεχαρισμένα δ' αἰεὶ
Δῶρα θεοῖσι δίδωσι, τοὶ, ὄφρανὸν εὐρὺν ἔχουσιν
Ἀλλ' ἄγε δὴ ἡμεῖς περ μὴ τῷ ἐκ θανάτοιο ἀγάγωμεν
Μή πως καὶ Κρονίδης κεχολώσεται, αἴκεν Ἀχιλλεὺς
Τὸν δὲ κατακτείνῃ, μόρσιμον δέ οἱ ἐς' ἀλέασθαι,
Ὄφρα μὴ ἄσπερμος γενεὴ καὶ ἄφαντος ὄληται.
Δαρδάνου, ὃν Κρονίδης πρὸς πάντων φίλατο παίδων,
Οἳ ἔθεν ὄζε γίγνοντο γυναικῶν τε θνητάων.
Ἤδη γὰρ Πριάμου γενεὴν ἤχθηρε Κρονίων,
Νῦν δὲ δὴ Αἰνείαο βίη Τρώεσσιν ἀνάξει.
Καὶ παῖδες παίδεσσι τοίκεν μετόπισθε γένοντο.
Τὸν δ' ἠμείβετ' ἔπειτα βοῶπις πότνια Ἡρη.
Ἐννοσίγαι αὐτὸς σὺ μετὰ φρεσὶ σῇσι νόησον
Αἰνείαν, ἦ κῄ μιν ἐρύσσεαι, ἦκεν ἑκάστης.
Πηλείδῃ Ἀχιλῆϊ δαμήμεναι ἐσθλὸν ἐόντα,
Ἦ τοι, μὲν γὰ νῶϊ πολεῖς ὠμόσσαμεν ὅρκους,
Πᾶσι μετ' ἀθανάτοισιν, ἐγὼ καὶ πάλλας Ἀθήνη.
Μή ποτ' ὦν Τρώεσσιν ἀλεξήσειν κακὸν ἦμαρ,
Μή δ' ὁπόταν Τροίη μαλερῷ πυρὶ πᾶσα δάηται
Δαιομένη, δαίωσι δ' ἀρήϊοι υἷες Ἀχαιῶν,
Αὐτὰρ ἐπεὶ τό γ' ἄκουσε Ποσειδάων ἐνοσίχθων,
Βῆ ῥ' ἴμεν ἂν τε μάχην καὶ ἀνὰ κλόνον ἐγχειάων.
Ἵξεσθ' ὅθ' Αἰνείας τε δ' ὁ κλυτὸς ἦεν Ἀχιλλεύς.
Αὐτίκα τῷ μὲν ἔπειτα κατ' ὀφθαλμῶν χέεν ἀχλὺν
Πηλείδῃ Ἀχιλῆϊ, ὁ δὲ μελίην εὐχάλκου
Ἀσπίδος ἆϊξε μεγαλήτορος Αἰνείαο.
Καὶ τὴν μὲν προπάροιθε ποδῶν Ἀχιλῆος ἔθηκεν.
Αἰνείαν δ' ἐπέσευεν ἀρὴ χθονὸς ὑψόσ' ἀείρας.
Πολλὰς δὲ σίχας ἠρώων πολλὰς δὲ καὶ ἵππων
Αἰνείας ὑπερᾶλτο θεὸς ἀρὴ χειρὸς ὀρούσας,
Ἵξε δ' ἐπ' ἐσχατιὴν πολυάϊκος πολέμοιο,
Ἔνθα δὲ Κᾶϊκωνες πολέμου μεταθωρήσσοντο.
Τῷ δὲ μάλ' ἐγγύθεν ἦλθε Ποσειδάων ἐνοσίχθων.
Καὶ μιν φωνήσας ἔπτερα πτερόεντα προσηύδα.
Αἰνεία, τίς σ' ὧδε θεῶν ἀέκητι κελεύει
Ἀντὶ Ἀχιλλῆος πολεμίζειν ἠδὲ μάχεσθαι,

Ὃς σεῦ

ἤρκεσεν.] ἐβούθησεν. ὠφέλησεν. πλεόνεσι δαμείς.] ὑπὸ Ἀχιλλέως ἀναιρεθείς μόρσιμον.] ἱρμαρμένον. μεμοιραμένον. ἀλέασθαι.] ἐκκλίναι. διασωθῆναι ἐρύσσεαι.] ῥύσῃ. σώσεις. πῶλεις.] πωλούς. ἀσπόρμος.] ἄτεκνος. ἀγονος. φίλατο.] ἐφίλησε. νῦν ἡ δὴ Αἰνείαο βίη Τρώεσσιν ἀνάξει. Ἀφροδίτη δρησμοῦ ἐπησθόντος, ὅτι δὴ Πριαμίδῶν ἀρχὴς καταλυθείσης, οἱ ἀπ' Ἀγχίσου Τρώων βασιλεύσουσιν, Ἀγχίση ὕδη πάρεκ μακώτι. συνῆλθεν. τεκοῦσα δ' Αἰνείαν, ἡ βουλομένη παράφασιν κατασκευάσαι δι' ἣν Πριαμίδῶν κατάλυσεως, Ἀλεξάνδρῳ πόθον Ἑλένης ἐνέβαλε. καὶ μετὰ τὴν ἁρπαγὴν τῶ δὴ δόλοισιν συνεμάχετο τοῖς Τρωσί. τοῦς ἡ ἀληθείας, παρηγόρει τὴν ὕβριν αὐτ' ἵνα μὴ πάντελῶς ἀπελπίσαντες, ἀποδῶσι τὴν Ἑλένην. ἰσοφαρίζει Ἀκουσίλαος. ἐπίσευεν.] ὥρμησεν. ἠλίοξε. Καύκωνες.] οἱ δὴ Τρωΐκὸν ἔθνος βάρβαρον. ἄλλοι δὲ Παφλαγωνίας. οἱ δὲ τοὺς ἐπὶ τὴν Καυκασίας. ἡ δὲ Καύκασος πόλις παράλιος Λυκίας καὶ Καρίας. ἰζήτηται δὲ πῶς τὸν Αἰνείαν οὐκ Ἀπόλλων ἐρύσατο ἀλλὰ Ποσειδῶν, καὶ φασίν ὅτι ἡ μεγάλη πρόνοια θεὸς εὐσέβειαν δυσωποῦσα τυγχάνει τῶν δικαίως ἐχθρὰς ὄντας. ἀτίοντα.] ἐν ἄτῃ ὄντα. ὃ ἐστι βλαπτόμενον καὶ ἀφρονα ἑαυτοῦ.

διαίρεσις.]

ἀρετὴν.] δύναμιν, ἀνδρίαν. μινύθει.] φθείρει. λεγώμεθα.] διαλεγώμεθα. νηπύτιοι ὡς.] ὡς νήπιοι, ἢ ἄφρονες. ἑκατόζυγος.] τοσοῦτ' ἐναντίον ἑκάστῳ ἁρματηλάτῃ καθέδρα. ἄχθος.] φορτίον, βάρος. ἀέροιτο.] λάβοι, πτήσαιτο. στρεπτὴ.] συνίνητος, μεταβολὰς πολλὰς ἔχουσα. νόμος.] νομὴ, διάταξις. ὄρίδας.] φιλονεικίας. νέικεα.] νείκη. ὀνείδη λέγειν. χολωσάμεναι.] ὀργισθῆσαι. νεικεῦσι.] φιλονεικῆσαι, λοιδορῆσαι. μέσην δι' ἀγυιὰν ἰοῦσαι.] ἐς μέσον τὸ ἄμφοδον πορευθεῖσαι. πόλλ' ἐτεά τε καὶ οὐκί.] πολλὰ καὶ ἀληθῆ καὶ ψευδῆ. γυσόμεθ' ἀλλήλων.] αὐτὶ τοῦ ἀψώμεθα. ὃ ἔστιν ἀποπεραν ληψώμεθα δι' ἀλλήλων δυνάμεως. ἔρηται ἢ μεταφορικῶς. μῦκεν.] ἠχόησεν. ἡ μεταφορὰ ἀπὸ δι' φωνῆς. ἀλλὰ δύο βῆ ἔλασαι διὰ πτύχας.] ἕως τοῦ τῇ ῥ' ἴσχετο χάλκεον ἔγχος. ἀχρώτων ὑπαρχόντων παρ' Ὁμήρῳ Ἀχιλλέως ὅπλων, ἐξωθεν παρ' ἑνὸς τετραμμένης διὰ πλέονα πόσμον δι' χρυσῆς πτυχὸς, ὅτως ἀποδοτέον τὸν λόγον. ἀλλὰ μέχρι δι' δύο πτυχῶν προῆλθεν ἡ τοῦ ἔγχος ἐνέργεια. ἐξέως δὲ οἱ σὺν ἐναρίζοντες γενόμενης. ἔπι ἢ τῇ τρίτῃ ἐπισχέθη. πῶς φησιν ἄῤῥωτον ὑπάρχοντα σάμενος τὴν ἀσπίδα νῦν τοῦτο λέγει. ῥητέον ἔμ ὅτι ὁ χρυσὸς ὢν μαλθακώτερος χαλκοῦ καὶ σιδήρου. ἐνέσθωκε τῷ δόρατι καὶ ἐκοιλαύθη. καὶ ἐγίνετο κοίτη καὶ ἐρρῶσις. ἔσχετο.] ἐπισχέθη. πτύχας.] τὰ ἐλάσματα δι' ἀσπίδος. ἔλασεν.] ἐπλῆξεν, ἔτρωσεν. κυλλοποδίωνος.] χωλὸς. λέγει ἢ τοῦ Ἡφαιστον. αὖτυγ' ὑπὸ πρώτην.] κατὰ τοῦ ἐξωθεν κύκλον δι' ἀσπίδος. ᾗ λιπτότατος θέε χαλκὸς.] καθ' ὃ μέρος τῆς ἀσπίδι λειπτότατος περιήκετο χαλκῆς. λάκεν.] ἠχόησεν ὕχησεν. ᾗ διεκόπη ὡς καὶ ἐν τοῖς ἱματίοις, λακίδες λέγονται αἱ διακοπαί. ἐάλη.] συνεστάλη. ἐμύνη.] προθυμαμένη, ἐπειγομένη. ἔλε.] διῆλεν, ἠκόντισεν. χύτο.] κατεχύθη.

ὕρμησεν.]

Ὅς σεῦ ἅμα κρείοσιν καὶ φίλτερος ἀθανάτοισιν,
Ἀλλ' ἀναχωρῆσαι, ὅτε κεν συμβλήσεαι αὐτῷ
Μὴ καὶ σὺ μοῖραν δόμου Ἄϊδος εἰσαφίκηαι,
Αὐτὰρ ἐπεὶ καὶ Ἀχιλεὺς θάνατον καὶ πότμον ἐπίσπῃ,
Θαρσήσας δ' ἤπειτα μετὰ πρώτοισι μάχεσθαι.
Οὐ μὲν γάρ τις σ' ἄλλος Ἀχαιῶν ἐξεναρίξει.
Ὡς ἐπὼν λίπεν αὐτόθ', ἐπεὶ διεπέφραδε πάντα.
Αἶψα δ' ἔπειτ' Ἀχιλῆος ἀπ' ὀφθαλμῶν σκέδασ' ἀχλὺν
Θεσπεσίην, ὃδ' ἔπειτα μεγὰ ἔζιδεν ὀφθαλμοῖσιν.
Ὤχθησας δ' ἄρα εἶπε πόδας δι μεγαλήτορα θυμόν,
Ὢ πόποι, ἦ μέγα θαῦμα τό δ' ὀφθαλμοῖσιν ὁρῶμαι,
Ἔγχος μὲν τόδε κεῖται ἐὼν χθονός, ὅδε τι φῶτα
Λεύσσω τῷ ἐφέηκα κατακτάμεναι μεμαίνων,
Ἦ ῥὰ καὶ Αἰνείας Φίλος ἀθανάτοισι θεοῖσιν
Ἧεν, ὰτάρ μιν ἔφην μὰψ' αὔτως εὐχετάασθαι,
Ἐρρέτω, οὔ οἱ θυμὸς ἐμεῦ ἔτι πειρηθῆναι
Ἔσσεται, ὃς καὶ νῦν φύγεν ἄσμενος ἐκ θανάτοιο.
Ἀλλ' ἄγε δὴ Δαναοῖσι φιλοπτολέμοισι κελεύσας,
Τῶν ἄλλων Τρώων πειρήσομαι ἀντίος ἐλθών.
Ἦ, καὶ ὣν σίχας ἆλτο, κέλευε δὲ φωνῇ ἐπέεσσι.
Μηκέτι νῦν Τρώων ἑκὰς ἔστατε δῖοι Ἀχαιοί,
Ἀλλ' ἄγ' ἀνὴρ, ἄντ' ἀνδρὸς ἴτω, μεμάτω δὲ μάχεσθαι.
Ἀργαλέον δέ μοι ὅδε καὶ ἰφθίμῳ περ ἐόντι,
Τοσσάδ' ἀνθρώπους ἐφέπειν καὶ πᾶσι μάχεσθαι
Οὐδὲ κ' Ἄρης ὅς περ θεὸς ἄμβροτος, ὅδε κ' Ἀθήνη
Τόσσους δ' ὑσμίνης ἐφέποι σόμα καὶ πονέοιτο.
Ἀλλ' ὅσσον μὲν ἐγὼ δύναμαι χερσίν τε ποσίν τε,
Καὶ θφένδανον, οὔ μ' ἔτι φημὶ μελισσέμεν ὅδε ἠκαιόν,
Ἀλλὰ μάλα σιχὸς εἶμι διαμπερὲς, ὅδέ πη ὀΐω
Τρώων χαιρήσειν ὅς τις χεδὸν ἔγχεϊ ἔλθῃ.
Ὡς φάτ' ἐποτρύνων Τρῶεσι δὲ φαίδιμος Ἕκτωρ.
Κέκλεδ' ὁμοκλήσας, φάτο δ' ἰμεναι ἀντ' Ἀχιλῆϊ.
Τρῶες ὑπέρθυμοι μὴ λίσσεσθε Πηλείωνα.
Καί κεν ἐγὼ ἐπέεσσι καὶ ἀθανάτοισι μαχοίμην,
Εὐχεῖ δ' ἀργαλέον, ἐπεὶ πολυφέρτεροί εἰσιν,
Οὐδ' Ἀχιλεὺς πάντεσσι τέλος μύθοις ὑπέσσει.
Ἀλλὰ τὸ μὲν τελέει, τὸ δὲ καὶ μεσσηγὺ κολόσει.
Τῷ δ' ἐγὼ αὐτίος εἶμι, καὶ εἰ πυρὶ χεῖρας ἔοικεν.
Εἰ πυρὶ χεῖρας ἔοικε, μένος δ' ἄσθενι σιδήρῳ.
Ὡς φάτ' ἐποτρύνων, οἱ δ' αὖτ' ἐγχὲ ἄειρον
Τρῶες, τῶν δ' ἄμυδις μιχθὴ μένος, ὦρτο δ' ἀϋτὴ,
Καὶ τότ' ἄρ' Ἕκτορα εἶπε πρὸς ὃν φοίβος Ἀπόλλων.
Ἕκτορ μηκέτι πάμπαν Ἀχιλλῆϊ πολεμίζειν,
Ἀλλὰ σὺ πλυθὴν περ ἐκ φλοίσβοιο δίεξον,
Μή πως σ' ἠὲ βάλῃ ἠὲ χεδὸν ἄορι τύψῃ.
Ὡς ἔφαθ', Ἕκτωρ δ' αὖτις ἐδύσετο δλαμὸν ἀνδρῶν

Ταρβήσας

δυσπίφραδες.] δυσσύμβολον. ἔπεσσιδάσασιν.] ἰσκήρησε. τόσσους δ' ἀνθρώπους.] ὁ Ασκαλωνίτης προπερισπᾷ κατὰ λέξιν. ὡς τόσσης δ' ὑσμίνης. ὁ δὲ Ἀρίσταρχος κατὰ παρολκὴν ἐδέξατο τόν δ' ἐ. ἔρρε.] ὄντως δύη. ἐρρέτω.] φθερρέσθω. ἄσμενος.] χάρων. ἰφθίμοι.] ἐπίρροντο. ἐπιδιώκοι. σόμα.] τῶν σύσσιμον. ἠβαιόν.] ὄντως μικρόν. στιχὸς ἁμιδιαμπερές.] διὰ δὲ τάξεως ἐλεύσομαι. φάτο δ' ἰμεναι ἀντ' Ἀχιλῆος ἔλεγε ἢ ἀντικρυς ἐλεύσεσθαι τὸν Ἀχιλλέως. πολούσει.] ἀνίφαλον. καὶ ἀτελῆ ποιήσει τὸ ἔσω. ἀποτύξεται πρὸ τοῦ ποιῆσαι.

εἰμένος

Ταρβήσας ὅτ' ἄκουσε θεοῦ ὄπα φωνήσαντος,
Ἐνδὺ Ἀχιλεὺς Τρώεσσι θόρε φρεσὶν ἠμὲν ἀλκὴν,
Σμερδαλέα ἰάχων, πρῶτον δ' ἔλεν Ἰφιτίωνα,
Ἐθνέου Ὀτρωτεΐδην πολεάων ἡγήτορα λαῶν,
Ὃν νύμφη τέκε Νηὶς Ὀτρωτῇ πληθοπόρθῳ,
Τμώλῳ ὑπὸ νιφόεντι, Ὑδησ ἐν πίονι δήμῳ.
Τὸν ῥ' ἰθὺς μεμαῶτα βάλ' ἐγχεῖ δῖος Ἀχιλλεὺς,
Μέσσην κατὰ κεφαλὴν, ἥδ' ἄνδιχα πᾶσα κεάσθη,
Δόπησε δὲ πεσὼν, ὃδ' ἐπεύξατο δῖος Ἀχιλλεὺς,
Κεῖσαι Ὀτρωτεΐδη, πάντων ἐκπαγλότατ' ἀνδρῶν,
Ἐνθάδε τοι θανάτοιο, γενεὴ δέ τοι ἐς ἐρατὴν
Γυγαίην, ὅθι τοι τέμενος πατρώιον ἔσιν,
Ὑλλῳ ἐπ' ἰχθυόεντι, καὶ Ἑρμῳ δινήεντι.
Ὣς φάτ' ἐπευχόμενος· τὸν δὲ σκότος ὄσσε κάλυψε.
Τὸν μὲν Ἀχαιῶν ἵπποι ὠκυπόδες διάτορον
Πρώτῃ ὑσμίνῃ, ὅδ' ἐπ' αὐτῷ δημολέοντα,
Ἐθνέου ἀλεξητῆρα μάχης Αντήνορος υἱόν,
Νύξε κατὰ πρόταφον, κατέην δι' ἀμφοτεράων,
Οὐδὲ ἄρα χαλκείη κόρυς ἔσχεθεν, ἀλλὰ διὰ αὐτῆς
Αἰχμὴ ἰεμένη ῥῆξ' ὀστέον, ἐγκέφαλος δὲ
Ἐνδόν' ἄπας πεπάλακτο, διάμασσε δέ μιν μεμαῶτα,
Ἱπποδάμαντα δ' ἔπειτα καὶ ἵππων ὠκυτάτην
Πρόσθεν ἔθεν φεύγοντα, μετάφρενον ὄτασε δουρὶ,
Αὐτὰρ ὁ θυμὸν ἄιδε καὶ ἤρυγεν, ὡς ὅτε ταῦρον
Ἤρυγεν ἑλκόμενος Ἑλικώνιον ἀμφὶ ἄνακτα,
Κῆρσιν ἑλκόντων γάνυται δέ τε τοῖς Ἐνοσίχθων.
Ὡς ἄρα τόν γ' ἐρύγοντα λίπ' ὀστέα θυμὸς ἀγήνωρ.
Αὐτὰρ ὁ Βῆ σιὼ δουρὶ μετ' ἀντίθεον Πολύδωρον
Πριαμίδην, τόν δ' ὄπι πατὴρ ἔασκε μάχεσθαι,
Οὔνεκα οἱ μετὰ πᾶσι νεώτατον ἔσκε γόνοιο,
Καὶ οἱ φίλτατον ἔσκε ποδώκεσσι δὲ πάντας φίνᾳ.
Δὴ τότε νηπίεσσι ποδῶν ἀρετῶν ἀναφαίνων,
Θῦνε δι' πωμάχων, εἴως φίλον ὤλεσε θυμόν,
Τὸν βάλε μέσσον ἄκοντι ποδάρκης δῖος Ἀχιλλεὺς
Νῶτα πεδαίσοντος ὅθι ζωστῆρος ὀχῆες
Χρύσειοι σύνεχον, καὶ δίπλοος ἤντετο θώρηξ.
Ἀντικρὺ δὲ διέσχε παρ' ὀμφαλὸν ἔγχεος ἀκμή,
Γνὺξ δ' ἔριπ' οἰμώξας, νεφέλη δὲ μιν ἀμφεκάλυψε
Κυανέη, πῶπί οἱ δ' ἔλαβ' ἔντερα χερσὶ λιαζθείς.
Ἕκτωρ δ' ὡς ἐνόησε καὶ σύνητον Πολύδωρον,
Εντερα χερσὶν ἔχοντα λιαζόμενον ποτὶ γαίῃ
Καρφαλέοι δ' ὀφθαλμῶν κέχυτ' ἀχλὺς, δδ' ἀρ' ἐπ' ἔπλη
Δυρὸν ἐπάϊξ προφαλὼν ἀλλ' αὐτίος ἦλθ' Ἀχιλῆος,
Ὀξὺ δόρυ προδάπτων φλογὶ εἰκελος, αὐτὰρ Ἀχιλλεὺς
Ὡς εἰδ' ὡς ἀνέπαλτο καὶ εὐχόμενος ἔπος ηὔδα.
Ἐγγὺς ἀνὴρ ὅς ἐμοὶ γε μάλιστ' ἐπεμάσσατο θυμόν

Ὅς μοι

εἰμένος ἀλκήν.] πορικάμινος δύναμιν. Τμώλῳ.] ὄρει Λυδίας. Ὑδησ Ὑδη διὰ τοῦ δ. πόλις Λυδίας ἡ νῦν καλουμένη Σάρδεις. διὰ τοῦ λ. Ὑλλη πόλις Βοιωτίας. πίονι δήμῳ.] τῷ εὐδαίμονι. πεπάσθη.] ἰσχίσθη. ἐπιύξατο.] ἐπεκαυχήσατο. λίμνη Γυγαίη.] οὕτως ἡ Λυδίᾳ λίμνη καλαμένη Γυγαίη, ἤτοι ἀπὸ Γύγου τοῦ Κανδαύλ. ὃν πρῶτόν φασι βασιλεῦσαι Λυδῶν. ἢ ἀπό τινος ἐγχωρίᾳ Ηρωος Γύγη καλουμένου. ἐπισώτροις.] κανθοῖς. λατέοντος. λίκνοσπόρου. ἀλεξητῆρα.] μάχης ἀποτροπέα. Βοιθόν. ἰσχύειν.] ἐπίσχυμα. ἐκώλυσε. πεπάλακτο.] ἐπεμόλυντο. ἄϊσθεν.] ἐξέπνευσεν. ὑγρύγεν.] ἐμυκήσατο. ἀνερύγαται. πνεῦμα σφοδρὸν ἀφῆκεν ὡς δ' ὅτε ταῦρον] ἐλικώνιον ἀμφὶ ἄνακτα.] τὸν Ποσειδῶνα. ἤτοι ὅτι ἐν Ἑλικῶνι ὄρει τῆς Βιωτίας τιμᾶται ἢ ἐν Ἑλίκῃ. μᾶλλον οὖν παρὰ τὸν ἐν Ἑλίκῃ θεόν. διαφέρει γὰρ Ἑλικὼν τῆς Ἑλίκης. ὅτι Ἑλικὼν βῆ, ὄρος Βοιωτίας. Ἑλίκην δὲ νῆσος Ἀχαΐας, ἐν ᾗ ἱδρύσατο Ποσειδῶν ὁ ἡ ἱστορία αὕτη. Νηλεὺς ὁ Κόδρου χρησμὸν λαβὼν ἀποικίαν ἐστειλεν εἰς Μίλητον, καὶ Καρίαν ἔνθα ἱδρύσατο Ποσειδῶνα ἱλάσατο. καὶ ἀπὸ τῆς ἐν Ἑλίκῃ τεμένους, Ἑλικώνιον τὸν θεὸν προσηγόρευσε. λοιπὸν ἡ ἑπεσθ' ἂν δύσῃ. βοησάντων βῆ τοῦ βοῶν προσλίχεσθαι τὸ θεῖον τῶν θυσιῶν. σιγώντων ἡ λυπεῖσθαι καὶ μνείαν νομίζεσθαι. ἡ ἱστορία παρὰ Κλειτοφῶντι. γάνυται.] ἥδεται. χαίρει. νικήσῃ.] ἀφροσύναις. ἀνοίαις. ἐχθές.] οἱ συνέχοντες τὸν χωστῆρα ἱμάντες. δίεσχε.] διῆλθε. γνύξ. ἐπὶ γόνυ. εἰμώξας.] στενάξας. πρηνὶς οἷ πρὸς ἑαυτόν. διασθείς.] ἐκκλίνας. διαβόμενον ποτιγαίῃ.] πρὸς τὴν γῆν κεκλιμένον. ἢ ἐπὶ κάμενον. ἐπεμάσσατο.] καθίκετο. ἐλύπησε.

τετιμένον.]

τετιμένον. τετιμημένον, ωτώσοιμεν. φοβοίμεθα. πολέμοιο γεφύρας.] τὰ μεταξὺ τ πολεμούντων διαστήματα αἴσυλα.] τὰ παρὰ τὸ καθῆκον γιγνόμενα ἀδίκια. δξὺ πάροιθεν.] ἔξυσο τ ἐμπροσθεν μέρος. κατὰ τὸν ἀκμήν. πνοιῆ.] πνεύματι. Αχιλλῆϊ & πάλιν. ἐπὶ τὸ ἔτερον μέρος Αχιλλέως. ὅ ἐστι τὸ ἐναντίον. ὕδωρ μάλα ψύξασα.] πάνυ ὑρίμως ἠρὶ πράως καταπνεύσασα καὶ ὑποκλάσασα τὴ ὁρμῆς.

ἢ κοῦφον ποιήσασα. ἐς λοιπὸν ἀκόντων.] ἐπὶ τῶν ἄφεσιν τ λοιπάτων ἐπὶ τῶν μάχην. ὁμοκλήσας.] ἀπειλήσας. ἐρύσατο.] ἔσωσε. μέλλεις. ἔοικας. ἐπιτίσομαι. ἐπελεύσομαι. ὀξάυντο.] ἀφῃρέτο. ἐλάμβανε. εἰ πως πεφίδοιτο.] εἴπως αὐτ φείδοιτο. γλυκύθυμον.] ἀνειμένον, καὶ πρεσυὴς τῇ ψυχῇ. ἀγανόφρων.] πρᾶον & τὸ φρόνημα. ὄλιζεν.] ἔπεσεν. ἐνέπλησεν.] ἐνέπλησεν.

ἵνα.]

Ὅς μοι ἑταῖρον ἔπεφνε τεπαλμένον, ὃς ῥ' ἄρ' ἔπι δίην
Ἀλλήλω πέλωσιμεν αὐτὰ πολέμοιο γεφύρας,
Ἕκτορα δίον. & τὸ δόρατα ἰδὼν πρόσθεν ἐόντα Ἕκτορα δῖον.
Ἄσσον ἰὼν ὡς κε θᾶσσον ὀλέθρου πείρατ' ἵκηαι.
Τὸν δ' ὀχθήσας προσέφη κορυθαίολος Ἕκτωρ.
Πηλείδη μὴ δή μ' ἐπέεσσί γε νηπύτιον ὡς,
Ἔλπεο λεισίξεσθαι, ἐπεὶ σάφα οἶδα & αὐτὸς
Ἠμὲν κερτομίας, δ' ἀσυλα μυθήσασθαι,
Οἶδα δ' ὅτι σὺ μὲν ἐσθλός, ἐγὼ δὲ κέρδιον πολὺ χείρων.
Ἀλλ' ἤτοι μὲν ταῦτα θεῶν ἐν γούνασι κεῖται,
Αἴκε σε χείροτερός περ ἐὼν ἀρὴ θυμὸν ἕλωμαι
Δουρὶ βαλὼν. ἐπεὶ καὶ ἐμὸν βέλος ὀξὺ πέροιθεν.
Ἦ ῥά. & ἀμπεπαλὼν προΐει δίον, καὶ τὸν Ἀθήνη,
Πνοιῇ Ἀχιλλῆϊ & πάλιν ἔτραπε κυδαλίμοιο
Ἦκα μάλα ψύξασα, τὸ δ' ἀψ ἵκεθ' Ἕκτορα δῖον,
Αὖτις δὲ προπάροιθε ποδῶν πέσεν, αὐτάρ Ἀχιλλεὺς
Ἐμμεμαὼς ἐπόρουσε κατακτάμεναι μεγαθύμως,
Σμερδαλέα ἰάχων, τὸν δ' ἐξήρπαξεν Ἀπόλλων,
Ῥεῖα μάλ', ὡς τε θεός, ἐκάλυψε δ' ἄρ' ἠέρι πολλῇ,
Τεῖς μὲν ἔπειτ' ἐπόρουσε ποδάρκης δῖος Ἀχιλλεὺς
Ἐγχεῖ χαλκείῳ, τρὶς δ' ἦρα τύψε βαθείας,
Αλλ' ὅτε δὴ τὸ τέταρτον ἐπέσσυτο δαίμονι ἶσος,
Δεινά δ' ὁμοκλήσας ἔπεα πτερόεντα προσηύδα.
Ἐξ αὖ νῦν ἔφυγες θάνατον κύον, ἦτέ τοι ἄγχι
Ἦλθε κακὸν, νῦν δ' αὖ τε σ' ἐρύσατο Φοίβος Ἀπόλλων,
Ὧι μέλλεις εὐχεσθαι ἰὼν ἐς δ' ὅπορ ἀκόντων,
Ἤ θην σ' ἐξανύων γε καὶ ὕστερον αὐτιβολήσας,
Εἴπερ τις & ἔμοιγε θεῶν πὰρ ῥέξοθος ἐστί,
Νῦν δ' ἄλλος Τρώων ἐπιείσομαι, ὅν κε κιχείω.
Ὡς εἰπὼν Δρύοπ' ὅτα κατ' αὐχένα μέσσον ἄκοντι.
Ἤριπε δὲ προπάροιθε ποδῶν, δόλε δὲ γυῖα λύσεν.
Δηιοχον δὲ φίλητορίδην ἠΰν τε μέγαν τε
Καγχόνου ἀτειρέα βαλὼν ἠρύκακε, τὸν ῥα πρὸ ἔπεσσα
Οὐτάζων ξίφεϊ μεγάλῳ ἐξάντυτο θυμόν.
Αὐτὰρ ὁ Λαογόνου & Δάρδανον υἷε Βίαντος,
Ἀμφω ἐφορμηθεὶς ἐξ ἵππων ὦσε χαμάζε,
Τὸν μὲν ἄρα βαλὼν, τὸν δὲ σχεδὸν ἄορι τύψας.
Τρῶα δ' Ἀλαστορίδην, ὃ μὲν αὐτόθι ἤλυθε γόνων
Εἵπως εὖ περίδοιτο λαβὼν, καὶ ζωὸν ἀφείη,
Μὴ δὲ κατακτείνειεν, ὁμιλικίην ἐλεήσας
Νήπιος, οὐδ' ἐνόησε μάλ' οὐ μὲν ἔτι σχήσεσθαι ἔμελλεν,
Οὐ γὰρ πω γλυκύθυμος & ἀνὴρ ἦεν, οὐδ' ἀγανόφρων,
Ἀλλὰ μάλ' ἐμμεμαώς, ὃ μὲν, ἤπτετο χείρεσι γούνων
Ἱέμενος λίσσεσθαι, ὃ δὲ φασγάνῳ ὄξυ κατ' ἦπαρ.
Ἐκ δὲ οἱ ἦπαρ ὄλισθεν, ἀτὰρ μέλαν αἷμα κατ' αὐτοῦ,
Κόλπον ἐνέπλησε, τὸν δὲ σκότος ὄσσε κάλυψε

Θυμῷ

Θυμῷ δ' ἐνόμβρῳ, ὃ δὲ μάλιστα ὄξυ πάρασσε
Δορὶ κατ' ὀξὺ, εἰθάρ δὲ δόλιχος ἦλθ' ἐτάρῳ οἷο
Αἰχμὴ χαλκείη, ὃς δ' Ἀγήνορος & ὑὸν Ἐχέκλου,
Μέσσην κακκεφαλὴν ξίφει ἤλασε κωπήεντι
Γᾶν δ' ὕπεθερμάνθη ξίφος & αἵματι, τὸν δὲ κατ' ὄσσε
Ἔλλαβε πορφύρεος & θάνατος, καὶ μοῖρα κραταιή,
Δευκαλέωνα δ' ἔπειτ' ἶνα τε ξυνέχουσι τένοντες
Ἀγκῶνος, τῇ τόν γε θέλης δρᾶ χειρὸς ἐπείρας,
Αἰχμὴ χαλκείη, ὀδ' ἐμὶν μιν χεῖρα βαρυνθεὶς
Πρόσθ' ὁρόων θάνατον ὁ δὲ φασγάνῳ αὐχένα θείνας,
Τῆλ' αὐτῆ πάλιαι κάρη βάλε. μυελὸς ὤντε
Σπονδυλίων ἐκπαλθ', ὀδὶ ἰὼν χθονὶ κεῖτο τανυσθείς.
Αὐτὰρ ὁ βῆ ῥ' ἰέναι μετ' ἀμύμονα Πείρεο υἱὸν
Ῥίγμον, ὃς ἐκ Θρήκης εὐρυβώλακος & ἐλυλύθει.
Τὸν βάλε μέσσον ἀκοντι, θώρηξ δ' ᾗ νηδύϊ χαλκὸς
Ἧκε πέσε δ' ἐξ ὀχέων, ὀδ' ἀρηίθοον θεράποντα.
Ἀψ' ἵππους τρέψαντα, μετάφρενον ὀξέϊ δουρὶ
Νύξ, ἀχὴ δ' ἄρματος ὦσε, κυκήθεισαν δ' ἐς οἱ ἵπποι.
Ὡς δ' ἀναμαιμάκετε Βαθὲ ἄγκεα θεσπιδαὲς πῦρ
Οὔρεος ἀζαλέοιο, βαθεῖαι δὲ καίεται ὕλη.
Πάντῃ τε κλονέουσ ἄνεμος & φλόγα εἰλυφάζει,
Ὡς ὄγε πάντῃ θὺνε σὺν ἐγχεϊ δαίμονι ἶσος,
Κτείνομένους ἐφέπων, ῥέεσκε δ' ἄρα γαῖα μέλαινα,
Ὡς δ' ὅτε τις ζεύξῃ βόας ἀῤσενας εὐρυμετώπους,
Τριβέμεναι κρῖ λευκὸν ἐϋτροχάλῳ ἐν ἀλωῇ,
Ῥιμφὰ τε λέπη ἐχύοντο βοῶν ὑπὸ πόδας ἐρυμύκων,
Ὡς ὑπ' Ἀχιλλῆος μεγαθύμου μώνυχες ἵπποι
Στείβον ὁμοῦ νεκύας τε, & ἀσπίδας, ἅμαπτε δ' ἄξων
Νέρθεν ἅπας πεπάλακτο, καὶ ἄντυγες αἳ πρὸς δίφρου
Ἃς ἄρ' ἀφ' ἵππείων ὁπλέων ῥαθάμιγγες ἔβαλλον,
Αἵτ' ἀπὸ πλοσώτρων, ὁδὲ ἵετο κύδεϊ & ἀρηϊ,
Γυλέδλης λύθρῳ δ' ἐπαλάστετο χεῖρας ἀάπτους.

ΥΠΟΘΕΣΙΣ ΤΗΣ Φ ΤΟΥ
ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

Τῶν Τρώων εἰς δύο διαιρεθέντων μέρη, τοὺς μὲν εἰς τὴν πόλιν, τοὺς δὲ εἰς τὸν Σκάμανδρον Αχιλλεὺς διώκει. καὶ διώκοντα νεανίκως ῥωγεῖ εἰς πεζὴν Πατρόκλεια. τὸν δὲ Πριάμου υἱὸν Λυκάονα καὶ Ἀστεροπαῖον ἀναιρεῖ. ἔπειτα τοῦ ποταμοῦ πλημμύραντος & κινδυνεύοντα αὐτὸν σώζει Ηφαιστος, ἐμπρήσας τὸν ποταμὸν καὶ τὸ πεδίον. μετὰ ταῦτα θεῶν μάχη γίγνεται πρὸς ἀλλήλους. Αχιλλέα δὲ Απόλλων ἐέργει. Αγήνορι ὁμοιωθείς, καὶ φεύγων διαπατᾷ. ἕως οἱ Τρῶες διασώζονται εἰς τὴν πόλιν.

ΣΧΟΛΙΑ

ἵνα.] ἀπολ. τένοντες.] τὰ τεινόμενα νεῦρα. ἐπείρασε. πεῖραμ.] ἐπείρασε. πεῖρα δὲ ὁρῶν θάνατον.] ἔχων πρὸ ὀφθαλμῶν τὸν θάνατον. σφονδυλίων.] σφονδύλων. οἱ εἰσὶ. κόλ. ἐν τῇ ῥάχει. ἐκπαλτος. ἀπὸ τοῦ πάλλεσθαι. πηδᾶν.] γαστρί. ἀναμαιμάκετε.] ἀναφέρεται. ἢ ἐνθουσιᾷ. θεσπιδαὲς.] ὑπὸ θεῶν ἀναπεμπόμενον. θεῖον. ἀζαλέοιο.] ξηροῦ. πλούτων.] παράσιτον εἰλυφάζει.] εἰλεῖ. συσφίγει. κτεινομένους ἐφίπτων.] ἐλαύνει εἰπεῖν ἐφίπτεται κτείνων, εὐρυμετώπους.] πλατυμετώπους τριβέμεναι.] ἀλοᾶν. ἐριμύκων.] μεγάλως μυκωμένων. σεῖσον νίκας. ἐπάλξεις τοὺς νεκρούς. ῥαθάμιγγες.] ῥανίδες. ἃς ἄρ' ἀφ' ἵππείων ὁπλέων ῥαθάμιγγες ἔβαλλον.] ἃς ἀποπίπτουσι τ ἵππάνων ὁπλῶν. ὅ ἐστιν ὑγρὰν ἀέ ῥανίδες ἐβαλλον. λύθρῳ.] ὁ ἐκ τ πολεμικῆς ἐνεργείας μολυσμός. ἢ τὸ μετὰ κοινορεῖ καὶ ἰδρῶτ & ἀνθρώπειον αἷμα λύθρ & καλεῖται. ἀάπτους.] ἀκροσπιλάστους. καλεπάς.

ΣΧΟΛΙΑ ΕΙΣ ΤΗΝ Φ. ΤΟΥ Ομηρου ῥαψωδίαν.

Ορον ποταμοῖο. ἤτοι τὸν ποταμὸν ποιητικῶς, ἢ τὸ λιαβατὸν αὐτοῦ μέρος. καθ' ὃν λιαπορεύονται αὐτὸν ἁπλῶς ἢ πάντων τῶν ποταμῶν ἀπὸ Ὠκεανοῦ ῥεόντων ποιητικὸν μόνου τοῦ Ξάνθου ὁ Ποιητὴς φησιν. ὃν ἀθάνατος τέκετο Ζεύς. πῶς οὖν ἡ Ὠκεανοῦ καὶ Διὸς παῖς. ἢ ῥητέον ὅτι ἐνίοτε ἂν ἦν καὶ Διὸς καλοῖτο παῖς. εἷς οἱ ὕμβροι μία ἐκ Διός. ὄμβρῳ ἢ οὗτος αὐξάνεται. φάσιται ἢ καὶ ἄλλη τίς ἱστορία, ὅτι ὁ Ηρα κλῆς ποτὲ λίψει κατασχεθείς, ἠύξατο τῷ πατρὶ Διΐ, ἐπιλάξαι αὐτῷ νᾶμα, ὃ ἢ μὴ ὄναιτο αὐτὸν τρύχειν. ῥίψας περαυνὸν, ἀνέλωπε μικρὰν λιβάδα. ἣν θυμάσιον Ηρακλῆς καὶ σπάσας ὡς ἀπὸ τὸ πλουσιώτερον μετεσφέρεσθαι, μετωνόμασε Σπάμανδρον, οἱονεὶ Κάμανδρον γενόμενον καμάτῳ ἄκος ἑαυτῷ. ἄνθος δ' ἐκλήθη, ὅτι λσσάμενα ὕλατος αἱ Τρωάδες ξανθὰς κόμας ἴσχον. λιατμήξας.] λιατεμών. ὡς λύσ χωρίσας. ἀτυζόμενοι.] ταρασσόμενοι. φοβούμενοι. τροχέοντο.] ἄθρόως ἔφευγον. ψιφυζότις.] ψιφιγόντες. ψιφοδημένοι. ἴῤῥα.] ἄῤῥα σκότος. πίτνα. ἐβύτανεν. ἐπέβαλεν. ἀργυροδίνην.] λαμπράν. πατάγῳ.] ψόφῳ. ἴαχε.] ἐψόφησεν. ἴαχησε μεταφορικῶς. αἰπά.] νῦν βαθία. ἔχθαι.] τὰ τοῦ ποταμοῦ χείλη. οἱ κρημνοί. ἀμφὶ πόδι μεγὰ δ' ἰάχων.

μέγα πόδι ἰάχων. ἔννεον.] ἐνέχοντο. ἑλισσόμενοι.] στριφόμενοι. ῥιπῇς.] ὁρμῇς. ἠρίθμηνται.] ἤτοι ἐριθίζονται. ἢ εἰς ἄῤῥα αἴροντας, ἢ ἀποκρύπτονται. ἀκάμαντον.] ἀκοπίαστον. πολύ. ὄρμενον.] διεγερθὲν. κινούμενον. πτώσεσι.] καταδύονται. κρίπτουσι. πλῦτο.] ἐπληρώθη. πελάλων.] ἔχων. παροξυτόνως. πεκλιμένον μυρίκησιν.] ὑπὸ μυρικῶν περιεχόμενον. κεκαλυμμένον. ἔκθορε.] ἐνῆλατο. ἐπήδησε. δαίμονι ἶσος.] θεῷ ὁμοίῳ ἐπιστροφάδην.] ἐπιστρεφόμενον πυκνῶς. ἀσκηές.] ἀπειοικὸς χαλεπὸς. ἄορι.] ξίφει. πιμπλᾶσι.] πλησιάσι. μύχους.] φωλεούς. λέγει δὲ τοὺς ἐσωτάτω τόπους καὶ ἀποκρύφους. εὐόρμου.] καλοὺς ὅρμους ἔχοντες. πτῶσιν.] ἐφοβοῦντο. ἐκρύπτοντο. κρημνούς.] τὰς τοῦ ποταμοῦ ἴχθας. τιθαπέτας.] ἐκπεπληγμένους. ἐπιστρατοῖσι χιτῶσιν.] ἤτοι ὑπλωτοῖς. ἁλωῇ.] γῆς. ἀπόπον νῶτον.

ἐννύχιος.]

Φὶ μόθος Αἰακίδαο παῤ ἠϊόνας ποταμοῖο.

Αλλ' ὅτε δὴ τὸν ἵξον ἐϋῤῥέος ποταμοῖο.
Ξάνθου δινήεντος, ὃν ἀθάνατος τέκετο Ζεύς,
Ἔνθα διατμήξας τοὺς μὲν πεδίονδε διώκει
Πρὸς πόλιν, ἦπορ οἱ ἄλλοι ἀτυζομένοι φοβέοντο
Ημασι τῷ πρότερῳ, ὅτε μαίνετο φαίδιμος Εκτωρ,
Τῇ ῥ' οἵ γε πρόχεοντο πεφυζότες, ἠέρα δ' Ηρη
Γίτνα πρόδε βαθεῖαν ἐρυκέμεν, ἡμίσεες δὲ
Ες ποταμὸν ἐλεύνετό βαθύῤῥοον ἀργυροδίνην,
Ἔν θ' ἔπεσον μεγάλῳ πατάγῳ. βράχε δ' ἀμφὶ ῥέεθρα.
Ογθαι δ' ἀμφὶ πόδι μεγάλ' ἴαχον, οἷ δ' ἀλαλητῷ
Εννεον ἧῇδε καὶ ἧῇδε, ἑλισσόμενοι κῆρ δίνας.
Ὡς δ' ὅτ' ἀπὸ ῥιπῆς πυρὸς ἀκρίδες πετέονται
Φευγέμεναι ποταμόνδε, πρὶν δὲ φλέγει ἀκάματον πῦρ
Ορμηθὲν ἐξαίφνης, τάχα δὲ πέπαυσε καθ' ὕδωρ,
Ὡς ἑῶ Αχιλλῆος Ξάνθῳ βαθυδίνητοιο,
Γλῆτο ῥόος κελάδοντι σὺν ἵπποισι καὶ ἀνδράσιν,
Αὐτὰρ ὁ δινήεντος, δ' ὄρυ μὴν λίπεν αὐτοῦ ἐπ' ὄχθας
Κεκλιμένον μυρίκῃσιν, ὅδι' ἔκθορε δαίμονι ἶσος
Φάσγανον οἷον ἔχων, κακὰ δὲ φρεσὶ μήδετο ἔργα.
Τύπτε δ' ὑπ' ἰπνοτροφάδην, τῶν δὲ στόνος ὦρνυτ' ἀείκης
Αορι θεινομένων, ἐρυθαίνετο δ' ὕδατι δῖον.
Ὡς δ' ὑπὸ δελφῖνος μεγακήτεος ἰχθύες ἄλλοι
Φεύγοντες πιμπλᾶσι μυχὸς λιμένος εὐόρμου
Δεδιότες, μάλα γάρ τε κατεσθίει ὃν κε λάβῃσιν,
Ὡς Τρῶες ποταμοῖο κατὰ λεινοῖο ῥέεθρα
Πτώσσον ὑπὸ κρημνούς, ὅτ' ἐπεὶ κάμε χεῖρας ἁγαυῶν,
Ζωοὺς ἐκ ποταμοῖο δυώδεκα λέξατο κάρης,
Ποινὴν Πατρόκλοιο Μενοιτιάδαο θανόντος,
Τοὺς ἀφῆκε θύραζε τεθηπότας ἠΰτε νεβρούς.
Δῆσε δ' ὀπίσσω χεῖρας εὐτμήτοισι ἱμᾶσι,
Τοὺς αὐτοὶ φορέεσκον ὑπὲρ πρηῶνας ἰτῶσι.
Δῶκε δ' ἑταίροισιν ἀπάγειν κοίλας ἐπὶ νῆας.
Αὐτὰρ ὁ, ἄλλ' ἐπόρουσε κατακτάμεναι μενεαίνων,
Ενθ' υἱεῖ Πριάμοιο σαώτερτο Δαρδανίδαο
Εκ ποταμοῦ φεύγοντι Λυκάονι, τὸν ῥά ποτ' αὐτὸς,
Ἦγε λαβὼν ἐκ πατρὸς ἀλωῆς ὀκτὼ ἐθέλοντα

Ἐννύχιος

Ἐννύχιῳ πολέμοιο, δόσ' ἐρινεὸν ὀξείῃ χαλκῷ
Τάμνε νέας ὄρπηκας, ἵν' ἅρματος ἄντυγες ἦσαν,
Τῷ δ' ἄρ' ἀνώϊστον κακὸν ἦλυθε δῖῳ Αχιλῆϊ,
Καὶ τότε μιν μὲν Λῆμνον ἐϋκτιμένην ἐπέρασε
Νηυσὶν ἄγων, ἀτὰρ υἱὸς Ιήσονος ὦνον ἔδωκε.
Κεῖθεν δὲ ξείνος μιν ἐλύσατο, πολλὰ δ' ὀδύσσω
Ἰμβρίῳ Ηετίωνι, πέμψεν δ' ὅγε δῖον Αρίσβην,
Ἔνθεν ὑπεκπροφυγὼν, πατρώϊον ἵκετο δῶμα.
Ἔνδεκα δ' ἤματα θυμὸν ἐτέρπετο οἷσι φίλοισιν,
Ἐλθὼν ἐκ Λήμνοιο, δυωδεκάτῃ δέ μιν αὖτις,
Χέρσιν Αχιλλῆος θεὸς ἔμβαλεν, ὅς μιν ἔμελλε
Πέμψειν εἰς Αΐδαο, καὶ οὐκ ἐθέλοντα νεέσθαι.
Τὸν δ' ὡς οὖν γόνοιο ποδώκεος δῖος Αχιλλεὺς,
Γυμνὸν, ἄτορ πόρυθός τε καὶ ἀσπίδος, οὐδ' ἔχεν ἔγχος.
Ἀλλὰ τὰ μὲν ῥ' ἀρὴ πάντα χαμαὶ βάλε, τεῖρε γὰρ ἰδρὼς
Φεύγοντ' ἐκ πάντεσσι, κάματος δ' ὤρνυτ' ἔδαμνα
Ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν,
Ὢ πόποι ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι.
Ἦ μάλα δὴ Τρῶες μεγαλήτορες ὅς περ ἔπεφνον,
Αὖτις ἀναστήσονται ὑπὸ ζόφον ἠερόεντος,
Οἷον δὴ καὶ ὅδ' ἦλθε φυγὼν ὑπὸ νηλεὲς ἦμαρ,
Λῆμνον δὲ ἡγαθέην περιπλομένῳ, δὴ δὲ μιν ἔρχῳ
Πόντος ἅλος πολιῆς, ὃ πολεῖς ἀέκοντας ἐρύκει·
Ἀλλ' ἄγε δὴ καὶ ἀρῆος ἀκωκὴς ἡμετέροιο
Γεύσεται. ὄφρα ἴδωμαι ἦ φρεσὶν ἦσι δαείῃ.
Ἦ ἄρα δὴ καὶ κεῖθεν ἐλεύσεται, ἦμιν ἐρύξει
Γῆ φυσίζοος, ἥτε καὶ κρατερὸν περ ἐρύκει.
Ὡς ὤρμαινε μνίων, ὁδὲ οἱ σχεδὸν ἦλθε τεθηπὼς
Γόνων ἄψαδα μεμαὼς, πεῖσαι δ' ἤθελε θυμῷ,
Ἐκφυγέειν θάνατόν τε καὶ ἠνορέην καὶ κῆρα μέλαιναν,
Ἤτοι ὁ μὲν δόρυ μακρὸν ὑπέσχετο δῖῳ Αχιλλεῖ,
Οὐτάμεναι μεμαὼς, ὃ δ' ὑποδραπὰς καὶ βάλε γόνων
Κύψας, ἐγχείη δ' ἄρ' ὑπὲρ νώτοιο γαίῃ,
Ἔσχεθ' ἐμεμβλὼς χροὸς ἄμμιναι αὐδρομέοιο,
Αὐτὰρ ὁ τῇ ἑτέρῃ μιν ἐλὼν ἐλίσσετο γόνων.
Τῇ δ' ἑτέρῃ ἔχων ἔγχος ἀπαχμήνου, δὲ μεθίει.
Καί μιν λισσόμενος ἔπεα πτερόεντα προσηύδα.
Γνοῦμαί σ' Αχιλλεῦ, σὺ δέ μ' ἄδδεο καί μ' ἐλέησον
Ἀντί τοι εἶμ' ἱκέτης διοτρεφὲς αἰδοίοιο.
Ἦ γὰρ γὰρ σὶ πρώτῳ παστάμεν Δημήτερος ἀκτῇ,
Ἡμαρ τῷ ὅτε μ' εἶλες ἐϋκτιμένῃ ἐν ἀλωῇ,
Καί μ' ἐπέρασσας ὠνοῦ σὺν ἄγων πατρός τε φίλου τε,
Λῆμνον δὲ ἡγαθέην, ἑκατόμβοιον δέ τοι ἦλφον,
Νῦν δὲ λύμην τρὶς τόσσα πορὼν, ἠὼς δὲ μοι ὄσσα
Ἦλθε σὺν αὖθι ἑκάστῳ, ὅτ' ὄν Ιλιον εἰλήλουθα,
Πολλὰ παθὼν, νῦν αὖ με τεῇς ἐν χερσὶν ἔβησε

Μοῖρ'

Μοῖρ' ὀλοὴ μέλλω, ὡς ἀπέχθεδ Διί ωατρί,
Ὅς με σοὶ ὤπτις ἔδωκε, μινυωθάδιον δ' ἐμὲ μήτηρ,
Γείνατο Λαοθόην, θυγάτηρ Αλτάο γέροντος.
Ἀλτάω ὅς Λελέγεσσι φιλοπτολέμοισιν ἀνάσσει,
Ηυδίασον ἀμπέσαμεν ἔχω, ὑπὸ Σατνιόεντι,
Τῶ δ' ἔχε θυγατέρα ρείαμο, πολλὰς δὲ ἓ ἄλλας,
Τῆς δὲ δίνω γενόμεσθα, σύδ' ἄμφω δειροτόμησεις,
Ἤτοι τὸν πρώτοισι μετὰ πρυλέεσσι δαμάσας,
Αντίθεον Πολύλαον ἐπεὶ βάλες ὀξέϊ δουρί.
Νῦν δ' ἐπὶ γὰθάδε μοι κακὸν ἔσσεται. οὐ γὰρ ὄΐω
Σῶς χεῖρας φεύξεσθαι, ἐπεί ῥ' ἑ πέλασσε γε δαίμων,
Ἄλλο δ' ἔ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῆσιν
Μή με κτεῖν' ἐπεὶ οὐχ ὁμογάστριος ἔκτορός εἰμι,
Ὅς τοι ἑταῖρος ἔπεφνεν γήεϊ τε κρατερόν τε.
Ὡς ἄρα μιν ρειάμοιο, πολυμήλα φαίδιμος υἱός,
Λιτόμενος ἐπέεσσιν, ἀμείλικτον δ' ὄπ' ἄκουσε,
Νήπιε, μή μοι ἄποινα φιφαύσκεο, μήδ' ἀγόρευε
Πρίν μιν ἐπ' πάτροκλον ἰῶμεν μόρσιμον ἦμαρ,
Τόφρα τέ μοι πεφιδέσθ ἐνὶ φρεσὶ θέλτερον ἦεν
Τρῶας, καὶ πολλὸς ζωὸς ἕλον, ἠδ' ἐπέρασα,
Νῦν δ' οὐκ ἔδ' ὅς τις θάνατον φύγῃ, ὅν κε θεὸς γε
Ιλίδ' προπάροιθεν ἐμῆς ἐν χερσὶ βάλησι
Συμπάντων Τρώων, πρὸς δ' ὦ πειάμοιό γε παίδων.
Αλλὰ θέλος θάνε καὶ σύ, τίη ὀλοφύρεαι αὖτως,
Κάτθανε καὶ πάτροκλ, ὅπερ σέο πολλὸν ἀμείνων,
Οὐχ' ὁράας οἷος κἀγὼ καλός τε μέγας τε,
Πατρὸς δ' εἰμ' ἀγαθοῖο, θεὰ δέ μ' ἔγ εἵναο μήτηρ,
Αλλ' ἐπί τοι κἀμοὶ θάνατος, καὶ μοῖρα κραταιὴ
Ἔσσεται ἢ ἠὼς, ἢ δ' εἴλης, ἢ μέσον ἦμαρ,
Ὁππότέ τις καὶ ἐμεῖο ἄρης ἐκ θυμὸν ἕληται,
Ἦ ὅ γε δουρὶ βαλὼν, ἢ ἀπὸ νευρῆφιν ὀϊστῷ.
Ὡς φάτο, τὸν δ' αὖτε λύτο γόνατα καὶ φίλον ἦτορ.
Ἔγχος μὲν ῥ' ἀφέηκεν ὅδ' ἔζετο χεῖρε πετάσσας
Αμφοτέρᾳς, Αχιλεὺς δὲ ἐρυσάμενος ξίφος ὀξὺ.
Τύψε κλισίαο παρ' αὐχένα, πᾶν δ' ἐν οἱ εἴσω
Δῦ ξίφος ἄμφηκες, ὅδ' ἄρα πρηνὴς ὧλε γαίῃ
Κεῖτο ταθείς, ἐκ δ' αἷμα μέλαν ῥέε. δεῦε δὲ γαῖαν,
Τὸν δ' Αχιλεὺς ποταμὸν δὲ λαβὼν ποδὸς ἧκε φέρεσθ
Καί οἱ ἐπευχόμενος, ἔπεα πτερόεντ' ἀγορεύεν,
Ενταυθοῖ νῦν κεῖσο μετ' ἰχθύσιν, οἵσ' ὠτειλὴς
Αἷμ' ἀπολιχμήσονται ἀκηδέες, οὐδέ σε μήτηρ
Ενθεμένη λεχέεσσι γοήσεται, ἀλλὰ Σκάμανδρο
Οἴσει δινήεις, εἴσω ἁλὸς εὐρέα κόλπον,
Θρῴσκων τίς ἦ κῦμα μέλαιναν φρῖχ' ὑποαίξει,
Ἰχθὺς ὅσκε φάγησι Λυκάονο ἀργέτα δημόν
Φθείρεθ', εἰσόκεν ἄσυ κιχείομεν Ιλιο ἱρῆς
Ὑμεῖς

ἀπέχθεσθαι.] μισεῖσθαι. Σατνιόεντι.] ποταμὸς Τροίας. δειροτομήσεις.] τὸν τράχηλον κόψεις. δειρὴ γὰρ ὁ τραχήλ. πρυλέεσσι.] πεζοῖς. δαμάσας.] ἀπέκτεινας. ὁμογάστριος.] ὁ ἐκ τῆς αὐτῆς γαστρὸς ἀδελφός. ἀμείλικτον. ἀπενῆ. σκληρόν. μή μοι ἄποινα φιφαύσκεο.] πρὸ τοῦ λύτρων μὴ δ' ὅλως μοι διαλέγου. ἐπισπεῖν.] ἐπιδιῶξαι. πλησθῶσι. αἶσιμον ἦμαρ.] ἢ θάνατον. ἀλλ' ἐπί τοι.] τὸ ἐξῆς. ἀλλὰ καὶ ἐμοὶ ἐπιλείσεται θάνατος. ἄρης ἐκ θυμὸν ἕληται.] σίδηρος τὴν ψυχὴν ἀφέλληται. δεῦε.] ἔβρεχεν. ἀπολιχμήσονται.] ἀπολείξουσιν. ἀκηδέες.] ἀφρόντιστοι. γοήσεται.] θρηνήσεται. ἐνταυθοῦ νῦν κεῖσο.] ἐνταῦθα ἀρτίως κατάκησο. θρῴσκων τίς κατὰ κῦμα.] καὶ τὰ ἑξῆς. ἰφαλλόμενος ἢ νηχόμενος τίς ἐν ἰχθύων καλὰ θάλασσαν. ἢ ἐμπλησθείς δὲ Λυκάονος πιμελῆς. πάλιν ὑπὸ τὴν μέλαιναν φρίκα κατειλίσσεται. φρίξ δέ ἐστι ἡ ἐρεμαία τοῦ ὕδατος κίνησις. ἰχθὺς ὅς κε φάγησιν.] οὐ δεῖ τὸ ὅς κεφάγησιν ἄρθρον ὑποστακτικὸν λαμβάνειν. ἀλλ' ἀντὶ τοῦ ὥσκειν ἐπίρρημα ὑπάξει. ὁ ἢ νοῦς. ὁ ἢ ἰχθὺς ἐκ ἐπιτολῆς γενόσεσθαι. ἀλλ' ἐπὶ τὴν φρίκα αἴξει. τὰ γὰρ νεοσφαγῆ τοῦ σωμάτων ἄνωθεν ἐπιπλεῖ ἀργέτα δημόν.] τὸν λευκὸν ἐπίπλων. τὸ λίπος. πειράσομαι.

Ὑμεῖς μὲν φεύγοντες, ἐγὼ δ' ὄπιθεν κεραΐζων,
Οὐδ' ὑμῖν ποταμὸς πρὸ εὔροος ἀργυροδίνης
Ἀρκέσει, ᾧ δὴ δὴθα πολεῖς ἱερεύετε τάυρους,
Ζωοὺς δ' ἐν δίνῃσι καθείετε μώνυχας ἵππους.
Ἀμὰ καὶ ὥς ὀλέεσθε κακὸν μόρον εἰσόκε πάντες,
Τίσετε πατρόκλοιο φόνου, καὶ λοιγὸν Αχαιῶν,
Οὓς ἐνὶ νηυσὶ βοῶσιν ἐπέφνετε νόσφιν ἐμεῖο.
Ὡς ἄρ' ἔφη, ποταμὸς δὲ χολώσατο κηρόθι μᾶλλον.
Ὁρμηνὸν δ' ἀνὰ θυμὸν ὅπως πάυσειε πόνοιο,
Δῖον Αχιλλῆα, Τρώεσσι δὲ λοιγὸν ἀλάλκοι,
Τόφρα δὲ Πηλέο υἱὸς ἔχωρ διολιχόσκιον ἔγχο,
Ἀσεροπαίῳ ἐπᾶλτο κατακτάμεναι μενεαίνων,
Υἱεῖ Πυλεγόνος, τὸν δ' Αξιο εὐρυρέεθρο,
Γείνατο καὶ Περίβοια Ακεσαμενοῖο θυγατρῶν
Πρεσβυτάτη, τῇ γὰρ ξὺ μίγη ποταμὸς Βαθυδίνης.
Τῷ δ' Αχιλεὺς ἐπόρουσεν, ὅδ' ἀντίος ἐκ ποταμοῖο
Ἔσκε ἔχων δύο δῶρε, μιλίος δ' ἐκ φρεσὶ θᾶκε
Ξάνθο, ἐπεὶ κεχόλωτο δ' αἴκτα μενοίνων ἀλεγεινῶν,
Τὸς Αχιλεὺς ἐδ' αἴζε νῆϊ ῥόον, οὐδ' ἐλέαιρεν.
Οἷσ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες,
Τὸν πρότερ Πηλέο υἱὸς ἐπέ ποδ' ἄρκιος δῖο Αχιλλεὺς
Τίς πόθεν ἐς ἀνδρῶν, ὅ μευ ἔτλης ἀντίο ἐλθεῖν,
Δυσήνορ δ' ἐκ τε πάϊδες ἐμῷ μένει ἀντιόωσι.
Τὸν δ' αὖ Πυλεγόνο πρόσφορος φαίδιμο υἱός,
Πηλείδη μεγάθυμε, τίη γδυπὸ ἐρεείνεις,
Εἰμὶ ἐκ Παιονίης ἐρίβωλο τηλόθ' ἐόσης,
Παίονας ἄνδρας ἄγων δολιχεγχέας, ἦδη δὲ μοι νῦν
Ἠὼς ἐνδεκάτη ὅτ' ἐς Ιλιον ἐλήλυθα.
Αὐτὰρ ἐμοὶ γδυπὸ δῆ Αξιὸ εὐρὺ ῥέοντος.
Ἀξιὸς, ὅς κάλλιστον ὕδωρ ὑπὲρ γαῖαν ἵησι,
Ὅς τέκε Πυλεγόνα κλυτὸν ἔγχεϊ, τόν δ' ἐμὲ φασὶ
Γέναδθαι, νῦν αὖτε μαχώμεθα φαίδιμ Αχιλλεῦ.
Ὣς φάτ' ἀπειλήσας, ὀδὸ ἀνέσχετο δῖο Αχιλλεὺς
Πηλιάδα μελίην, ὅδ' ἀμαρτῇ δ' ὄρασεν ἀμφὶς,
Ἥρως Ἀστεροπαῖο ἐπεὶ πόδι δέξιο ἦεν,
Καὶ ῥ' ἑτέρῳ μὲν δουρὶ σάκο Βάλεν, οὐδὲ δάσσε
Ῥῆξε σάκο, χρυσὸς γὰρ ἐρύκακε δῶρα θεοῖο.
Τῷ δ' ἑτέρῳ μιν ἔπηλυ ὕδατι ἀβδήκην Βάλε χειρὸς
Δεξιτερῆς, σύτο δ' αἷμα κελαινεφὲς, ἠδ' ἔπεσε αὐτοῦ
Γαίῃ φνεσθέντο, λιλαιομένη χροὸς ἆσαι,
Δεύτερο αὖτ Αχιλλεὺς μελίην ἐυπάλαμον,
Ἀστεροπαίῳ ἐφῆκε κατακτάμεναι μενεαίνων,
Καὶ τοῦ μὲν ῥ' ἀφάμαρτον, ὅδ' ὑψιλὸν Βάλεν ὄχθην
Μεσσοπαγὲς, δ' ἄρ ἔθηκε κατ' ὄχθης μείλινον ἔγχο
Πηλείδης δ' ἄορ ὀξὺ ἐρυσσάμενο παρὰ μηροῦ
Ἆλτ' ὦκα οἱ μεμαώς, ὀδ' ἄρα μελίην Αχιλῆο

ὀρσαίξων.] διαφθέρων. ἀϊξεν.] ὑπονύξεται, ὑπεκπλυνεῖ. δίθα πολλὰ.] πολλαχοῦ καὶ πολλάς. ἰδρύσιτε.] θύσητε. κηρόθι μᾶλλον.] ἐκ ψυχῆς. ἀρκέσει.] ἐπαρκέσει, βοηθήσει. ὥρμηνε.] διενοεῖτο. ἀλάλκοι.] ἀποστρέψει, βοηθήσει. ἐπᾶλτο.] ἐφήλατο, ὥρμησε. δαίπτα μένων.] τὸν ἐν πολέμοις αὐξόμενον. ἰλαίζῃ.] διέφθειρεν, ἐφόνευε. δυσήνωρ.] πανοπλαμόνων, δυσυχῶν. ὄρυ βάλε.] μεγαλοβώλε, σύγαθ. δολιχεγχέας.] μακρὰ δόρατα ἔσχοντας Αξίς.] ποταμὸς Παιονίας. ἢ ἦ Παιονία δὲ Θρᾴκης. ἀπιλήσας.] νῦν αὐχήσας, ἢ ὀργιαδής. ἀμαρτῇ δόρασιμ ἀμφίς.] ὁ ἦ ἀμφότερα τὰ δόρατα ὁμοῦ ἀφῆκε. ποδὸς δέξιο.] ἀμφοτέρως τὰς χεῖρας δεξιὰς χρώμενος. ὄρυπαπεν.] ἐπέσχεν, ἐνέωλυσεν. ἐπιγράβδην.] ἔσχε δ' ἐπιξέσαι μόνον τὸ σέρμα. σύτο.] αὐνύεχθη, ἐρρύη. χροὸς ἆσαι.] τὸ σώματος πορισθῆναι. ἐνεσθέμενο.] ἐνεπάγη. ἰθυπλίονα.] ἐπ' εὐθείας φερομένην. καὶ οἱονεὶ ἱπταμένην. μεσοπαγὲς.] μέχρι τῆς ἡμίσεος πεπηγὸς τῇ γῇ. ἢ μεσοπαλὲς ἐκ μέσε σειόμενον. ἔπι οἱ.] ἔπι αὐτῷ. μιθῆκεν.]

Οὐ λώσατ'

